This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

## Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

## About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

A 878,125




FROM THE LIBRARY OF
Professor Karl Heinrich Rau
OF THE UNIVERSITY OF HEIDELBERG
PRESENTED TO THE
UNIVERSITY OF MICHIGAN
BY
Mr. Philo Parsons
OF DETROIT
1871

Hosted by Google

Digitized by Google

Hosted by Google

Hosted by Google

Hosted by Google

Hosted by Google

Hosted by Google

17771

# ANTHOLOGIA

# GRAECA

AD

PALATINI CODICIS

FIDEM EDITA.

PARSONS LIBRARY
University of Michigan

EDITIO STEREOTYPA C. TAUCHNITIANA.

NOVA IMPRESSIO.

TOM. I.

LIPSIAE
SUMPTIBUS OTTONIS HOLTZE.
1866.

Hosted by Google

IMPRESSIT F. L. METZGER, LIPSIAE.

Hosted by Google

## I.

# ΤΑ ΤΩΝ ΧΡΙΣΤΙΑΝΩΝ ΕΠΙΓΡΑΜΜΑΤΑ.

---

1. *Εἰς τὸ κιβούριον τῆς ἁγίας Σοφίας.*

Ἃς οἱ πλάνοι καθεῖλον ἐνθάδ' εἰκόνας,
ἄνακτες ἐστήλωσαν εὐσεβεῖς πάλιν.

2. *Ἐν ταῖς ἁψῖσι τῶν Βλαχερνῶν·*

Θεῖος Ἰουστῖνος, Σοφίης πόσις, ᾧ πόρε Χριστὸς
πάντα διορθοῦσθαι, καὶ κλέος ἐν πολέμοις,
Μητρὸς ἀπειρογάμοιο δόμον σκάζοντα νοήσας,
σαθρὸν ἀποσκεδάσας τεῦξέ μιν ἀσφαλέως.

3. *Εἰς τὸ αὐτὸ ἐν ταῖς αὐταῖς.*

Ὁ πρὶν Ἰουστῖνος περικαλλέα δείματο νηὸν
τοῦτον Μητρὶ Θεοῦ, κάλλεϊ λαμπόμενον.
Ὁπλότερος δὲ μετ' αὐτὸν Ἰουστῖνος βασιλεύων
κρείσσονα τῆς προτέρης ὤπασεν ἀγλαΐην.

4. *Εἰς τὸν ναὸν τοῦ Προδρόμου ἐν τῷ Στουδίου.*

Τοῦτον Ἰωάννῃ, Χριστοῦ μεγάλῳ θεράποντι,
Στούδιος ἀγλαὸν οἶκον ἐδείματο· καρπαλίμως δὲ

τῶν κάμεν εὕρετο μισθόν, ἑλὼν ὑπατηΐδα ῥάβδον.

5. *Εἰς τὸν ναὸν τοῦ ἁγίου ἀποστόλου Θωμᾶ ἐν τοῖς Ἀμαντίου.*

Τόνδε Θεῷ κάμες οἶκον, Ἀμάντιε, μεσσόθι πόντου,
τοῖς πολυδινήτοις κύμασι μαρνάμενος.
Οὐ νότος, οὐ βορέης ἱερὸν σέο δῶμα τινάξει,
νηῷ θεσπεσίῳ τῷδε φυλασσόμενον.
Ζώοις ἤματα πολλά· σὺ γὰρ νεοθηλέα Ῥώμην,
πόντῳ ἐπαΐξας, θήκαο φαιδροτέρην.

6. *Εἰς τὸν ναὸν τοῦ ἁγίου Θεοδώρου ἐν τοῖς Σφωρακίου*

Σφωράκιος ποίησε φυγὼν φλόγα μάρτυρι νηόν.

7. *Εἰς τὸν αὐτόν.*

Σφωράκιε, ζώοντι φίλα θρεπτήρια τίνων
γήθεεν Ἀντόλιος, σὸς ἀνεψιός· οἰχομένῳ δὲ
αἰεί σοι γεραρὴν τελέει χάριν· ὥστε καὶ ἄλλην
εὗρε, καὶ ἐν νηῷ σ' ἀνεθήκατο, τὸν κάμες αὐτός.

8. *Εἰς τὸν ναὸν τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου.*

Χριστὸν παμβασιλῆα φίλοις καμάτοισι γεραίρων,
Τοῦτον Ἰουστινιανὸς ἀγακλέα δείματο νηὸν
Πέτρῳ καὶ Παύλῳ· θεράπουσι γὰρ εὖχος ὀπάζων,
αὐτῷ δή τις ἄνακτι φέρει πολυκυδέα τιμήν·
Ἐνθάδε καὶ ψυχῇ καὶ ὄμμασι κέρδος ἑτοῖμον·
εὐχαῖσιν μὲν ἕκαστος ὅ τι χρέος ἐστὶν ἑλέσθω,
τερπέσθω δὲ ὁρῶν κάλλος καὶ δώματος αἴγλην.

9. *Εἰς τὸν ναὸν τοῦ Ἀρχαγγέλου ἐν Βοθρέπτῳ.*

Καὶ τόδε σῶν καμάτων παναοίδιμον ἔργον ἐτύχθη

Γεῤῥάδιε κλυτόμητι· σὺ γὰρ περικαλλέα νηὸν
ἀγγελικῆς στρατιῆς σημάντορος αὖτις ἔδειξας.

10. *Εἰς τὸν ναὸν τοῦ ἁγίου μάρτυρος Πολυεύκτου.*

Εὐδοκίη μὲν ἄνασσα θεὸν σπεύδουσα γεραίρειν,
πρώτη νηὸν ἔτευξε θεοφραδέος Πολυεύκτου·
ἀλλ' οὐ τοῖον ἔτευξε καὶ οὐ τόσον· οὔ τινι φειδοῖ,
οὐ κτεάτων χατέουσα — τίνος βασίλεια χατίζει; —
ἀλλ' ὡς θυμὸν ἔχουσα θεοπρόπον, ὅττι γενέθλην
καλλείψει δεδαυῖαν ἀμείνονα κόσμον ὀπάζειν.
Ἔνθεν Ἰουλιανή, ζαθέων ἀμάρυγμα τοκήων,
τέτρατον ἐκ κείνων βασιλήϊον αἷμα λαχοῦσα,
ἐλπίδας οὐκ ἔψευσεν ἀριστώδινος ἀνάσσης·
ἀλλά μιν ἐκ βαιοῖο μεγαν καὶ τοῖον ἐγείρει,
κῦδος ἀεξήσασα πολυσκήπτρων γενετήρων·
πάντα γὰρ ὅσσα τέλεσσεν ὑπέρτερα τεῦξε τοκήων,
ὀρθὴν πίστιν ἔχουσα φιλοχρίστοιο μενοινῆς.
Τίς γὰρ Ἰουλιανὴν οὐκ ἔκλυεν, ὅττι καὶ αὐτοὺς
εὐκαμάτοις ἔργοισιν ἑοὺς φαίδρυνε τοκῆας,
εὐσεβίης ἀλέγουσα· μόνη δ' ἱδρῶτι δικαίῳ
ἄξιον οἶκον ἔτευξεν ἀειζώῳ Πολυεύκτῳ.
Καὶ γὰρ ἀεὶ δεδάηκεν ἀμεμφέα δῶρα κομίζειν
πᾶσιν ἀεθλητῆρσιν ἐπουρανίου βασιλῆος.
Πᾶσα χθὼν βοάᾳ, πᾶσα πτόλις, ὅττι τοκῆας
φαιδροτέρους ποίησεν ἀρειοτέροισιν ἐπ' ἔργοις.
Ποῦ γὰρ Ἰουλιανὴν ἁγίοις οὐκ ἔστιν ἰδέσθαι
νηὸν ἀναστήσασαν ἀγακλέα; ποῦ σέο μούνης
εὐσεβέων οὐκ ἔστιν ἰδεῖν σημήϊα χειρῶν;
Ποῖος δ' ἔπλετο χῶρος, ὃς οὐ μάθε σεῖο μενοινὴν

εὐσεβίης πλήθουσαν; ὅλης χθονὸς ἐνναετῆρες
σοὺς καμάτους μέλπουσιν ἀειμνήστους γεγαῶτας.
Ἔργα γὰρ εὐσεβίης οὐ κρύπτεται· οὐ γὰρ ἀέθλους
λήθη ἀποσβέννυσιν ἀριστοπόνων ἀρετάων.
Ὅσσα δὲ σὴ παλάμη θεοπείθεα δώματα τεύχει
οὐδ' αὐτὴ δεδάηκας· ἀμετρήτους γάρ, ὀΐω,
μούνη σὺ ξύμπασαν ἀνὰ χθόνα δείμαο ναοὺς
οὐρανίου θεράποντας ἀεὶ τρομέουσα θεοῖο.
Ἴχνεσι δ' εὐκαμάτοισιν ἐφεσπομένη γενετήρων
πᾶσιν, ἀειζώουσαν ἑὴν τεκτήνατο φύτλην,
εὐσεβίης ξύμπασαν ἀεὶ πατέουσα πορείην.
Τοὔνεκά μιν θεράποντες ἐπουρανίου βασιλῆος,
ὅσσοις δῶρα δίδωσιν, ὅσοις δωμήσατο νηούς,
προφρονέως ἐρύεσθε σὺν υἱέϊ, τοῖό τε κούραις·
μίμνοι δ' ἄσπετον εὖχος ἀριστοπόνοιο γενέθλης,
εἰσόκεν ἠέλιος πυριλαμπέα δίφρον ἐλαύνει.

Ποῖος Ἰουλιανῆς χορὸς ἄρκιός ἐστιν ἀέθλοις,
ἣ μετὰ Κωνσταντῖνον ἑῆς κοσμήτορα Ῥώμης,
καὶ μετὰ Θευδοσίου παγχρύσεον ἱερὸν ὄμμα,
καὶ μετὰ τοσσατίων προγόνων βασιληΐδα ῥίζαν,
ἄξιον ἧς γενεῆς καὶ ὑπέρτερον ἤνυσεν ἔργον
εἰν ὀλίγοις ἔτεσιν; * χρόνον δ' ἐβιήσατο μούνη,
καὶ σοφίην παρέλασσεν ἀειδομένου Σολομῶνος,
νηὸν ἀναστήσασα θεηδόχον, οὗ μέγας αἰὼν
οὐ δύναται μέλψαι χαρίτων πολυδαίδαλον αἴγλην·
οἷος μὲν προβέβηκε βαθυῤῥίζοισι θεμέθλοις,
νέρθεν ἀναθρώσκων, καὶ αἰθέρος ἄστρα διώκων·
οἷος δ' ἀντολίης μηκύνεται ἐς δύσιν ἕρπων,

Hosted by Google

ἀῤῥήτοις Φαέθοντος ὑπαστράπτων ἀμαρυγαῖς.
τῇ καὶ τῇ πλευρῇσι· μέσης δ᾽ ἑκάτερθε πορείης
κίονες ἀῤῥήκτοις ἐπὶ κίοσιν ἑστηῶτες,
χρυσορόφου ἀκτῖνας ἀερτάζουσι καλύπτρης.
Κόλποι δ᾽ ἀμφοτέρωθεν ἐπ᾽ ἀψίδεσσι χυθέντες,
φέγγος ἀειδίνητον ἐμαιώσαντο σελήνης·
τοῖχοι δ᾽ ἀντιπέρηθεν ἀμετρήτοισι κελεύθοις
θεσπεσίους λειμῶνας ἀνεζώσαντο μετάλλων,
οὓς φύσις ἀνθήσασα μέσοις ἐνὶ βένθεσι πέτρης
ἀγλαΐην ἔκλεπτε, θεοῦ δ᾽ ἐφύλασσε μελάθροις,
δῶρον Ἰουλιανῆς, ἵνα θέσκελα ἔργα τελεσθῇ
ἀχράντοις κραδίης ὑπὸ νεύμασι, ταῦτα καμοῦσα.
Τίς δὲ φέρων θοὸν ἴχνος ἐπὶ ζεφυρηΐδας αὔρας
ὑμνοπόλος σοφίης, ἑκατὸν βλεφάροισι πεποιθὼς,
τοξεύσει ἑκάτερθε πολύτροπα δήνεα τέχνης,
οἶκον ἰδὼν λάμποντα, περίδρομον, ἄλλον ἐπ᾽ ἄλλῳ,
ἔνθ᾽, ἵνα καὶ γραφίδων ἱερῶν ὑπὲρ ἄντυγος αὐλῆς
ἔστιν ἰδεῖν μέγα θαῦμα, πολύφρονα Κωνσταντῖνον,
πῶς προφυγὼν εἴδωλα θεημάχον ἔσβεσε λύσσαν,
καὶ Τριάδος φάος εὗρεν ἐν ὕδασι γυῖα καθήρας.
Τοῖον Ἰουλιανή, μετὰ μυρίον ἑσμὸν ἀέθλων,
ἤνυσε τοῦτον ἄεθλον ὑπὲρ ψυχῆς γενετήρων,
καὶ σφετέρου βιότοιο, καὶ ἐσσομένων καὶ ἐόντων.

11· *Εἰς τοὺς ἁγίους ἀναργύρους τοὺς εἰς τὰ Βασιλίσκου.*

Τοῖς σοῖς θεράπουσιν
Ἡ θεράπαινα προσφέρω Σοφία τὸ δῶρον.
Χριστέ, προσδέχου τὰ σά,
καὶ τῷ βασιλεῖ μου

*μισθὸν Ἰουστίνῳ δίδου,*
*νίκας ἐπὶ νίκαις κατὰ νόσων καὶ βαρβάρων.*

12. *Εἰς τὴν ἁγίαν Εὐφημίαν τὴν Ὀλυβρίου.*

*Εἰμὶ δόμος Τριάδος, τρισσὴ δέ με τεῦξε γενέθλη.*
*πρώτη μὲν πολέμους καὶ βάρβαρα φῦλα φυγοῦσα*
*τεύξατο, καί μ' ἀνέθηκε θεῷ ζωάγρια μόχθων*
*Θευδοσίου θυγάτηρ Εὐδοξία· ἐκ δέ με κείνης*
*Πλακιδίη κόσμησε σὺν ὀλβίστῳ παρακοίτῃ.*
*Εἰ δέ που ἀγλαΐης ἐπιδεύετο κάλλος ἐμεῖο,*
*τὴν δέ μοι ὀλβιόδωρος ὑπὲρ μνήμης γενετήρων*
*δῶκεν Ἰουλιανή, καὶ ὑπέρτατον ὤπασε κῦδος*
*μητέρι, καὶ γενέτῃ, καὶ ἀγακλεῖ μητρὶ τεκούσης,*
*κόσμον ἀεξήσασα παλαίτερον· ἐς δ' ἐμὸν ἔργον....*

13. *Εἰς τὸν αὐτὸν ναὸν ἔνδοθεν τοῦ περιδρόμου.*

*Κάλλος ἔχον καὶ πρόσθεν ἐπήρατον· ἀλλ' ἐπὶ μορφῇ*
*τῇ πρὶν ἀρειοτέρην νῦν λάχον ἀγλαΐην.*

14. *Ἄλλο.*

*Οὕτω γῆρας ἐμὸν μετὰ μητέρα καὶ μετὰ τηθὴν*
*ξῦσεν Ἰουλιανή, καὶ νέον ἄνθος ἔχω.*

15. *Ἄλλο.*

*Ἦν ἄρα καὶ κάλλους ἔτι κάλλιον· εὖτ' ἐμὸν ἔργον,*
*καὶ πρὶν ἐὸν περίπυστον, ἀοίδιμον ἐς χθόνα πᾶσαν*
*ἀγλαΐης προτέρης ἐς ὑπέρτερον ἤγαγε κάλλος*
*τόσσον Ἰουλιανή, ὅσον ἄστρασιν ἀντιφερίζειν.*

16. *Ἄλλο.*

*Αὐτὴν ἐργοπόνοισιν ἐπιπνείουσαν ἀρωγὴν*
*εἶχεν Ἰουλιανὴ μάρτυρα νηοπόλον·*

Hosted by Google

Οὔποτε γὰρ τοῖόν τε τόσον τ' εὐδαίδαλον ἔργον
ἤνυσεν, οὐρανίης ἔμπλεον ἀγλαΐης.

17· Ἄλλο.

Οὐκέτι θαυμάζεις προτέρων κλέος, οὐ διὰ τέχνης
εὖγος ἐν ὀψιγόνοις λίπεν ἄσπετον, ὁσσάτιόν περ,
κῦδος Ἰουλιανῆς πινυτόφρονος, ἣ χάριν ἔργων
ἀρχεγόνων νίκησε νοήματα πάνσοφα φωτῶν.

18. Εἰς Ἀκούβιτον. Εἰς Βαήν.

Τῆς ἀγαθῆς ἀγαθὸς μὲν ἐγὼ κύκλος Ἀγαθονίκης.
* * * * * * * * *
ἄνθετο δ' ἀχράντῳ μάρτυρί με Τροφίμῳ.

19. ΚΛΑΥΔΙΑΝΟΥ.

Εἰς τὸν σωτῆρα.

Ὦ πυρὸς ἀενάοιο σοφὴν ὠδῖνα φυλάσσων
ἐμβεβαὼς κόσμοιο παλινδίνητον ἀνάγκην,
Χριστέ, θεοῤῥήτοιο βίου φυσίζοε πηγή,
πατρὸς ἀσημάντοιο θεοῦ πρωτόσπορε φωνή,
ὅς, μετὰ μητρῴων τοκετῶν ἐγκύμονα φόρτον,
καὶ γόνον αὐτοτέλεστον ἀνυμφεύτων ὑμεναίων
στήσας Ἀσσυρίης γενεῆς ἑτερόφρονα λύσσαν,
ὄργια δ' εἰδώλων κενεῶν ψευδώνυμα λύσας,
αἰθέρος ἀμφιβέβηκας ἐφ' ἑπτάζωνον ὀχῆα,
ἀγγελικαῖς πτερύγεσσιν ἐν ἀῤῥήτοισι θαάσσων·
Ἵλαθι, παγγενέταο θεοῦ πρεσβήϊον ὄμμα,
φρουρὲ βίου, σῶτερ μερόπων, αἰῶνος ἀνάσσων.

20. ΤΟΥ ΑΥΤΟΥ.

Εἰς τὸν αὐτόν.

Ἀρτιφανες, πολιοῦχε, παλαιγενές, υἱὲ νεογνέ,

Hosted by Google

αἰὲν ἐὼν προιὼν τε, ὑπέρτατε, ὕστατε, Χριστέ,
ἀθανάτοιο πατρός τε ὁμόχρονε, πάμπαν ὁμοῖε.

21. Εἰς τὸν αὐτόν.

Παῖ, γέρον, αἰώνων προγενέστερε, πατρὸς ὁμῆλιξ.

22. Εἰς τὸν αὐτόν.

Πατρὸς ἐπουρανίου λόγε πάνσοφε, κοίρανε κόσμου,
ὁ βροτέην γενεὴν τιμήσας εἰκόνι σεῖο·
σὴν χάριν ἄμμιν ὄπαζε καὶ ὀλβιόδωρον ἀρωγήν·
εἰς σὲ γὰρ εἰςορόωσιν ἐν ἐλπίσιν ὄμματα πάντων.

23. Εἰς τὸν αὐτόν.

Ἀθανάτου πατρὸς υἱὲ συνάχρονε, κοίρανε πάντων,
αἰθερίων μεδέων, εἰναλίων, χθονίων·
δμωῒ τεῷ, τῷ τήνδε βίβλον γράψαντι Μαρίνῳ,
δὸς χάριν εὐεπίης καὶ λογικῆς σοφίας.

24. Εἰς τὸν αὐτόν.

Σύνθρονε καὶ συνάναρχε τεῷ πατρί, πνεύματι τ' ἐσθλῷ,
οἰχομένων, ὄντων τε καὶ ἐσσομένων βασιλεύων,
τῷ ταῦτα γράψαντι τεὴν χάριν αὐτὸς ὀπάζοις,
ὄφρα κε σῆς ἐφετμῇσι καλῶς βίου οἶμον ὁδεύοι.

25. Εἰς τὸν αὐτόν.

Χριστέ, θεοῦ σοφίη, κόσμου μεδέων καὶ ἀνάσσων,
ἡμετέρην τὸ πάροιθε πλάσας μεροπηΐδα φύτλην,
δός με θέειν βίου οἶμον ἐν ὑμετέραις ἐφετμῇσι.

26. Εἰς τὸν αὐτόν.

Ὑψιμέδων θεοῦ υἱέ, φαοσφόρον ἀΐδιον φῶς,

σὴν μοι ὄπαζε χάριν καὶ νῦν, καὶ ἔπειτα, καὶ αἰεὶ,
ὡς προθέλυμνον ἐοῦσαν ὅτῳ καὶ ὅπῃ κατανεύσεις.

27. Εἰς τὸν αὐτόν.

Πανσθενὲς υἱὲ θεοῦ, Χριστὲ, προάναρχε ἁπάντων,
πᾶσιν ἐπιχθονίοις σωτήρια νάματα βλύζων,
μητρὸς ἀπειρογάμοιο τεῆς λιτέων ἐπακούων,
σὴν χάριν ἄμμιν ὄπαζε καὶ ἐν μύθοις καὶ ἐν ἔργοις.

28. Εἰς τὸν αὐτόν.

Χριστὲ, θεοῦ σοφίη, χάριν ὤπασον εὐεπιάων,
καὶ λογικῆς σοφίης ἐμπέραμον τέλεσον,
ὃς τόδε τεῦχος ἔγραψεν ἑαῖς * χερσὶ Μαρῖνος,
φάρμακον ἀφραδίης, πρόξενον εὐφραδίης.

29. Εἰς τὸν αὐτὸν μονόστιχα.

Χριστέ, τεὴν προΐαλλε χάριν καμάτοισιν ἐμεῖο.

* * *

Ὁ Χριστὸς καὶ ἐμοῖς ἐπιτάῤῥοθος ἔσσεται ἔργοις.

* * *

Χριστὸς ἐμοῖς καμάτοισιν ἀρηγόνα χεῖρα τιταίνοι.

* * *

Χριστέ, σύ μοι προΐαλλε τεὴν πολύολβον ἀρωγήν.

* * *

Χριστέ, τεὴν καμάτοισιν ἐμοῖς χάριν αὐτὸς ὀπάζοις.

30. Εἰς τὸν αὐτόν·

Χριστὲ μάκαρ, μερόπων φάος ἄφθιτον, ἐλπὶς ἁπάντων·
ἐσθλὰ δίδου χατέουσι, τὰ δ' οὐ καλὰ νόσφιν ἐρύκοις

31. Εἰς τὴν ὑπεραγίαν θεοτόκον.

Παμμεδέοντα, ἄνασσα, θεοῖο γόνον, τεὸν υἱόν,

ἄγγελοι ὃν τρομέουσι, τεῇς παλάμῃσι κρατοῦσα,
πρευμενέα πραπίδεσσιν ὑπὲρ μερόπων τελέθουσα,
ῥύεο συντηροῦσα ἀπήμονα κόσμον ἅπαντα.

### 32. Εἰς τὸν ἀρχάγγελον Μιχαήλ.

Ὧιδε ταλαιπαθέων χραισμήϊα θέσκελα κεῖται,
ἢ δέμας, ἢ κραδίην τειρομένων μερόπων·
καὶ γὰρ ἀνιάζουσα πόνων φύσις αὐτίκα φεύγει
οὔνομα σὸν Μιχαήλ, ἢ τύπον, ἢ θαλάμους.

### 33. ΝΕΙΛΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Εἰς εἰκόνα τοῦ ἀρχαγγέλου·

Ὡς θρασὺ μορφῶσαι τὸν ἀσώματον· ἀλλὰ καὶ εἰκὼν
ἐς νοερὴν ἀνάγει μνῆστιν ἐπουρανίων.

### 34. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Εἰς τὴν αὐτὴν ἐν Πλάτῃ.

Ἄσκοπον ἀγγελίαρχον, ἀσώματον εἴδεϊ μορφῆς,
ἆ μέγα τολμήεις, κηρὸς ἀπεπλάσατο·
ἔμπης οὐκ ἀχάριστον, ἐπεὶ βροτὸς εἰκόνα λεύσσων
θυμὸν ἀπιθύνει κρείσσονι φαντασίῃ·
οὐκέτι γ' ἀλλοπρόσαλλον ἔχει σέβας, ἀλλ' ἐν ἑαυτῷ
τὸν τύπον ἐγγράψας ὡς παρεόντα τρέμει·
ὄμματα δ' ὀτρύνουσι βαθὺν νόον· οἶδε δὲ τέχνη
χρώμασι πορθμεῦσαι τὴν φρενὸς ἱκεσίην.

### 35. ΤΟΥ ΑΥΤΟΥ.

Εἰς τὸν αὐτὸν ἐν τῷ Σωσθενίῳ.

Καρικὸς Αἰμιλιανός, Ἰωάννης τε σὺν αὐτῷ,
Ῥουφῖνος Φαρίης, Ἀγαθίης Ἀσίης,

Hosted by Google

τέτρατον, ἀγγελίαρχε, νόμων λυκάβαντα λαχόντες,
ἄνθεσιν εἰς σέ, μάκαρ, τὴν σφετέρην γραφίδα,
αἰτοῦντες τὸν ἔπειτα καλὸν χρόνον· ἀλλὰ φανείης
ἐλπίδας ἰθύνων ἐσσομένου βιότου.

36. ΤΟΥ ΑΥΤΟΥ.

Εἰς εἰκόνα Θεοδώρου Ἰλλουστρίου καὶ δὶς ἀνθυπάτου, ἐν ᾗ γέγραπται παρὰ τοῦ ἀρχαγγέλου δεχόμενος τὰς ἀξίας ἐν Ἐφέσῳ.

Ἵλαθι μορφωθείς, ἀρχάγγελε· σὴ γὰρ ὀπωπὴ
ἄσκοπος ἀλλὰ βροτῶν δῶρα πέλουσι τάδε·
ἐκ σέο γὰρ Θεόδωρος ἔχει ζωστῆρα μαγίστρου
καὶ δὶς ἀεθλεύει πρὸς θρόνον ἀνθυπάτων·
τῆς δ' εὐγνωμοσύνης μάρτυς γραφίς· ὑμετέρην γὰρ
χρώμασι μιμηλὴν ἀντετύπωσε χάριν.

37. Εἰς τὴν Χριστοῦ γέννησιν.

Σάλπιγγες, στεροπαί, γαῖα τρέμει· ἀλλ' ἐπὶ μήτρην
παρθενικὴν κατέβης ἄψοφον ἴχνος ἔχων.

38. Εἰς τὸ αὐτό.

Οὐρανὸς ἡ φάτνη, καὶ οὐρανοῦ ἔπλετο μείζων·
οὐρανὸς ἐργασίη τοῦδε πέλει βρέφεος.

39. Εἰς τοὺς ποιμένας καὶ τοὺς ἀγγέλους.

Εἷς χορός, ἓν μέλος ἀνθρώποισι καὶ ἀγγελιώταις,
οὕνεκεν ἄνθρωπος καὶ θεὸς ἓν γέγονεν.

40. Εἰς τὴν Χριστοῦ γέννησιν·

Οὐρανὸς ἡ φάτνη, καὶ οὐρανοῦ ἔπλετο μείζων,
οὕνεκεν ὅνπερ ἔδεκτο ἄναξ πέλεν οὐρανιώνων.

Hosted by Google

41. Εἰς τοὺς μάγους·

Οὐκέτι δῶρ' ἀνάγουσι μάγοι πυρὶ ἠελίῳ τε·
ἠέλιον γὰρ ἔτευξε τόδε βρέφος, ὥς πυρὸς αὐγάς.

42. Εἰς τὸ Βηθλεέμ.

Δέχνυσο, Βηθλεέμ, ὃν προέειπε προφήτης ἐσθλὸς
ἵξεσθαι, λαῶν ἡγούμενον ἐκ σοῦ ἁπάντων.

43. Εἰς τὴν Ῥαχήλ·

Τίπτε, Ῥαχήλ, γοόωσα πικρὸν κατὰ δάκρυον εἴβεις;
ὀλλυμένην δρόωσα γονὴν κατὰ δάκρυον εἴβω.

44. Εἰς τὸν Εὐαγγελισμόν.

Χαῖρε, κόρη χαρίεσσα, μακαρτάτη, ἄφθορε νύμφη
υἷα θεοῦ λαγόνεσσιν ἄτερ πατρὸς ἔμβρυον ἕξεις.

45. Εἰς τὸν ἀσπασμόν.

Ἔνδοθι γαστρὸς ἐὼν σκιρτήμασιν εἶδε προφήτης
σὸν γόνον ὥς θεός ἐστι, καὶ ᾔνεσε πότνια μήτηρ.

46. Εἰς τὴν ὑπαντήν.

Πρεσβῦτα, παῖδα δέχοιο, Ἀδάμ, προγενέστερον ὄντα,
ὃς σε βίου λύσειε, καὶ ἐς βίον ἄφθιτον ἄξει.

47. Εἰς Βάπτισιν.

Πατρὸς ἀπ' ἀθανάτοιο μεγασθενὲς ἤλυθε πνεῦμα,
υἱὸς ἐπεὶ βαπτίζετ' Ἰορδάνου ἀμφὶ ῥέεθρα.

48. Εἰς μεταμόρφωσιν.

Ἀδὰμ ᾤωζο..

49. Εἰς τὸν Λάζαρον

Χριστὸς ἔφη· πρόμολ' ὧδε· καὶ ἔλλιπε Λάζαρος ᾅδην,

αὐαλέῳ μυκτῆρι παλίνσοον ἆσθμα κομίζων.

50. Εἰς τὸν αὐτὸν ἐν Ἐφέσῳ·

Ψυχὴν αὐτὸς ἔτευξε, δέμας μόρφωσεν ὁ αὐτός·
Λάζαρον ἐκ νεκύων ἐς φάος αὐτὸς ἄγει.

51. Εἰς τὸν αὐτόν.

Τέτρατον ἦμαρ ἔην, καὶ Λάζαρος ἔγρετο τύμβου.

52. Εἰς τὰ Βαΐα.

Χαῖρε, Σιὼν θύγατερ, καὶ δέρκεο Χριστὸν ἄνακτα
πώλῳ ἐφεζόμενον, καὶ ἐς πάθος αἶψα κιόντα.

53. Εἰς τὸ Πάσχα.

Ἀμνὸν ἔπαυσε νόμου, καὶ ἄμβροτον ὤπασε θῦμα,
Χριστός, ἐὼν ἱερεύς, αὐτὸς ἐὼν θυσίη.

54. Εἰς τὴν σταύρωσιν.

Ὦ πάθος, ὦ σταυρός, παθέων ἐλατήριον αἷμα,
πλῦνον ἐμῆς ψυχῆς πᾶσαν ἀτασθαλίην.

55. Εἰς τὸν Σωτῆρα.

Παρθένου υἱὸν ἔφη τὸν παρθένον, ἄλλον ἑαυτόν·
ἵλαθι τῆς καθαρῆς δέσποτα παρθενίης.

56. Εἰς τὴν ἀνάστασιν.

Χριστὸς ἐὼν θεὸς εἷλε νέκυς ἐξ ᾅδου πάντας·
μοῦνον δὲ βροτολοιγὸν ἀκήριον ἔλλιπεν ᾅδην.

57. Εἰς τὸν ἀμνὸν τοῦ θεοῦ.

Ψυχῆς ἐν φλιῇσιν ἐμῆς σωτήριον αἷμα
ἀμνοῦ, ὀλοθρεύων, φεῦγε· μὴ ἐγγὺς ἴθι.

Hosted by Google

58. *Εἰς τὸν πόκον Γεδεών.*

Εἷς πόκος ὄμβρον ἔχει· λεκάνη δρόσον ὤπασεν αὐτός·
ἄβροχος αὐτὸς ὅδε· κρύπτε νόῳ κρύφια.

59. *Εἰς τὸν Μωσῆν καὶ εἰς τὴν θυγατέρα Φαραῶ.*

Αἰγυπτίη, κρύφιόν τε βρέφος, καὶ ἐγγύθεν ὕδωρ·
ἃ προτυποῖ μούνοις εὐσεβέεσσι λόγοις.

60. *Εἰς τὸν αὐτὸν ὅτε τὰς παλάμας ἐξέτεινε τροπούμενος τὸν Ἀμαλήκ.*

Σταυροφανῶς τανύεις παλάμας τίνος εἵνεκα, Μωσῆ,
τῷδέ τύπῳ Ἀμαλὴκ ὄλλυται ἀμφότερος.

61. *Εἰς τὸν αὐτόν.*

Ῥύεο σὴν ἐθνικὴν νύμφην παρὰ ὕδασι, Μωσῆ,
νυμφίου ἀψευδοῦς οὕνεκεν ἐσσὶ τύπος.

62. *Εἰς τὸν κιβωτὸν ὅτε τὸν Ἰορδάνην ἐπέρασεν.*

Λάρνακι χρυσείῃ ῥόος εἴκαθεν· ἵλαθι, Χριστέ,
σὸς τύπος ἡ λάρναξ, τῇδε λοεσσόμενον.

63. *Ἄλλο.*

Ἐξ ἐθνῶν καὶ Ἄγαρ· τί δὲ ἄγγελος; ἢ τί τὸ ὕδωρ;
ἐξ ἐθνῶν καὶ ἐγώ· τοὔνεκεν οἶδα τάδε.

64. *Εἰς τοὺς ο̅ Φοίνικας καὶ τὰς ι̅β̅ πηγάς.*

Ἑπτάκι τοὺς δέκα Φοίνικας, δυοκαίδεκα πηγὰς
Χριστοῦ τοσσατίων ἴσθι τύπους ἑτάρων.

65. *Εἰς τὸν Ἀβραάμ.*

Ἀβραὰμ υἱὸν ἄγει θυσίην θεῷ, ἵλαθι, ποίην
νοῦς ὁράᾳ θυσίαν, ἧς τόδε γράμμα τύπος.

Hosted by Google

66· Εἰς τὸν Μελχισεδὲκ διδοῦντα τῷ Ἀβραὰμ οἶκον καὶ ἄρτον·

Μελχισεδὲκ βασιλεῦ, ἱερεῦ, ἄρτους τε καὶ οἶνον
ὡς τίς ἔχων παρέχεις; ὡς τύπος ἀτρεκίης.

67. Εἰς τὸν Ἀβραὰμ, ὅτε ὑπεδέξατο τὸν θεόν.

Μορφὴν ἐνθάδε * μούνην ἔχει θεός· ὕστερον αὖτε
ἐς φύσιν ἀτρεκέως ἤλυθε ἀνδρομέην.

68. Εἰς τὸν Ἰσαὰκ καὶ τὸν Ἰακὼβ ὅτε αὐτὸν ηὐλόγησεν.

Πνοιὴν μὲν διὰ πνεῦμα, δέρας δὲ λάχον διὰ γράμμα·
εὐφραίνει πατέρα νοῦς θεὸν εἰςορόων.

69. Εἰς τὴν Ῥεβέκκαν

Νυμφίε μουνογενές, νύμφη ἐθνικὴ σε φιλοῦσι
κάτθορεν ἐξ ὕψους σώματος οὐ καθαροῦ.

70. Εἰς τὴν αὐτήν·

Τηλόθεν οὐχ ὑδάτων μνηστεύετο πότνα Ῥεβέκκα,
νύμφης ἐξ ἐθνῶν οὕνεκεν ἐστὶ τύπος.

71· Εἰς τὴν Σωμανίτιν.

Εὐχὴ Ἐλισσαίου, Σωμανίτι, δὶς πόρεν υἱόν,
πρῶτα μὲν ἐκ γαστρός, δεύτερα δ' ἐκ νεκύων.

72. Εἰς τὴν μηλωτὴν Ἠλίου·

Τοῦτο δέρας προλέγει ἀμνὸν θεοῦ εἵνεκα πάντων
ἀνθρώπων ζωῆς τῇδε λοεσσόμενον.

73· Εἰς τὸν Δαβὶδ χριόμενον.

Ἐν νῷ ἔχων πέφρικα πατὴρ τίνος ἔκλυε Δαβὶδ
οὗτος, ὃν εἰςορόωις ἐνθάδε χριόμενον.

Hosted by Google

74. Εἰς τὸν τυφλόν·
Οὔνομα τῇ πηγῇ ἐσταλμένος· ἀλλὰ τίς ἐκ τοῦ
ἔσταλται νοέεις, ὄφρα τέλεια βλέποις;

75. Εἰς τὴν Σαμαρεῖτιν;
Οὐ τύπος, ἀλλὰ θεὸς καὶ νυμφίος ἐνθάδε νύμφην
σώζει, τὴν ἐθνικήν, ὕδατος ἐγγὺς ἰδών.

76. Εἰς τὸν γάμον.
Τεῦξε μὲν ἀτρεκέως οἶνον θεός· ὅσσα δὲ κρυπτὰ
θαύματος, εἰ Χριστοῦ πνεῦμα ἔχει, νοέεις.

77. Εἰς τὴν χήραν τὴν τὸν Ἡλίαν θρέψασαν·
Βλύζει λαιψηρὴ κάλπις καὶ κίστη ἀλεύρου·
ἔμπεδον ἡ χήρη οὕνεκα πίστιν ἔχει.

78. Εἰς Πέτρον τὸν ἀπόστολον·
Πάντων ἀρχιερεὺς Πέτρος θεοῦ ἀρχιερήων,
ὃς θεοῦ ἐκ φωνῆς ἔλλαχε τοῦτο γέρας.

79. Εἰς Παῦλον τὸν ἀπόστολον.
Παῦλος ἐπεὶ θεῖον σέλας οὐρανοῦ ἔδρακεν ἄντην
φωτὸς ἀπειρεσίου γαῖαν ἔπλησεν ὅλην.

80. Εἰς Ἰωάννην τὸν ἀπόστολον.
Ἀρχιερεὺς Ἐφέσοιο θεηγόρος ἐκ θεοῦ εἶπεν
πρῶτος Ἰωάννης, ὡς θεὸς ἦν ὁ λόγος.

81. Εἰς τὸν αὐτόν.
Καὶ λαλέοντος ἄκουσε λόγου καὶ πέφραδεν αὐτὸς
Πρῶτος Ἰωάννης, ὡς θεὸς ἦν ὁ λόγος.

82. Εἰς τὸν αὐτὸν ἀπόστολον Ἰωάννην.
Οὐρανίης σοφίης θεοτερπὲς δῶμα κιχήσας
εἶπεν Ἰωάννης, ὡς θεὸς ἦν ὁ λόγος.

Hosted by Google

83. *Εἰς τὸν Ματθαῖον*

Γράψε θεοῦ σαρκώσιος ἔξοχα θαύματα πάντα
Ματθαῖος σελίδεσσιν, ἐπεὶ λίπε δῶμα τελώνου.

84. *Εἰς τὸν Λουκᾶν.*

Ἀθανάτου βιότοιο τελεσφόρα ἔργματα Χριστοῦ
πυκτίου ἐν λαγόνεσσι σαφῶς ἐνέπασσέ γε Λουκᾶς.

85. *Εἰς τὸν Μάρκον.*

Οὐ κατ᾽ ἐπωνυμίην αἰγύπτιον ἔλλαχε λαὸν
ὄρφνη, ἐπεὶ φωνῆς Μάρκου ἔδεκτο φάος.

86. *Εἰς τὸν ἅγιον Βασίλειον.*

Παρθενίην Βασίλειος Ἰωάννου σοφίην τε
ἔλλαχεν, ἶσα λαχὼν καὶ τάδε Γρηγορίῳ.

87. *Εἰς τὸν ἅγιον Πολύκαρπον.*

Οἰκτίρμων Πολύκαρπος, ὁ καὶ θρόνον ἀρχιερῆος
ἔσχε, καὶ ἀτρεκέως μαρτυρίης στεφάνους.

88. *Εἰς τὸν ἅγιον Διονύσιον.*

Οὐρανίων θιάσων ἱεράρχια τάγματα μέλψας,
μορφοφανῶν τε τύπων κρύφιον νόον εἰς φάος ἕλκων,
ζωοσόφων λογίων θεοτερπέα πυρσὸν ἀνάπτεις.

89. *Εἰς τὸν ἅγιον Νικόλαον.*

Νικόλεων Πολύκαρπος ἔχει σχεδόν, οὕνεκεν ἄμφω
εἰς ἔλεον παλάμας ἔσχον ἑτοιμοτάτας.

90. *ΣΩΦΡΟΝΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ἹΕΡΟΣΟΛΥΜΩΝ.*

*Εἰς Κύρον καὶ Ἰωάννην.*

Κύρῳ, ἀκεστορίης πανυπέρτατα μέτρα λαχόντι,
καὶ τῷ Ἰωάννῃ, μάρτυσι θεσπεσίοις,

*Σωφρόνιος, βλεφάρων ψυχαλγέα νοῦσον ἀλύξας,*
*βαιὸν ἀμειβόμενος τήνδ' ἀνέθηκε βίβλον.*

91. *Εἰς Ἰουστινιανὸν τὸν Βασιλέα ἐν Ἐφέσῳ.*
*Ἰουστινιανὸν καὶ ἠγαθέην Θεοδώρην*
*στέψεν Ἰωάννης Χριστοῦ ἐφημοσύναις.*

92. *Ἐν Καισαρείᾳ εἰς τὸν ναὸν τοῦ ἁγίου Βασιλείου.*
*Ἦν ὅτε Χριστὸς ἴαυεν ἐφ' ὁλκάδος ἔμφυτον ὕπνον,*
*τετρήχει δὲ θάλασσα κυδοιμοτόκοισιν ἀήταις,*
*δείματί τε πλωτῆρες ἀνίαχον· ἔγρεο σῶτερ·*
*ὀλλυμένοις ἐπάμυνον· ἄναξ δὲ κέλευεν ἀναστὰς*
*ἀτρεμέειν ἀνέμους καὶ κύματα, καὶ πέλεν οὕτως·*
*θαύματι δὲ φράζοντο θεοῦ φύσιν οἱ παρεόντες.*

93. *Εἰς τὸν αὐτὸν ναόν.*
*Ζωογόνων ἀρετῶν τετρακτύος εἰκόνα λεύσσων,*
*σεῦε νόον πρὸς μόχθον ἑκούσιον· εὐσεβίης γὰρ*
*ἱδρῶτες δεδάασιν ἀγήραον ἐς βίον ἕλκειν.*

94. *Εἰς τὴν κοίμησιν τῆς ὑπεραγίας Θεοτόκου·*
*Νεύμασι δεσπεσίοιο μετάρσιοι ἤλυθεν ἄρδην,*
*ἐς δόμον ἀχράντοιο ἀμωμήτοιο γυναικὸς*
*κεκλόμενοι μαθηταὶ ἀλλήλοισιν αἰγλήεντες,*
*οἱ μὲν ἀπ' ἀντολίης, οἱ δ' ἑσπερίοισιν γαίης,*
*ἄλλοι μεσημβρίης, ἕτεροι βαῖνον δ' ἀπ' ἀρκτῴων,*
*διζήμενοι κηδεῦσαι σῶμα τὸ σωσικόσμοιο.*

95. *Ἐν Ἐφέσῳ.*
*Σοί, μάκαρ, ἐκ σέο θῶκα τάπερ πόρες ἄμμιν ἀρῇ.*

Hosted by Google

96. *Εἰς σκῆπτρον.*

Τοῦτο γέρας λάχεν ἐσθλὸς Ἀμάντιος, ὡς βασιλῆϊ
πιστὸς ἐὼν, Χριστὸν δὲ θεουδείῃσιν ἰαίνων.

97. *Ἐν τῇ Μελίτῃ·*

Νηὸς ἐγὼ κύδιστος Ἰουστίνοιο ἄνακτος,
καί μ' ὕπατος Θεόδωρος, ὁ καρτερὸς, ὁ τρὶς ὕπαρχος,
ἄνθετο καὶ βασιλῆϊ, καὶ υἱέϊ παμβασιλῆος,
Ἰουστινιανῷ, στρατιῆς ἡγήτορι πάσης.

98. *Ἐν τῷ αὐτῷ πότῳ.*

Ἔργον ὁρᾷς περίπυστον Ἰουστίνου βασιλῆος,
Ἰουστινιανοῦ τε, μεγασθενέος στρατιάρχου,
λαμπόμενον στεροπῇσιν ἀμετρήτοιο μετάλλου·
τοῦτο κάμεν Θεόδωρος ἀοίδιμος, ὃς πόλιν ἄρας
τὸ τρίτον ἀμφιβέβηκεν ἔχων ὑπατηΐδα τιμήν.

99. *Ἐν τῷ κίονι τοῦ ὁσίου Δανιὴλ ἐν τῷ ἀνάπλῳ.*

Μεσσηγὺς γαίης τε καὶ οὐρανοῦ ἵσταται ἀνὴρ,
πάντοθεν ὀρνυμένους οὐ τρομέων ἀνέμους.
* * * * * *
ἴχνια ῥιζώσας κίονι διχθαδίῳ
λιμῷ δ' ἀμβροσίᾳ τρέφεται καὶ ἀπήμονι δίψῃ,
υἱέα κηρύσσων μητρὸς ἀπειρογάμου.

100. *Εἰς Νεῖλον μοναχὸν τὸν μέγαν ἐν τοῖς ἀσκηταῖς.*

Νείλου μὲν ποταμοῖο ῥόος χθόνα οἶδε ποτίζειν,
Νείλου δ' αὖ μοναχοῖο λόγος φρένας οἶδεν ἰαίνειν.

101. *ΜΕΝΑΝΔΡΟΥ ΠΡΟΤΙΚΤΟΡΟΣ.*

*Εἰς Πέρσην, μάγον, γενόμενον χριστιανὸν καὶ μαρτυρήσαντα.*

Ἦν πάρος ἐν Πέρσῃσιν ἐγὼ μάγος Ἰσβοζήτης,
εἰς ὀλοὴν ἀπάτην ἐλπίδας ἐκκρεμάσας·

εὖτε δὲ πυρσὸς ἔδαπτεν ἐμὴν πόλιν, ἦλθον ἀρῆξαι,
ἦλθε δὲ καὶ Χριστοῦ πανσθενέος θεράπων·
κείνῳ δ' ἐσβέσθη δύναμις πυρός· ἀλλὰ καὶ ἔμπης
νικηθεὶς νίκην ἤνυσα θειοτέρην.

102. *Εἰς τὸν σωτῆρα καὶ κύριον ἡμῶν Ἰησοῦν Χρ. τὸν υἱὸν τοῦ θεοῦ·*

Ὦ πάντων ἐπέκεινα—τί γὰρ πλέον ἄλλο σε μέλψω;—
πῶς σὲ τὸν ἐν πάντεσσιν ὑπείροχον ἐξονομήνω;
πῶς δὲ λόγῳ μέλψω σὲ τὸν οὐδὲ λόγῳ περιληπτόν;

103. *Εἰς ὑπέρθυρον οἴκου ἐν Κυζίκῳ σωθέντος ἀπὸ πυρός.*

Μῶμε μιαιφόνε, σός σε κατέκτανε πικρὸς ὀϊστός·
ῥύσατο γάρ μανίης με τεῆς θεὸς ὄλβιον οἶκον.

104. *Εἰς τὴν θήκην τῶν λειψάνων τοῦ ἁγίου μάρτυρος Ἀκακίου καὶ Ἀλεξάνδρου.*

Μάρτυρος Ἀκακίοιο, Ἀλεξάνδρου θ' ἱερῆος
ἐνθάδε σώματα κεῖται, ἅπερ χρόνος ὄλβιος ηὗρε.

105. *Εἰς Εὐδοκίαν τὴν γυναῖκα Θεοδοσίου βασιλέως.*

Ἡ μὲν σοφὴ δέσποινα τῆς οἰκουμένης,
ὑπ' εὐσεβοῦς ἔρωτος ἠρεθισμένη,
πάρεστι δούλη, προσκυνεῖ δ' ἑνὸς τάφον,
ἡ πᾶσιν ἀνθρώποισι προσκυνουμένη.
Ὁ γὰρ δεδωκὼς τὸν θρόνον καὶ τὸν γάμον
τέθνηκεν ὡς ἄνθρωπος, ἀλλὰ ζῇ θεός.
κάτω μὲν ἠνθρώπιζεν· ἦν δ' ὡς ἦν ἄνω.

106. *Ἐν τῷ χρυσοτρικλίνῳ Μαζαρινοῦ.*

Ἔλαμψεν ἀκτὶς τῆς ἀληθείης πάλιν,

Hosted by Google

καὶ τὰς κόρας ἤμβλυνε τῶν ψευδηγόρων·
ηὔξησεν εὐσέβεια, πέπτωκε πλάνη,
καὶ πίστις ἀνθεῖ καὶ πλατύνεται χάρις.
Ἰδοὺ γὰρ αὖθις Χριστὸς εἰκονισμένος
λάμπει πρὸς ὕψος τῆς καθέδρας τοῦ κράτους,
καὶ τὰς σκοτεινὰς αἱρέσεις ἀνατρέπει.
Τῆς εἰςόδου δ' ὕπερθεν, ὡς θεία πύλη,
στηλογραφεῖται, καὶ φύλαξ, ἡ παρθένος,
ἄναξ δὲ καὶ πρόεδρος, ὡς πλανοτρόποι
σὺν τοῖς συνεργοῖς ἱστοροῦνται πλησίον·
κύκλῳ δὲ παντὸς οἷα φρουροὶ τοῦ δόμου,
νόες, μαθηταί, μάρτυρες, θυηπόλοι,
ὅθεν καλοῦμεν χριστοτρίκλινον νέον,
τὸν πρὶν λαχόντα κλήσεως χρυσωνύμου,
ὡς τὸν θρόνον ἔχοντα Χριστοῦ κυρίου,
Χριστοῦ δὲ μητρός, χριστοκηρύκων τύπους,
καὶ τοῦ σοφουργοῦ Μιχαὴλ τὴν εἰκόνα.

107. *Εἰς τὸν αὐτὸν Χρυσοτρίκλινον.*

Ὡς τὴν φαεινὴν ἀξίαν τῆς εἰκόνος
τῆς πρὶν φυλάττων, Μιχαὴλ αὐτοκράτωρ,
κρατῶν τε πάντων σαρκικῶν μολυσμάτων,
ἐξεικονίζεις καὶ γραφῇ τὸν δεσπότην,
ἔργῳ κρατύνων τοὺς λόγους τῶν δογμάτων.

108. *Ἀδέσποτον εἰς τὸν Ἀδάμ.*

Οὐ σοφίης ἀπάνευθεν Ἀδὰμ τὸ πρὶν ἐκαλεῖτο,
τέσσαρα γράμματ' ἔχων εἰς τέσσαρα κλίματα κόσμου
Ἄλφα γὰρ ἀντολίης ἔλαχεν· δύσεως δὲ τὸ Δέλτα,
Ἄλφα πάλιν δ' ἄρκτοιο, μεσημβρίης δὲ τὸ λοιπόν.

Hosted by Google

### 109. ΙΓΝΑΤΙΟΥ

τοῦ Μαγίστορος τῶν γραμματικῶν.

Εἰς τὸν ναὸν τῆς θεοτόκου εἰς τὴν πηγήν.

Πτωθέντα κοσμεῖ τὸν ναὸν τῆς παρθένου
Βασίλειός τε * σὺν Κωνσταντινωλέων

110. Εἰς τὸν αὐτὸν εἰς τὸν τροῦλλον, ἐν τῇ ἀναλήψει.

Ἐκ γῆς ἀνελθὼν πατρικόν σου πρὸς θρόνον,
τὸν μητρικόν σου, σῶτερ, οἶκον δεικνύεις
πηγὴν νοητὴν κρειττόνων χαρισμάτων.

111. Ἐν τῷ αὐτῷ ναῷ, εἰς τὴν σταύρωσιν.

Ὁ νεκρὸς Ἅιδης ἐξεμεῖ τεθνηκότας,
κάθαρσιν εὑρὼν σάρκα τὴν τοῦ δεσπότου.

112. Εἰς τὸν αὐτὸν ναόν, εἰς τὴν μεταμόρφωσιν.

Λάμψας ὁ Χριστὸς ἐν Θαβὼρ φωτὸς πλέον,
σκιὰν πέπαυκε τοῦ παλαιτάτου νόμου.

113. Ἐν τῷ αὐτῷ ναῷ, εἰς τὴν ὑπαντήν.

Ὁρώμενος νῦν χερσὶ πρεσβύτου βρέφος
παλαιός ἐστι δημιουργὸς τῶν χρόνων.

114. Ἐν τῷ αὐτῷ ναῷ, εἰς χαιρετιστόν.

Προοιμιάζει κοσμικὴν σωτηρίαν,
εἰπὼν τὸ Χαῖρε ταῖς γυναιξὶ δεσπότης.

115. Εἰς τὴν θεοτόκον.

Παρθένος υἱέα τίκτε· μεθ' υἱέα παρθένος ἦεν.

116. Εἰς τὸν Σωτῆρα.

Χριστὲ μάκαρ, μερόπων φάος ἄφθιτον, υἱὲ θεοῖο,
δῶρ' ἀπὸ κρυστάλλων, δῶρ' ἀπὸ σαρδονύχων

*δέχνυσο, παρθενικῆς τέκος ἄφθιτον, υἱὲ θεοῖο,*
*δῶρ᾽ ἀπὸ κρυστάλλων, δῶρ᾽ ἀπὸ σαρδονύχων.*

117. *Εἰς τὸν τυφλόν·*

*Ἔβλεψε τυφλὸς ἐκ τόκου μεμυσμένος,*
*Χριστὸς γὰρ ἦλθεν ἡ πανόμματος χάρις.*

118. *Εὐκτικά.*

*Ἤγειρεν ἡμῖν τῶν κακῶν τρικυμίαν*
*ἐχθρὸς κάκιστος, πνευματώσας τὸν σάλον,*
*ὅθεν ταράσσει, καὶ βυθίζει, καὶ βρέχει*
*τὸν φόρτον ἡμῶν ψυχικῆς τῆς ὁλκάδος·*
*ἀλλ᾽, ὦ γαλήνη καὶ στορεστὰ τῆς ζάλης,*
*σύ, Χριστέ, δείξαις ἀβρόχους ἁμαρτίας,*
*τῷ σῷ πρὸς ὅρμῳ προσφόρων προσορμίσας,*
*ἐχθρὸν δὲ τοῦτον συμφοραῖς βεβρεγμένον.*

119. *Ὑπόθεσις, ἀπολογία Εὐφημ. Ὁμηροκέντρων*

*Βίβλος Πατρικίοιο θεουδέος ἀρητῆρος,*
*Ὃς μέγα ἔργον ἔρεξεν, Ὁμηρείης ἀπὸ βίβλου*
*κυδαλίμων ἐπέων τεύξας ἐρίτιμον ἀοιδήν,*
*πρήξιας ἀγγέλλουσαν ἀνικήτοιο θεοῖο·*
*ὡς μόλεν ἀνθρώπων ἐς ὁμήγυριν, ὡς λάβε μορφήν·*
*κρύπτετο τυτθὸς ἐών, ὃν ἀπείριτος οὐ χάδε κύκλος·*
*ἠδ᾽ ὡς παρθενικῆς θεοκύμονος ἔσπασε μαζόν,*
*παρθενίοιο γάλακτος ἀναβλύζοντα ῥέεθρον·*
*ὡς κτάνεν Ἡρώδης ἀταλάφρονας εἰσέτι παῖδας*
*νήπιος, ἀθανάτοιο θεοῦ διζήμενος οἶτον·*
*ὥς μιν Ἰωάννης λοῦσεν ποταμοῖο ῥεέθροις·*
*ὥς τε δυώδεκα φῶτας ἀμύμονας ἔλλαβ᾽ ἑταίρους·*
*ὅσσων τ᾽ ἄρτια πάντα θεὸς τεκτήνατο γυῖα,*

Hosted by Google

νούσους τ' ἐξελάσας στυγερὰς βλεφάρων τ' ἀλαωτύν,
ἠδ' ὅππως ῥείοντας ἀπέσβεσεν αἵματος ὁλκοὺς
ἁψαμένης ἑανοῖο πολυκλαύτοιο γυναικός·
ἠδ' ὅσσους μοίρῃσιν ὑπ' ἀργαλέῃσι δαμέντας
ἤγαγεν ἐς φάος αὖθις ἀπὸ χθονίοιο βερέθρου·
ὥς τε πάθους ἁγίου μνημήϊα κάλλιπεν ἄμμιν·
ὥς τε βροτῶν ὑπὸ χερσὶ τάθη κρυεροῖς ἐνὶ δεσμοῖς,
αὐτὸς ἑκών· οὐ γάρ τις ἐπιχθονίων πολεμίζοι
ὑψιμέδοντι θεῷ, ὅτε μὴ αὐτός γε κελεύοι·
ὡς θάνεν, ὡς Ἀΐδαο σιδήρεα ῥῆξε θύρετρα,
κεῖθεν δὲ ψυχὰς θεοπειθέας οὐρανὸν εἴσω
ἤγαγεν ἀχράντοισιν ὑπ' ἐννεσίῃσι τοκῆος,
ἀνστὰς ἐν τριτάτῃ φαεσιμβρότῳ ἠριγενείῃ
ἀρχέγονον βλάστημα θεοῦ γενετῆρος ἀνάρχου.

### 120. Ἐν Βλαχέρναις ἴαμβοι.

Εἰ φρικτὸν ἐν γῇ τοῦ θεοῦ ζητεῖς θρόνον,
ἰδὼν τὸν οἶκον θαύμασον τῆς παρθένου·
αὐτὴ γὰρ ἡ φέρουσα θεὸν ἐν ἀγκάλαις,
φέρει τὸν αὐτὸν εἰς τὸ τοῦ τόπου σέβας·
ἐνταῦθα τῆς γῆς οἱ κρατεῖν τεταγμένοι
τὰ σκῆπτρα πιστεύουσι τῆς νίκης ἔχειν·
ἐνταῦθα πολλὰς κοσμικὰς περιστάσεις
ὁ πατριάρχης ἀγρυπνῶν ἀνατρέπει·
οἱ βάρβαροι δὲ περιλαβόντες τὴν πόλιν,
αὐτὴν στρατηγήσασαν ὡς εἶδον μόνην,
ἔκαμψαν εὐθὺς τοὺς ἀκαμπεῖς αὐχένας.

### 121. Εἰς τὸν αὐτὸν ναόν.

Ἔδει γενέσθαι δευτεραν θεοῦ πύλην

τῆς παρθένου τὸν οἶκον, ὡς καὶ τὸν τόκον
κιβωτὸς ὤφθη τῆς πρὶν ἐνδεεστέρα,
οὐ τὰς πλάκας φέρουσα τὰς θεογράφους,
ἀλλ' αὐτὸν ἔνδον τὸν θεὸν δεδεγμένη.
ἐνταῦθα κρουνοὶ σαρκικῶν καθαρσίων,
καὶ ψυχικῶν βλύζουσιν ἀγνοημάτων.
ὅσαι γάρ εἰσι τῶν παθῶν περιστάσεις,
βλύζει τοσαύτας δωρεὰς τῶν θαυμάτων.
ἐνταῦθα νικήσασα τοὺς ἐναντίους,
ἀνεῖλεν αὐτοὺς ἀντὶ λόγχης εἰς ὕδωρ·
τροπῆς γὰρ ἀλλοίωσιν οὐκ ἔχει μόνη,
Χριστὸν τεκοῦσα καὶ κλονοῦσα βαρβάρους.

## 122. ΜΙΧΑΗΛ ΧΑΡΤΟΦΥΛΑΞ.

*Εἰς τὴν θεοτόκον βαστάζουσαν τὸν Χριστόν.*

Αὕτη τεκοῦσα παρθένος πάλιν μένει
καὶ μητροπάρθενος· ἔστι γὰρ τὸ παιδίον
θεός, θελήσας προσλαβέσθαι σαρκίον.

## 123. ΣΩΦΡΟΝΙΟΥ.

*Εἰς τὸν κρανίου λίθον ἐν Ἱερουσαλήμ.*

Πέτρα τρισμακάριστε, θεόσσυτον αἷμα λαχοῦσα,
οὐρανίη γενεή σε πυρίπνοος ἀμφιπολεύει,
καὶ χθονὸς ἐνναετῆρες ἀνάκτορες ὑμνοπολοῦσιν.

Hosted by Google

## II.

# ΧΡΙΣΤΟΔΩΡΟΥ ΠΟΙΗΤΟΥ ΘΗΒΑΙΟΥ ΚΟΠΤΙΤΟΥ

*Ἔκφρασις τῶν ἀγαλμάτων τῶν εἰς τὸ δημόσιον γυμνάσιον τοῦ ἐπικαλουμένου Ζευξίππου.*

Δηΐφοβος μὲν πρῶτος ἐϋγλύπτῳ ἐπὶ βωμῷ
ἵστατο τολμήεις, κεκορυθμένος, ὄβριμος ἥρως,
τοῖος ἐὼν, οἷός περ ἐπορνυμένῳ Μενελάῳ
περθομένων ἤντησεν ἑῶν προπάροιθε μελάθρων.
ἵστατο δὲ προβιβῶντι πανείκελος· εὖ δ᾽ ἐπὶ κόσμῳ
δόχμιος ἦν, μανίῃ δὲ κεκυφότα νῶτα συνέλκων,
δριμὺ μένος ξυνάγειρεν· ἕλισσε δὲ φέγγος ὀπωπῆς,
οἷά τε δυσμενέων μερόπων πεφυλαγμένος ὁρμήν.
λαιῇ μὲν σάκος εὐρὺ προΐσχετο, δεξιτερῇ δὲ
φάσγανον ὑψόσ᾽ ἄειρεν· ἔμελλε δὲ μαινομένη χεὶρ
ἀνέρος ἀντιβίοιο κατὰ χροὸς ἆορ ἐλάσσαι·
ἀλλ᾽ οὐ χαλκὸν ἔθηκε φύσις πειθήμονα λύσσῃ.
    Κεκροπίδης δ᾽ ἤστραπτε, νοήμονος ἄνθεμα
        Πειθοῦς,

*Αἰσχίνης· λασίης δὲ συνείρυε κύκλα παρειῆς,*
*οἷα πολυτροχάλοισιν ἀεθλεύων ἀγορῇσιν·*
*στείνετο γὰρ πυκινῇσι μεληδόσιν· ἄγχι δ᾽ ἐκείνου*
*ἦεν Ἀριστοτέλης, σοφίης πρόμος· ἱστάμενος δὲ*
*χεῖρε περιπλέγδην συνεέργαθεν, οὐδ᾽ ἐνὶ χαλκῷ*
*ἀφθόγγῳ φρένας εἶχεν ἀεργέας, ἀλλ᾽ ἔτι βουλὴν*
*σκεπτομένῳ μὲν ἔϊκτο· συνιστάμεναι δὲ παρειαὶ*
*ἀνέρος ἀμφιέλισσον ἐμαντεύοντο μενοινήν,*
*καὶ τροχαλαὶ σήμαινον ἀολλέα μῆτιν ὀπωπαί.*
*Καὶ Παιανιέων δημηγόρος ἔπρεπε σάλπιγξ,*
*ῥήτρης εὐκελάδοιο πατὴρ σοφός, ὃ πρὶν Ἀθήναις*
*Πειθοῦς θελξινόοιο νοήμονα πυρσὸν ἀνάψας.*
*ἀλλ᾽ οὐκ ἠρεμέων διεφαίνετο, πυκνὰ δὲ βουλὴν*
*ἐστρώφα, πυκινὴν γὰρ ἐείδετο μῆτιν ἑλίσσειν,*
*οἷα κατ᾽ εὐόπλων τεθοωμένος Ἠμαθιήων,*
*ἦ τάχα κεν κοτέων τροχαλὴν ἐφθέγγετο φωνήν,*
*ἄπνοον αὐθήεντα τιθεὶς τύπον· ἀλλά ἑ τέχνη*
*χαλκείης ἐπέδησεν ὑπὸ σφραγῖδα σιωπῆς.*
*Ἵστατο δ᾽ Εὐρίποιο φερώνυμος· ὡς δὲ δοκεύω,*
*λάθρῃ ὑπὸ κραδίην τραγικαῖς ὡμίλεε Μούσαις,*
*ἔργα σαοφροσύνης διανεύμενος· ἦν γὰρ ἰδέσθαι*
*οἷά τέ που θυμέλῃσιν ἐν Ἀτθίσι θύρσα τινάσσων.*
*Δάφνῃ μὲν πλοκαμῖδα Παλαίφατος ἔπρεπε μάντις*
*στεψάμενος, δόκεεν δὲ χέειν μαντώδεα φωνήν.*
*Ἡσίοδος δ᾽ Ἀσκραῖος ὀρειάσιν εἴδετο Μούσαις*
*φθεγγόμενος, χαλκὸν δ᾽ ἐβιάζετο θυιάδι λύσσῃ,*
*ἔνθεον ἱμείρων ἀνάγειν μέλος· ἐγγύθι δ᾽ αὐτοῦ*
*μαντιπόλος πάλιν ἄλλος ἔην φοιβηΐδι δάφνῃ*

κοσμηθεὶς Πολύειδος· ἀπὸ στομάτων δὲ τινάξαι
ἤθελε μὲν κελάδημα θεοπρόπον· ἀλλά ἑ τέχνη
δεσμῷ ἀφωνήτῳ κατερήτυεν. Οὐδὲ σὺ μολπῆς
εὔνασας ἁβρὸν ἔρωτα, Σιμωνίδη, ἀλλ' ἔτι χορδῆς
ἱμείρεις, ἱερὴν δὲ λύρην οὐ χερσὶν ἀράσσεις.
ὤφελεν ὁ πλάσσας σέ, Σιμωνίδη, ὤφελε χαλκῷ
συγκεράσαι μέλος ἡδύ· σὲ δ' ἂν καὶ χαλκὸς ἀναυδὴς
αἰδόμενος, ῥυθμοῖσι λύρης ἀντήχεε μολπήν.
  Ἦν μὲν Ἀναξιμένης νοερὸς σοφός· ἐν δὲ μενοινῇ
δαιμονίης ἑλέλιζε νοήματα ποικίλα βουλῆς.
  Θεστορίδης δ' ἄρα μάντις εὔσκοπος ἵστατο Κάλχας,
οἷά τε θεσπίζων, ἐδόκει δέ τε θέσφατα κεύθειν,
ἢ στρατὸν οἰκτείρων Ἑλλήνιον, ἢ ἔτι θυμῷ
δειμαίνων βασιλῆα πολυχρύσοιο Μυκήνης.
  Δέρκεο μοι σκύμνον πτολιπόρθιον Αἰακιδάων,
Πύρρον Ἀχιλλείδην, ὅσον ἤθελε χερσὶν ἑλίσσειν
τεύχεα χαλκήεντα, τὰ μὴ ἑοῖ ὤπασε τέχνη·
γυμνὸν γάρ μιν ἔτευξεν· ὁ δ' ὑψόσε φαίνετο λεύσσων,
οἷά περ ἠνεμόεσσαν ἐς Ἴλιον ὄμμα τιταίνων.
  Ἧστο δ' Ἀμυμώνη ῥοδοδάκτυλος· εἰςοπίσω μὲν
βόστρυχον ἀκρήδεμνον ἑῆς συνέεργεν ἐθείρης·
γυμνὸν δ' εἶχε μέτωπον· ἀναστέλλουσα δ' ὀπωπὰς
εἰνάλιον σκοπίαζε μελαγχαίτην παρακοίτην.
ἐγγύθι δ' εὐρύστερνος ἐφαίνετο Κυανοχαίτης
γυμνὸς ἐών, πλόκαμον δὲ καθειμένον εἶχεν ἐθείρης,
καὶ διερὸν δελφῖνα προΐσχετο, χειρὶ κομίζων
δῶρα πολυζήλοιο γάμων μνηστήρια κούρης.

Πιερικὴ δὲ μέλισσα, λιγύθροος ἕζετο Σαπφὼ
Λεσβιάς, ἠρεμέουσα· μέλος δ' εὔϋμνον ὑφαίνειν
σιγαλέαις δοκέεσκεν ἀναψαμένη φρένα Μούσαις.
Φοῖβος δ' ἑστήκει τριποδηλάλος· ἦν δ' ἄρα χαίτης
εἰςοπίσω σφίγξας ἄδετον πλόκον· ἀλλ' ἐνὶ χαλκῷ
γυμνὸς ἔην, ὅτι πᾶσιν ἀνειρομένοισιν Ἀπόλλων
γυμνῶσαι δεδάηκεν ἀληθέα δήνεα Μοίρης,
ἢ ὅτε πᾶσιν ὁμῶς ἀναφαίνεται· ἠέλιος γὰρ
Φοῖβος ἄναξ, καθαρὴν δὲ φέρει τηλέσκοπον αἴγλην.
Ἄγχι δὲ Κύπρις ἔλαμπεν· ἔλειβε δὲ νώροπι χαλκῷ
ἀγλαΐης ῥαθάμιγγας· ἀπὸ στέρνοιο δὲ γυμνὴ
φαίνετο μέν, φᾶρος δὲ συνήγαγεν ἄντυγι μηρῶν,
χρυσείῃ πλοκαμῖδας ὑποσφίγξασα καλύπτρῃ.
Κλεινιάδην δὲ τέθηπα, περιστίλβοντα νοήσας
ἀγλαΐῃ· χαλκῷ γὰρ ἀνέπλεκε κάλλεος αὐγήν,
τοῖος ἐών, οἷός περ ἐν Ἀτθίδι, μητέρι μύθων,
ἀνδράσι Κεκροπίδῃσι πολύφρονα μῆτιν ἀγείρων.
Χρύσης δ' αὖθ' ἱερεὺς πέλας ἵστατο, δεξιτερῇ μὲν
σκῆπτρον ἀνασχόμενος Φοιβήϊον, ἐν δὲ καρήνῳ
στέμμα φέρων· μεγέθει δὲ κεκασμένος ἔπρεπε μορφῆς,
οἷά περ ἡρώων ἱερὸν γένος· ὡς δοκέω δέ,
Ατρείδην ἱκέτευε· βαθὺς δέ οἱ ἤνθεε πώγων,
καὶ ταναῆς ἄπλεκτος ἐσύρετο βότρυς ἐθείρης.
Καῖσαρ δ' ἐγγὺς ἔλαμπεν Ἰούλιος, ὅς ποτε Ῥώμην
ἀντιβίων ἔστεψεν ἀμετρήτοισι βοείαις.

Hosted by Google

*αἰγίδα μὲν βλοσυρῶπιν ἐπωμαδὸν ἦεν ἀείρων,*
*δεξιτερῇ δὲ κεραυνὸν ἀγάλλετο χειρὶ κομίζων,*
*οἷα Ζεὺς νέος ἄλλος ἐν Αὐσονίοισιν ἀκούων.*
*Ἑστήκει δὲ Πλάτων θεοείκελος, ὃ πρὶν Ἀθήναις*
*δείξας κρυπτὰ κέλευθα θεοκράντων ἀρετάων.*
*Ἄλλην δ' εὐπατέρειαν ἴδον χρυσῆν Ἀφροδίτην,*
*γυμνὴν παμφανόωσαν· ἐπὶ στέρνων δὲ θεαίνης*
*αὐχένος ἐξ ὑπάτοιο χυθεὶς ἐλελίζετο κεστός.*
*Ἵστατο δ' Ἑρμαφρόδιτος ἐπήρατος, οὔθ' ὅλος ἀνήρ,*
*οὔτε γυνή· μικτὸν γὰρ ἔην βρέτας. ἦ τάχα κοῦρον*
*Κύπριδος εὐκόλποιο καὶ Ἑρμάωνος ἐνίψεις.*
*μαζοὺς μὲν σφριγόωντας ἐδείκνυεν, οἷά τε κούρη·*
*σχῆμα δὲ πᾶσιν ἔφαινε φυτοσπόρον ἄρσενος αἰδοῦς,*
*ξυνῆς ἀγλαΐης κεκερασμένα σήματα φαίνων.*
*Παρθενικὴ δ' Ἠρίννα λιγύθροος ἕζετο κούρη,*
*οὐ μίτον ἀμφαφόωσα πολύπλοκον, ἀλλ' ἐνὶ σιγῇ*
*Πιερικῆς ῥαθάμιγγας ἀποσταλάουσα μελίσσης.*
*Μήτε λίπῃς Τέρπανδρον ἐΰθροον, οὗ τάχα φαίης*
*ἔμπνοον, οὐκ ἄφθογγον ἰδεῖν βρέτας· ὡς γὰρ ὀΐω,*
*κινυμέναις πραπίδεσσιν ἀνέπλεκε μύστιδα μολπήν,*
*ὥς ποτε δινήεντος ἐπ' Εὐρώταο ῥοάων*
*μυστιπόλῳ φόρμιγγι κατεπρήϋνεν ἀείδων*
*ἀγχεμάχων κακότητας Ἀμυκλαίων γαετήρων.*
*Ἠγασάμην δ' ὁρόων σε, Περίκλεες, ὅτι καὶ αὐτῷ*
*χαλκῷ ἀναυδήτῳ δημηγόρον ἦθος ἀνάπτεις,*
*ὡς ἔτι Κεκροπίδῃσι θεμιστεύων πολιήταις,*

Hosted by Google

ἢ μόθον ἐντύνων Πελοπήϊον. ἱστάμενος δὲ
ἔπρεπε Πυθαγόρας Σάμιος σοφός, ἀλλ' ἐν Ὀλύμπῳ
ἐνδιάειν ἐδόκευε, φύσιν δ' ἐβιάζετο χαλκοῦ,
πλημμύρων νοερῇσι μεληδόσιν· ὡς γὰρ ὀΐω,
οὐρανὸν ἀχράντοισιν ἐμέτρεε μοῦνον ὀπωπαῖς.
Στησίχορον δ' ἐνόησα λιγύθροον, ὅν ποτε γαῖα
Σικελίη μὲν ἔφερβε, λύρης δ' ἐδίδαξεν Ἀπόλλων
ἁρμονίην, ἔτι μητρὸς ἐνὶ σπλάγχνοισιν ἐόντα.
τοῦ γὰρ τικτομένοιο καὶ ἐς φάος ἄρτι μολοῦντος
ἔκποθεν ἠερόφοιτος ἐπὶ στομάτεσσιν ἀηδὼν
λάθρῃ ἐφεζομένη, λιγυρὴν ἀνεβάλλετο μολπήν.
Χαῖρέ μοι Ἀβδήρων Δημόκριτε κῦδος ἀρούρης,
ὅττι σὺ καλλιτόκοιο φυῆς ἐφράσσαο θεσμούς,
λεπτὰ διακρίνων πολυΐδμονος ὄργια Μούσης,
αἰεὶ δὲ σφαλερὰς ἐγέλας βιότοιο κελεύθους,
εὖ εἰδὼς ὅτι πάντα γέρων παραμείβεται αἰών.
Ἡρακλέης δ' ἀνίουλον ἐδείκνυε κύκλον ὑπήνης
μῆλα λεοντοφόνῳ παλάμῃ χρύσεια κομίζων,
γαίης ὄλβια δῶρα Λιβυστίδος. ἐγγύθι δ' αὐτοῦ
Παλλάδος ἀρήτειρα παρίστατο παρθένος Αὔγη,
φᾶρος ἐπιστείλασα κατωμαδόν· οὐ γὰρ ἐθείρας
κρηδέμνῃ συνέεργεν· ἑὰς δ' ἀνετείνετο χεῖρας,
οἷά τε κικλήσκουσα Διὸς γλαυκώπιδα κούρην,
Ἀρκαδικῆς Τεγέης ὑπὸ δειράδος. ἵλαθι γαίης
Τρωϊάδος βλάστημα σακεσπάλον, ἵλαθι λάμπων
Αἰνεία Τρώων βουληφόρε· σαῖς γὰρ ὀπωπαῖς
ἀγλαΐης πνείουσα σοφὴ περιλείβεται αἰδώς,
θέσκελον ἀγγέλλουσα γένος χρυσῆς Ἀφροδίτης.
Ἠγασάμην δὲ Κρέουσαν ἰδὼν πενθήμονι κόσμῳ,

Hosted by Google

*σύγγαμον Αἰνείαο κατάσκιον· ἀμφὶ γὰρ αὐταῖς*
*ἀμφοτέραις κρήδεμνον ἐφελκύσασα παρειαῖς,*
*πάντα πέριξ ἐκάλυψε ποδηνεκέϊ χρόα πέπλῳ,*
*οἷά τε μυρομένη· τὰ δὲ χάλκεα δάκρυα νύμφης*
*Ἄρεϊ δουρίκτητον ἐμαντεύοντο τιθήνην,*
*Ἴλιον, Ἀργείοισιν ἐελμένον ἀσπιδιώταις.*
*Οὐδ' Ἕλενος κοτέων ἀπεπαύετο· πατρὶ δ' νηλῆς.*
*φαίνετο δινείων ἔτι που χόλον· ἦν μὲν ἀείρων*
*δεξιτερῇ φιάλην ἐπιλοίβιον· ὡς δοκέω δέ,*
*ἐσθλὰ μὲν Ἀργείοις μαντεύετο, καδδὲ τιθήνης*
*ἀθανάτοις ἠρᾶτο πανύστατα σήματα φαίνειν.*
*Ἀνδρομάχη δ' ἕστηκε ῥοδόσφυρος Ἠετιώνη,*
*οὔτι γόον σταλάουσα πολύστονον· ὡς γὰρ ὀΐω,*
*οὔπω ἐνὶ πτολέμῳ κορυθαίολος ἤριπεν Ἕκτωρ,*
*οὐδὲ φερεσσακέων ὑπερήνορες υἷες Ἀχαιῶν*
*Δαρδανίην ξύμπασαν ἐληΐσσαντο τιθήνην.*
*Ἦν δ' ἐςιδεῖν Μενέλαον ἀρήϊον, ἀλλ' ἐπὶ νίκῃ*
*γηθόσυνον· σχεδόθεν γὰρ ἐθάλπετο χάρματι πολλῷ*
*δερκόμενος ῥοδόπηχυν ὁμόφρονα Τυνδαρεώνην.*
*Ἠγασάμην δ' Ἑλένης ἐρατὸν τύπον, ὅττι καὶ αὐτῷ*
*χαλκῷ κόσμον ἔδωκε πανίμερον· ἀγλαΐη γὰρ*
*ἔπνεε θερμὸν ἔρωτα καὶ ἀψύχῳ ἐνὶ τέχνῃ.*
*Πυκναῖς δὲ πραπίδεσσιν ἀγάλλετο δῖος Ὀδυσσεύς*
*οὐ γὰρ ἔην ἀπάνευθε πολυστρέπτοιο μενοινῆς,*
*ἀλλ' ἔτι κόσμον ἔφαινε σοφῆς φρενός· ἦν δ' ἐνὶ θυμῷ*
*καγχαλόων· Τροίην γὰρ ἐγήθεε πᾶσαν ὀλέσσας*

ᾗσι δολοφροσύνῃσι. σὺ δ' Ἕκτορος ἔννεπε μῆτερ,
τίς σέ, πολυτλήμων Ἑκάβη, τίς δάκρυα λείβειν
ἀθανάτων ἐδίδαξεν ἀφωνήτῳ ἐνὶ κόσμῳ;
οὐδέ σε χαλκὸς ἔπαυσεν ὀϊζύος, οὐδέ σε τέχνη
ἄπνοος οἰκτείρασα δυςαλθέος ἔσχεθε λύσσης·
ἀλλ' ἔτι δακρυχέουσα παρίστασαι· ὡς δὲ δοκεύω,
οὐκέτι δυστήνου μόρον Ἕκτορος, οὐδὲ ταλαίνης
Ἀνδρομάχης βαρὺ πένθος ὀδύρεαι, ἀλλὰ πεσοῦσαν
πατρίδα σήν· φᾶρος γὰρ ἐπικρεμὲς ἀμφὶ προσώπῳ
πήματα μὲν δείκνυσιν· ἀπαγγέλλουσι δὲ πέπλοι
πένθος ὑποβρύχιον κεχαλασμένοι ἄχρι πεδίλων.
ἄλγεϊ γὰρ πυμάτῳ δέδεσαι φρένα, καδδὲ παρειῆς
δάκρυα μὲν σταλάεις· τὸ δὲ δάκρυον ἔσβεσε τέχνη
ἄπλετον ἀγγέλλουσα δυςαλθέος αὐχμὸν ἀνίης.
Κασσάνδρην δ' ἐνόησα θεοπρόπον, ἀλλ' ἐνὶ σιγῇ
μεμφομένη γενετῆρα, σοφῆς ἀνεπίμπλατο λύσσης,
οἷά τε θεσπίζουσα πανύστατα πήματα πάτρης.
Πύῤῥος δ' ἄλλος ἔην πτολιπόρθιος· οὐκ ἐπὶ χαίτης
ἱππόκομον τρυφάλειαν ἔχων, οὐκ ἔγχος ἑλίσσων·
ἀλλ' ἄρα γυμνὸς ἔλαμπε, καὶ ἄχνοον εἶχεν ὑπήνην·
δεξιτερὴν δ' ἀνέτεινεν ἑήν, ἐπιμάρτυρα νίκης,
λοξὰ Πολυξείνην βαρυδάκρυον ὄμματι λεύσσων.
Εἰπέ, Πολυξείνη δυςπάρθενε, τίς τοι ἀνάγκη
χαλκῷ ἐν ἀφθόγγῳ κεκρυμμένα δάκρυα λείβειν;
πῶς δὲ τεῷ κρήδεμνον ἐπειρύσσασα προσώπῳ
ἵστασαι, αἰδομένη μὲν ἀλίγκιος, ἀλλ' ἐνὶ θυμῷ
πένθος ἔχεις; μὴ δή σε τεὸν πτολίεθρον ὀλέσσας



Hosted by Google

ληΐδα Πύῤῥος ἔχει Φθιώτιος, οὐδέ σε μορφὴ
ῥύσατο, τοξεύσασα Νεοπτολέμοιο μενοινήν,
ἥ ποτε θηρεύσασα τεοῦ γενετῆρα φονῆος
εἰς λίνον αὐτοκέλευστον ἀελπέος ἤγεν ὀλέθρου;
ναὶ μὰ τὸν ἐν χαλκῷ νοερὸν τύπον, εἴ νύ σε τοίην
ἔδρακε Πύῤῥος ἄναξ, τάχα κεν ξυνήονα λέκτρων
ἤγετο, πατρῴης προλιπὼν μνημήϊα μοίρης.
Ἠγασάμην δ' Αἴαντα, τὸν ὀβριμόθυμος Ὀϊλεὺς
Λοκρίδος ἐσπέρμηνε πελώριον ἕρκος ἀρούρης.
φαίνετο μὲν νεότητι κεκασμένος· οὐδὲ γὰρ ἦεν
ἄνθεϊ λαχνήεντι γενειάδος ἄκρα χαράξας.
γυμνὸν δ' εἶχεν ἅπαν στιβαρὸν δέμας· ἠνορέῃ δὲ
βεβριθὼς ἐλέλιζε μαχήμονος οἶστρον Ἐνυοῦς.
Οἰνώνη δέ χόλῳ φρένας ἔζεεν, ἔζεε πικρῷ
ζήλῳ θυμὸν ἔδουσα, Πάριν δ' ἐπέλευσσε λαθοῦσα
ὄμματι μαινομένῳ· κρυφίην δ' ἤγγειλεν ἀπειλὴν,
δεξιτερῇ βαρύποτμον ἀναινομένη παρακοίτην.
Αἰδομένῳ μὲν ἔοικεν ὁ βουκόλος· εἶχε δ' ὀπωπὴν
πλαζομένην ἑτέρωσε δυσίμερος· αἴδετο γάρ που
Οἰνώνην βαρύδακρυν ἰδεῖν, Κεβρηνίδα νύμφην.
Αὐαλέῳ δὲ Δάρης ἐζώννυτο χεῖρας ἱμάντι,
πυγμαχίης κήρυκα φέρων χόρον· ἠνορέης δὲ
ἔπνεε θερμὸν ἄημα πολυστρέπτοισιν ὀπωπαῖς.
Ἔντελλος δὲ Δάρητος ἐναντίον ὄμμα τιταίνων
γυιοτόρους μύρμηκας ἐμαίνετο χερσὶν ἑλίσσων·
πυγμαχίης δ' ὤδινε φόνου διψῶσαν ἀπειλήν.
Ἦν δὲ παλαισμοσύνην δεδαημένος ὄβριμος ἀνήρ.
εἰ δὲ Φίλων ἤκουε πελώριος, εἴτε Φιλάμμων,
εἴτε Μίλων Σικελῆς ἕρυμα χθονός, οἶδεν Ἀπόλλων·

οὐ γὰρ ἐγὼ δεδάηκα διακρῖναι καὶ ἀεῖσαι
οὔνομα θαρσαλέου κλυτὸν ἀνέρος· ἀλλὰ καὶ ἔμπης
ἔπνεεν ἠνορέης· λάσιος δέ οἱ εἵλκετο πώγων,
καὶ φόβον ἠκόντιζον ἀεθλητῆρα παρειαί,
καὶ κεφαλῆς ἔφρισσον ἐθειράδες· ἀμφὶ δὲ πυκνοῖς
μυιῶνες μελέεσσιν ἀνοιδαίνοντο ταθέντες
τρηχαλέοι· δοιοὶ δέ, συνισταμένων παλαμάων,
εὐρέες ἐσφηκῶντο βραχίονες, ἠΰτε πέτραι,
καὶ παχὺς ἀλκήεντι τένων ἐπανίστατο νώτῳ,
αὐχένος εὐγνάπτοιο περὶ πλατὺν αὐλὸν ἀνέρπων.
Δέρκεό μοι Χαρίδημον, ὃς Ἀτθίδος ἡγεμονεύων,
Κεκροπίδην στρατὸν εἶχεν ἑῆς πειθήμονα βουλῆς.
Ἦν κεν ἰδὼν ἀγάσαιο Μελάμποδα· μαντιπόλον μὲν
ἱερὸν εἶδος ἔφαινεν· ἔοικε δὲ θέσπιδος ὀμφῆς
σιγηλοῖς στομάτεσσι θεοπρόπον ἆσθμα τιταίνων.
Πάνθοος ἦν Τρώων βουληφόρος, ἀλλ' ἔτι δεινὴν
οὔπω μῆτιν ἔπαυσε κατ' Ἀργείων στρατιάων.
Δημογέρων δὲ νόημα πολύπλοκον εἶχε Θυμοίτης
ἀμφασίης πελάγεσσιν ἐελμένος· ἦ γὰρ ἐῴκει
σκεπτομένῳ τινὰ μῆτιν ἔτι Τρώεσσιν ὑφαίνειν.
Λάμπων δ' ἀχνυμένῳ ἐναλίγκιος ἦεν ἰδέσθαι·
οὐ γὰρ ἔτι φρεσὶν εἶχε κυλινδομένοιο κυδοιμοῦ
τειρομένοις Τρώεσσι τεκεῖν παιήονα βουλήν.
Ἑστήκει Κλυτίος μὲν ἀμήχανος· εἶχε δὲ δοιὰς
χεῖρας ὁμοπλεκέας, κρυφίης κήρυκας ἀνίης.
Χαῖρε φάος ῥήτρης Ἰσόκρατες, ὅττι σὺ χαλκῷ

*κόσμον ἄγεις· δοκέεις γὰρ ἐπίφρονα μήδεα φαίνειν,*
*εἰ καὶ ἀφωνήτῳ σε πόνῳ χαλκεύσατο τέχνη.*
*Ἔστενε δ᾽ Ἀμφιάρηος ἔχων περιλαμπέα χαίτην*
*στέμματι δαφναίῳ· κρυφίην δ᾽ ἐλέλιζεν ἀνίην,*
*θεσπίζων ὅτι πᾶσι μιτόκτιτος ἀνδράσι Θήβη*
*ἀνδράσιν Ἀργείοισιν ὑπότροπον ἦμαρ ὀλέσσει.*
*Ἄγλαος ἑστήκει χρησμηγόρος, ὅντινα φασὶν*
*μαντιπόλου γενετῆρα θεοφραδέος Πολυείδου·*
*εὐπετάλῳ δὲ κόμας ἐστεμμένος ἔπρεπε δάφνῃ.*
*Εἶδον ἀκερσεκόμην Ἕκατον θεόν, εἶδον ἀοιδῆς*
*κοίρανον, ἀτμήτοισι κεκασμένον ἄνθεσι χαίτην·*
*εἶχε γὰρ ἀμφοτέροισι κόμης μεμερισμένον ὤμοις*
*βόστρυχον αὐτοέλικτον· ἕλισσε δὲ μάντιν ὀπωπήν,*
*οἶά τε μαντοσύνῃ μεροπήϊα πήματα λύων.*
*Γυμνὸς δ᾽ ὀβριμόθυμος ἔην Τελαμώνιος Αἴας,*
*μήπω πρῶτον ἴουλον ἔχων· ἐκέκαστο δὲ μορφῆς*
*ἄνθεσι πατρῴης· πλοκάμους δ᾽ ἐσφίγγετο μίτρῃ·*
*οὐ γὰρ ἔην τρυφάλειαν ἔχων, οὐκ ἔγχος ἑλίσσων*
*οὐ σάκος ἑπταβόειον ἐπωμαδόν, ἀλλὰ τοκῆος*
*θαρσαλέην ἀνέφαινεν ἀγηνορίην Τελαμῶνος.*
*Ἵστατο Σαρπηδών, Λυκίων πρόμος· ἠνορέῃ μὲν*
*φρικτὸς ἔην· ἁπαλοῖς δὲ νεοτρεφέεσσιν ἰούλοις*
*οἴνοπος ἄκρα χάρασσε γενειάδος· ἀμφὶ δὲ χαίταις*
*εἶχε κόρυν· γυμνὸς μὲν ἔην δέμας, ἀλλ᾽ ἐνὶ μορφῇ*
*σπέρμα Διὸς σήμαινεν· ἀπ᾽ ἀμφοτέρης γὰρ ὀπωπῆς*
*μαρμαρυγὴν ἀπέπεμπεν ἐλευθερίου γενετῆρος.*
*Καὶ τρίτος εὐχαίτης τριποδηλάλος ἦεν Ἀπόλ-λων,*
*καλὸς ἰδεῖν· πλόκαμος γὰρ ἕλιξ ἐπιδέδρομεν ὤμοις*

ἀμφοτέροις· ἐρατὴ δὲ θεοῦ διεφαίνετο μορφή,
χαλκῷ κόσμον ἄγουσα· θεὸς δ' ἐτίταινεν ὀπωπήν,
οἷά τε μαντιπόλοισιν ἐπὶ τριπόδεσσι δοκεύων.
Καὶ τριτάτην θάμβησα πάλιν χρυσῆν Ἀφροδίτην
φάρεϊ κόλπον ἔχουσαν ἐπίσκιον· ἀμφὶ δὲ μαζοῖς
κεστὸς ἕλιξ κεχάλαστο, χάρις δ' ἐνενήχετο κεστῷ.
Αἰχμητὴς δ' ἀνίουλος ἐλάμπετο δῖος Ἀχιλλεύς,
γυμνὸς ἐὼν σακέων· ἐδόκευε μὲν ἔγχος ἑλίσσειν
δεξιτερῇ, σκαιῇ δὲ σάκος χαλκεῖον ἀείρειν,
σχήματι τεχνήεντι· μόθου δ' ἀπέπεμπεν ἀπειλὴν
θάρσεϊ τολμήεντι τεθηγμένος· αἱ γὰρ ὀπωπαὶ
γνήσιον ἦθος ἔφαινον ἀρήϊον Αἰακιδάων.
Ἦν δὲ καὶ Ἑρμείας χρυσόῤῥαπις· ἱστάμενος δὲ
δεξιτερῇ πτερόεντος ἀνείρυε δεσμὰ πεδίλου,
εἰς ὁδὸν ἀΐξαι λελιημένος· εἶχε γὰρ ἤδη
δεξιὸν ὀκλάζοντα θοὸν πόδα, τῷ ἔπι λαιὴν
χεῖρα ταθεὶς ἀνέπεμπεν ἐς αἰθέρα κύκλον ὀπωπῆς,
οἷά τε πατρὸς ἄνακτος ἐπιτρωπῶντος ἀκούων.
Καὶ νοερῆς ἄφθεγκτα Λατινίδος ὄργια Μούσης
ἄζετο παπταίνων Ἀπολήϊος, ὅντινα μύστην
Αὐσονὶς ἀῤῥήτου σοφίης ἐθρέψατο Σειρήν.
Φοίβου δ' οὐρεσίφοιτος ὁμόγνιος ἵστατο κούρη
Ἄρτεμις, ἀλλ' οὐ τόξον ἐκηβόλον, οὐδὲ φαρέτρην
ἰοδόκην ἀνέχουσα κατωμαδόν· ἦν δ' ἐπὶ γούνων
παρθένιον λεγνωτὸν ἀναζωσθεῖσα χιτῶνα.
καὶ τριχὸς ἀκρήδεμνον ἀνιεμένη πλόκον αὔραις.
Ἔμφρονα χαλκὸν Ὅμηρος ἐδείκνυεν, οὔτε μενοινῆς

ἄμμορον, οὔτε νόου κεχρημένον, ἀλλ' ἄρα μούνης
φωνῆς ἀμβροσίης, ἀνέφαινε δὲ θυιάδα τέχνην.
ἦ καὶ χαλκὸν ἔχευεν ὁμῇ θεὸς εἴδεϊ μορφῆς·
οὐ γὰρ ἐγὼ κατὰ θυμὸν ὀΐομαι ὅττι μιν ἀνὴρ
ἐργοπόνος χάλκευσε παρ' ἐσχαρεῶνι θαάσσων·
ἀλλ' αὐτὴ πολύμητις ἀνέπλασε χερσὶν Ἀθήνη,
εἶδος ἐπισταμένη τόπερ ᾤκεεν· ἐν γὰρ Ὁμήρῳ
αὐτὴ ναιετάουσα σοφὴν ἐφθέγγετο μολπήν,
σύννομος Ἀπόλλωνι· πατὴρ ἐμός, ἰσόθεος φώς,
ἵστατο θεῖος Ὅμηρος· ἔϊκτο μὲν ἀνδρὶ νοῆσαι
γηραλέῳ· τὸ δὲ γῆρας ἔην γλυκύ· τοῦτο γὰρ αὐτῷ
πλειοτέρην ἔσταξε χάριν· κεκέραστο δὲ κόσμῳ
αἰδοίῳ τε φίλῳ τε· σέβας δ' ἀπελάμπετο μορφῆς.
αὐχένι μὲν κύπτοντι γέρων ἐπεσύρετο βότρυς
χαίτης, εἰςοπίσω πεφορημένος· ἀμφὶ δ' ἀκουὰς
πλαζόμενος κεχάλαστο· κάτω δ' εὐρύνετο πώγων
ἀμφιταθείς, μαλακὸς δὲ καὶ εὔτροχος· οὐδὲ γὰρ ἦεν
ὀξυτενής, ἀλλ' εὐρὺς ἐπέπτατο, κάλλος ὑφαίνων
στήθεϊ γυμνωθέντι, καὶ ἱμερόεντι προσώπῳ.
γυμνὸν δ' εἶχε μέτωπον· ἐπ' ἀπλοκάμῳ δὲ μετώπῳ
ἧστο σαοφροσύνη κουροτρόφος· ἀμφὶ δ' ἄρ' ὀφρῦς
ἀμφοτέρας προβλῆτας ἐΰσκοπος ἔπλασε τέχνη·
οὔτι μάτην· φαέων γὰρ ἐρημάδες ἦσαν ὀπωπαί.
ἀλλ' οὐκ ἦν ἀλαῷ ἐναλίγκιος ἀνδρὶ νοῆσαι.
ἕζετο γὰρ κενεοῖς χάρις ὄμμασιν· ὡς δὲ δοκεύω,
τέχνη τοῦτο τέλεσσεν, ὅπως πάντεσσι φανείη
φέγγος ὑπὸ κραδίην σοφίης ἄσβεστον ἀείρων.
δοιαὶ μὲν ποτὶ βαιὸν ἐκοιλαίνοντο παρειαί,
γήραϊ ῥικνήεντι κατάσχετοι· ἀλλ' ἐν ἐκείναις

αὐτογενής, Χαρίτεσσι συνέστιος, ἵζανεν Αἰδώς.
Πιερικὴ δὲ μέλισσα περὶ στόμα θεῖον ἀλᾶτο
κηρίον ὠδίνουσα μελισταγές· ἀμφοτέρας δὲ
χεῖρας ἐπ᾽ ἀλλήλαισι τιθεὶς ἐπερείδετο ῥάβδῳ,
οἷά περ ἐν ζωοῖσιν· ἑὴν δ᾽ ἔκλινεν ἀκουὴν
δεξιτερήν, δόκεεν δὲ καὶ Ἀπόλλωνος ἀκούειν,
ἢ καὶ Πιερίδων τινὸς ἐγγύθεν· ἐν δ᾽ ἄρα θυμῷ
σκεπτομένῳ μὲν ἔϊκτο· νόος δέ οἱ ἔνθα καὶ ἔνθα
ἐξ ἀδύτων πεφόρητο πολυστρέπτοιο μενοινῆς,
Πιερικῆς Σειρῆνος ἀρήϊον ἔργον ὑφαίνων.
Καὶ Σύριος σελάγιζε σαοφροσύνῃ Φερεκύδης
ἱστάμενος· σοφίης δὲ θεουδέα κέντρα νομεύων,
οὐρανὸν ἐσκοπίαζε, μετάρσιον ὄμμα τιταίνων.
Καὶ σοφὸς Ἡράκλειτος ἔην, θεοείκελος ἀνήρ,
ἔνθεον ἀρχαίης Ἐφέσου κλέος, ὅς ποτε μοῦνος
ἀνδρομέης ἔκλαιεν ἀνάλκιδος ἔργα γενέθλης.
Καὶ τύπος ἁβρὸς ἔλαμπεν ἀριστονόοιο Κρατίνου,
ὅς ποτε δημοβόροισι πολισσούχοισιν Ἰώνων
θυμοδακεῖς ἐθόωσεν ἀκοντιστῆρας ἰάμβους.
κῶμον ἀεξήσας φιλοπαίγμονος ἔργον ἀοιδῆς.
Ἑστήκει δὲ Μένανδρος, ὃς εὐπύργοισιν Ἀθήναις
ὁπλοτέρου κώμοιο σελασφόρος ἔπρεπεν ἀστήρ.
πολλάων γὰρ ἔρωτας ἀνέπλασε παρθενικάων,
καὶ Χαρίτων θεράποντας ἐγείνατο παῖδας ἰάμβους,
ἅρπαγας οἰστρήεντας ἀεδνώτοιο κορείης,
μίξας σεμνὸν ἔρωτι μελίφρονος ἄνθος ἀοιδῆς.
Ἀμφιτρύων δ᾽ ἤστραπτεν, ἀπειρογάμῳ τρίχα δάφνῃ
στεψάμενος· πᾶσιν μὲν ἐΰσκοπος εἴδετο μάντις·

*ἀλλ' οὐ μάντις ἔην· Ταφίης δ' ἐπὶ σήματι νίκης*
*στέμμα πολυστρέπτοισιν ἐπάρμενον εἶχεν ἐθείραις,*
*Ἀλκμήνης μενέχαρμος ἀριστοτόκου παρακοίτης.*
*Θουκυδίδης δ' ἐλέλιζεν ἑὸν νόον· ἦν δὲ νοῆσαι*
*οἷά περ ἱστορίης δημηγόρον ἦθος ὑφαίνων.*
*δεξιτερὴν γὰρ ἀνέσχε μετάρσιον, ὡς πρὶν ἀείδων*
*Σπάρτης πικρὸν Ἄρηα, καὶ αὐτῶν Κεκροπιδάων,*
*Ἑλλάδος ἀμητῆρα πολυθρέπτοιο τιθήνης.*
*Οὐδ' Ἁλικαρνησσοῦ με παρέδραμε θέσπις ἀηδών,*
*Ἡρόδοτος πολυΐδρις, ὃς ὠγυγίων κλέα φωτῶν,*
*ὅσσα περ ἠπείρων δυὰς ἤγαγεν, ὅσσα περ αἰὼν*
*ἔδρακεν ἑρπύζων, ἐνάταις ἀνεθήκατο Μούσαις,*
*μίξας εὐεπίῃσιν Ἰωνίδος ἄνθεα φωνῆς.*
*Θήβης δ' Ὠγυγίης Ἑλικώνιος ἵστατο κύκνος,*
*Πίνδαρος ἱμερόφωνος, ὃν ἀργυρότοξος Ἀπόλλων*
*ἔτρεφε Βοιωτοῖο παρὰ σκοπιὴν Ἑλικῶνος,*
*καὶ μέλος ἁρμονίης ἐδιδάξατο· τικτομένου γὰρ*
*ἑζόμεναι λιγυροῖσιν ἐπὶ στομάτεσσι μέλισσαι*
*κηρὸν ἀνεπλάσσαντο, σοφῆς ἐπιμάρτυρα μολπῆς.*
*Ξεινοφόων δ' ἤστραπτε, φεράσπιδος ἀστὸς Ἀθήνης,*
*ὃς πρὶν Ἀχαιμενίδαο μένος Κύροιο λιγαίνων,*
*εἵπετο φωνήεντι Πλατωνίδος ἤθεϊ Μούσης.*
*ἱστορίης φιλάεθλον ἀριστώδινος ὀπώρην,*
*συγκεράσας ῥαθάμιγξι φιλαγρύπνοιο μελίσσης.*
*Ἵστατο δ' Ἀλκμάων κεκλημένος οὔνομα μάντις.*
*ἀλλ' οὐ μάντις ἔην ὁ βοώμενος, οὐδ' ἐπὶ χαίτης*
*δάφνης εἶχε κόρυμβον· ἐγὼ δ' Ἀλκμᾶνα δοκεύω,*
*ὃς πρὶν εὐφθόγγοιο λύρης ἠσκήσατο τέχνην,*

Δώριον εὐκελάδοισι μέλος χορδῆσιν ὑφαίνων.
Καὶ πρόμος εὐκαμάτων Πομπήϊος Αὐσονιήων
φαιδρὸν ἰσαυροφόνων κειμήλιον ἠνορεάων,
στειβομένας ὑπὸ ποσσὶν Ἰσαυρίδας εἶχε μαχαίρας,
σημαίνων ὅτι δοῦλον ὑπὸ ζυγὸν αὐχένα Ταύρου
εἴρυσεν, ἀῤῥήκτῳ πεπεδημένον ἅμματι Νίκης.
κεῖνος ἀνήρ, ὃς πᾶσιν ἔην φάος, ὃς βασιλῆος
ἠγαθέην ἐφύτευσεν Ἀναστασίοιο γενέθλην.
τοῦτο δὲ πᾶσιν ἔδειξεν ἐμὸς σκηπτοῦχος ἀμύμων,
δηώσας σακέεσσιν Ἰσαυρίδος ἔθνεα γαίης.
Ἵστατο δ' ἄλλος Ὅμηρος, ὃν οὐ πρόμον εὐεπιάων
θέσκελον υἷα Μέλητος ἐῤῥείοντος ὀΐω·
ἀλλ' ὃν Θρηϊκίησι παρ' ἠόσι γείνατο μήτηρ
Μοιρὼ κυδαλίμη Βυζαντιάς, ἣν ἔτι παιδνὴν
ἔτρεφον εὐπείης ἡρωΐδος ἴδμονα Μοῦσαι.
κεῖνος γὰρ τραγικῆς πινυτὴν ἠσκήσατο τέχνην,
κοσμήσας ἐπέεσσιν ἑὴν Βυζαντίδα πάτρην.
Καὶ φίλος Αὐσονίοισι λιγύθροος ἔπρεπε κύκνος
πνείων εὐεπίης Βεργίλλιος, ὅν ποτε Ῥώμης
Θυμβριὰς ἄλλον Ὅμηρον ἀνέτρεφε πάτριος ἠχώ.

Hosted by Google

## III.

### Ἐν Κυζίκῳ εἰς τὸν ναὸν Ἀπολλωνίδος, τῆς μητρὸς Ἀττάλου καὶ Εὐμένους, Ἐπιγράμματα, ἃ εἰς τὰ στυλοπινάκια ἐγέγραπτο, περιέχοντα ἀναγλύφους ἱστορίας, ὡς ὑποτέτακται.

---

1. *Εἰς Διόνυσον, Σεμέλην τὴν μητέρα εἰς οὐρανὸν ἀνάγοντα, προηγουμένου Ἑρμοῦ, Σατύρων δὲ καὶ Σιληνῶν μετὰ λαμπάδων προπεμπόντων αὐτούς·*

Τάνδε Διὸς δμαθεῖσαν ἐν ὠδίνεσσι κεραυνῷ,
καλλίκομον Κάδμου παῖδα καὶ Ἁρμονίης,
ματέρα θυρσοχαρὴς ἀνάγει γόνος ἐξ Ἀχέροντος,
τὰν ἄθεον Πενθεῦς ὕβριν ἀμειβόμενος.

2. *Ὁ Β κίων ἔχει Τήλεφον ἀνεγνωριομένον τῇ ἑαυτοῦ μητρί.*

Τὸν βαθὺν Ἀρκαδίης προλιπὼν πάτον, εἵνεκα ματρὸς
Αὔγης, τᾶςδ᾽ ἐπέβην γᾶς Τευθραντιάδος,
Τήλεφος, Ἡρακλέους φίλος γόνος αὐτὸς ὑπάρχων,
ὄφρα μιν ἄψ ἀνάγω ἐς πέδον Ἀρκαδίης.

3 *Ὁ Γ ἔχει τυφλούμενον Φοίνικα ὑπὸ πατρὸς Ἀμύντορος, καὶ κωλύουσαν Ἀλκιμέδην τὸν οἰκεῖον ἄνδρα·*

Ἀλκιμέδη ξύνευνον Ἀμύντορα παιδὸς ἐρύκει,
Φοίνικος δ᾽ ἐθέλει παῦσαι χόλον. γενέτου.

Ὅττι περ ἤχθετο πατρὶ σαόφρονος εἵνεκα ματρός,
παλλακίδος δούλης λέκτρα προςιεμένῳ·
κεῖνος δ᾽ αὖ δολίοις ψιθυρίσμασιν ἤχθετο κούρῳ,
ἦγε δ᾽ ἐς ὀφθαλμοὺς λαμπάδα παιδολέτιν.

4. Ὁ Δ ἔχει Πολυμήδην καὶ Κλυτίον τοὺς υἱοὺς Φινέως τοῦ Θρᾳκός, οἵτινες τὴν Φρυγίαν γυναῖκα τοῦ πατρὸς ἐφόνευσαν ὅτι τῇ μητρὶ αὐτῶν Κλεοπάτρᾳ αὐτὴν ἐπειςῆγεν·

Μητρυιὰν Κλυτίος καὶ κλυτόνοος Πολυμήδης
κτείνουσι Φρυγίην, ματρὸς ὑπὲρ σφετέρας.
Κλειοπάτρη δ᾽ ἐπὶ τοῖσιν ἀγάλλεται, ἣ πρὶν ἐπεῖδεν
τὰν Φινέως γαμετὰν δαμναμένην ὁσίως.

5. Ὁ Ε ἔχει Κρεσφόντην ἀναιροῦντα Πολυφόντην τοῦ πατρὸς τὸν φονέα· ἔστι δὲ καὶ Μερόπη βάκτρον κατέχουσα καὶ συνεργοῦσα τῷ υἱῷ πρὸς τὴν τοῦ ἀνδρὸς ἐκδημίαν.

Κρεσφόντου γενέτην πέφνες τὸ πάρος, Πολυφόντα,
κουριδίης ἀλόχου λέκτρα θέλων μιάναι·
ὀψὲ δέ οἱ παῖς ἦκε φόνῳ γενέτῃ προςαμύνων,
καί σε κατακτείνει ματρὸς ὑπὲρ Μερόπας·
Τοὔνεκα καὶ δόρυ πῆξε μεταφρένῳ· ἃ δ᾽ ἐπαρήγει,
βριθὺ κατὰ κροτάφων βάκτρον ἐρειδομένα.

6. Ὁ ΣΤ ἔχει Πυθῶνα ὑπὸ Ἀπόλλωνος καὶ Ἀρτέμιδος ἀναιρούμενον, καθότι τὴν Λητὼ πορευομένην εἰς Δελφοὺς ἐπὶ τὸ κατασχεῖν τὸ μαντεῖον ἐπιφανεὶς διεκώλυσεν.

Γηγενέα Πυθῶνα, μεμιγμένον ἑρπετὸν ὁλκοῖς,
ἔκνευει Λατώ, πάγχυ μυσαττομένη·

σκυλᾶν γὰρ ἐθέλει πινυτὰν θεόν· ἀλλά γε τόξον,
θῆρα καθαιμάσσει Φοῖβος ἀπὸ σκοπιῆς.
* Δελφὸν δ᾽ οὐ θήσει τρίπον ἔνθεον· ἐκ δὲ δρακόντων
πικρὸν ἀποπνεύσει ῥοῖζον ὀδυρόμενος.

7 Ὁ Ζ ἔχει, περὶ τὰ ἀρκτῷα μέρη, Ἀμφίονος καὶ Ζήθου ἱστορίαν· προσάπτοντες ταύρῳ τὴν Δίρκην, ὅτι τὴν μητέρα αὐτῶν Ἀντιόπην, διὰ τὴν φθορὰν Λύκῳ ἀνδρὶ αὐτῆς ὑπὸ Νυκτέως, τοῦ πατρὸς αὐτῆς .... ὀργῇ ζηλοτύπῳ ἐνσχεθεῖσα, ἀμέτρως ἐτιμωρήσατο.

Ἀμφίων καὶ Ζῆθε, δύο σκυλακεύματα, Δίρκην
κτείνατε τάνδ᾽ ὀλέτιν ματέρος Ἀντιόπας,
δέσμιον ἣν πάρος εἶχε διὰ ζηλήμονα μῆνιν·
νῦν δ᾽ ἱκέτης αὐτὴ λίσσετ᾽ ὀδυρομένη.
ἄγε καὶ ἐκ ταύροιο καθάπτετε δίπλακα σειρήν,
ὄφρα δέμας σύρῃ τῆσδε κατὰ ξυλόχου.

8· Ἐν τῷ Η ἡ τοῦ Ὀδυσσέως νεκυομαντεία· καθέστηκε τὴν ἰδίαν μητέρα Ἀντικλείαν περὶ τῶν κατὰ τὸν οἶκον ἀνακρίνων.

Μᾶτερ Ὀδυσσῆος πινυτόφρονος Ἀντίκλεια,
ζῶσα μὲν εἰς Ἰθάκην οὐχ ὑπέδεξο πάϊν·
ἀλλά σε νῦν Ἀχέροντος ἐπὶ ῥηγμῖσι γεγῶσαν
θαμβεῖ, ἀνὰ γλυκερὰν ματέρα δερκόμενος.

9· Ἐν τῷ Θ Πελίας καὶ Νηλεὺς ἐνλελάξευνται, οἱ Ποσειδῶνος παῖδες, ἐκ δεσμῶν τὴν ἑαυτῶν μητέρα ῥυόμενοι, ἣν πρώην ὁ πατὴρ μὲν Σαλμωνεὺς διὰ τὴν φθορὰν ἔδησεν· ἡ δὲ μητρυιὰ αὐτῆς Σιδηρὼ τὰς βασάνους αὐτῇ ἐπέτεινεν·

Μητέρα τρηχείοισιν ἐπὶ * σπείρημα σιδήρῳ
Σαλμωνεῖ γενέτα τῷδ᾽ ὑποτασσομένῳ·

Οὐκέτι γαρ δουλώσει ἐν ἕρκεσιν, ἐγγύθι λεύσσων
Νηλέα καὶ Πελίαν τούςδε καθεζομένους.

10. Ἐν δὲ τῷ κατὰ δύσιν πλευρῷ ἐστὶν ἐν ἀρχῇ τοῦ I πίνακος Εὔνοος γεγλυμμένος καὶ Θόας, οὓς ἐγέννησεν Ὑψιπύλη, ἀναγνωριζόμενοι τῇ μητρί, καὶ τὴν χρυσῆν δεικνύντες ἄμπελον, ὅπερ ἦν αὐτοῖς τοῦ γένους σύμβολον, καὶ ῥυόμενοι αὐτὴν διὰ τὸν Ἀρχεμόρου θάνατον τῆς παρ' Εὐρυδίκῃ τιμωρίας.

Φαῖνε, Θόαν, Βάκχοιο φυτὸν τόδε· ματέρα γάρ σου
ῥύσῃ τοῦ θανάτου, οἰκέτιν Ὑψιπύλαν.
ἃ τὸν ἀπ' Εὐρυδίκας ἔτλη χόλον, ἦμος * ἀφοῦθαρ
ὕδρος, ὁ γᾶς γενέτας, ὤλεσεν Ἀρχέμορον.
Στεῖχε δὲ καὶ σὺ λιπὼν Ἀσωπίδος * νέαν κούραν,
γειναμένην ἄξων Λῆμνον ἐς ἠγαθέην

11. Ἐν τῷ IA Πολυδέκτης ὁ Σερίφων βασιλεὺς ἀπολιθούμενος ὑπὸ Περσέως τῇ τῆς Γοργόνος κεφαλῇ, διὰ τὸν τῆς μητρὸς αὐτοῦ γάμον ἐκπέμψας τοῦτον ἐπὶ τὴν τῆς Γοργόνος κεφαλήν, καὶ ὃν καθ' ἑτέρου θάνατον ἐπενόει γενέσθαι, τοῦτον αὐτὸς κατὰ τὴν πρόνοιαν τῆς Δίκης ἐδέξατο.

Ἔτλης καὶ σὺ λέχη Δανάης, Πολύδεκτα, μιαίνειν,
δυσφήμοις εὐναῖς τῷ Διῒ μεμψάμενος·
ἀνθ' ὧν ὄμματ' ἔλυσε τὰ Γοργόνος ἐνθάδε Περσεύς,
γυῖα λιθουργήσας, ματρὶ χαριζόμενος.

12. Ἐν τῷ IB Ἰξίων Φόρβαντα καὶ Πολύμηλον ἀναιρῶν διὰ τὸν εἰς τὴν μητέρα τὴν ἰδίαν Μέγαραι

γεγιννημένοι φόνον· μηδοπότερον γὰρ αὐτῶν προελομένη γῆμαι, ἀγανακτήσαντες ἐπὶ τοῦτο ἐφόνευσαν.

Φόρβαν καὶ Πολύμηλον ὅδ' Ἰξίων βάλε γαίῃ,
ποινὰν τᾶς ἰδίας ματρὸς ἀμυνόμενος.

13. Ὁ δὲ ΙΓ Ἡρακλέα ἄγοντα τὴν μητέρα αὐτοῦ Ἀλκμήνην εἰς τὸ Ἠλύσιον πεδίον, συνοικίζοντα αὐτὴν Ῥαδαμάνθυϊ, αὐτὸν δὲ εἰς θεοὺς δῆθεν ἐγκρινόμενον.

Ἀλκίδας ὁ θρασὺς Ῥαδαμάνθυϊ ματέρα τάνδε,
Ἀλκμήναν, ὅσιον πρὸς λέχος ἐξέδοτο.

14. Ἐν δὲ τῷ ΙΔ Τιτυὸς ὑπὸ Ἀπόλλωνος καὶ Ἀρτέμιδος τοξευόμενος, ἐπειδὴ τὴν μητέρα αὐτῶν Λητὼ ἐτόλμησεν ὑβρίσαι.

Μάργε καὶ ἀφροσύνῃ μεμεθυσμένε, τίπτε βιαίως
εἰς εὐνὰς ἐτράπης τᾶς Διὸς εὐνέτιδος;
ὅς σε δὴ αἵματι φύρσε κατάξια, θηρσὶ δὲ βορρὰν
καὶ πτανοῖς ἐπὶ γᾷ εἴασε νῦν ὁσίως.

15. Ἐν δὲ τῷ ΙΕ Βελλεροφόντης ὑπὸ τοῦ παιδὸς Γλαύκου σωζόμενος, ἡνίκα κατενεχθεὶς ἀπὸ τοῦ Πηγάσου εἰς τὸ Ἀλήϊον πεδίον, ἔμελλεν ὑπὸ Μεγαπένθους τοῦ Προίτου φονεύεσθαι.

* Οὐκέτι Προίτου παιδὸς φόνον ἔσχεθε Βελλεροφόντης,
τοῦδ' * ἐκ τοῦ παιδὸς τειρομένου θάνατον.
Γλαύκου * κρανταγένους Ἰοβάτου δ' ὑπαλύξει,
οὕτως γὰρ Μοιρῶν * ἐπέκλωσε λίνα.
καὶ σὺ πατρὸς φόνον αὐτὸς ἀπηλάσας ἐγγύθεν ἐλθὼν
καὶ μύθων ἐσθλῶν μάρτυς ἐπεφράσατο.

Hosted by Google

16. *Κατὰ δὲ τὰς θύρας τοῦ ναοῦ προσιόντων ἐστὶν Αἴολος καὶ Βοιωτός, Ποσειδῶνος παῖδες, ῥυόμενοι ἐκ δεσμῶν τὴν μητέρα Μελανίππην τῶν περιτεθέντων αὐτῇ διὰ τὴν φθορὰν ὑπὸ τοῦ πατρὸς αὐτῆς.*

*Αἴολε καὶ Βοιωτέ, σοφὸν φιλομήτορα μόχθον*
*πρήξατε, μητέρ' ἑὴν λυόμενοι θανάτου·*
*τοὔνεκα * γὰρ καὶ πεφήνατε ἄλκιμοι ἄνδρες,*
*ὃς μὲν ἀπ' Αἰολίης, ὃς δ' ἀπὸ Βοιωτίης.*

17. *Ἐν δὲ τῷ ΙΖ Ἄναπις καὶ Ἀμφίνομος, οἳ ἐκραγέντων τῶν κατὰ Σικελίαν κρατήρων διὰ τοῦ πυρὸς οὐδὲν ἕτερον ἢ τοὺς ἑαυτῶν γονεῖς βαστάσαντες ἔσωσαν*

*Πυρὸς καὶ γαίης * * **

18. *Ἐν τῷ ΙΗ Κλέοβις ἐστὶ καὶ Βίτων, οἳ τὴν ἑαυτῶν μητέρα Κυδίππην ἱερωμένην ἐν Ἄργει Ἥρας, αὐτοὶ ὑποσχόντες τοὺς αὐχένας τῷ ζυγῷ διὰ τὸ βραδῦναι τὰ σκεῦος τῶν βοῶν, ἱερουργῆσαι ἐποίησαν, καὶ ἡσθεῖσα, φασίν, ἐπὶ τούτῳ ἐκείνη ηὔξατο τῇ θεῷ εἴτε ἐστὶ κάλλιστον ἐν ἀνθρώποις, τοῦτο τοῖς παισὶν αὐτῆς ὑπαντῆσαι· καὶ τοῦτο αὐτῆς εὐξαμένης ἐκεῖνοι αὐτονυκτὶ θνήσκουσιν.*

*Οὐ ψευδὴς ὅδε μῦθος, ἀληθείῃ δὲ κέκασται,*
*Κυδίππης παίδων, εὐσεβίης θ' ὁσίης.*
*ἡδυχαρὴς γὰρ ἔην κόπος ἀνδράσι χ' ὥριος οὗτος,*
*μητρὸς ἐπ' εὐσεβίῃ κλεινὸν ἔθεντο πόνον.*
*Χαίροιτ' οὖν ἱεροῖσιν ἐπ' εὐσεβίῃ κλυτοὶ ἄνδρες,*
*καὶ τὸν ἀπ' αἰώνων μῦθον ἔχοιτε μόνοι.*

19. *Ἐν δὲ τῷ ΙΘ Ῥῆμος καὶ Ῥωμύλος ἐκ τῆς Ἀμολίου κολάσεως ῥυόμενοι τὴν μητέρα Σερβήλειαν ὀνόματι· ταύτην γὰρ ὁ Ἄρης φθείρας ἐξ αὐτῆς ἐγέννησεν, καὶ*

Hosted by Google

ἐκτεθέντας αὐτοὺς λύκαινα ἔθρεψεν. Ἀνδρωθέντες οὖν τὴν μητέρα τῶν δεσμῶν ἔλυσαν, Ῥώμην δὲ κτίσαντες Νομήτορι τὴν βασίλειαν ἀπεκατέστησαν.

Τόνδε σὺ μὲν παίδων κρύφιον γόνον Ἄρεϊ τίκτεις,
Ῥῆμόν τε ξυνῶν καὶ Ῥωμύλον λεχέων,
θὴρ δὲ λύκαιν᾽ ἄνδρωσεν ὑπὸ σπήλυγγι τιθηνός,
οἵ σε δυςηκέστων ἥρπασαν ἐκ καμάτων.

## IV.

# ΤΑ ΠΡΟΟΙΜΙΑ ΤΩΝ ΔΙΑΦΟΡΩΝ ΑΝΘΟΛΟΓΙΩΝ.

---

### 1. ΜΕΛΕΑΓΡΟΥ ΣΤΕΦΑΝΟΣ.

Μοῦσα φίλα, τίνι τάνδε φέρεις πάγκαρπον ἀοιδάν;
ἢ τίς ὁ καὶ τεύξας ὑμνοθέταν στέφανον;
ἄνυσε μὲν Μελέαγρος· ἀριζάλῳ δὲ Διοκλεῖ
μναμόσυνον ταύταν ἐξεπόνησε χάριν.
Πολλὰ μὲν ἐμπλέξας Ἀνύτης κρίνα, πολλὰ δὲ Μοίρους
λείρια, καὶ Σαπφοῦς βαιὰ μέν, ἀλλὰ ῥόδα.
νάρκισσόν τε χορῶν Μελανιππίδου ἔγκυον ὕμνων,
καὶ νέον οἰνάνθης κλῆμα Σιμωνίδεω·
σὺν δ᾽ ἀναμὶξ πλέξας μυρόπνουν εὐάνθεμον ἶριν
Νοσσίδος, ἧς δέλτοις κηρὸν ἔτηξεν Ἔρως·
τῇ δ᾽ ἅμα καὶ σάμψυχον ἀφ᾽ ἡδυπνόοιο Ῥιανοῦ,
καὶ γλυκὺν Ἠρίννης παρθενόχρωτα κρόκον,
Ἀλκαίου τε λάληθρον ἐν ὑμνοπόλοις ὑάκινθον,
καὶ Σαμίου δάφνης κλῶνα μελαμπέταλον·

ἐν δὲ Λεωνίδεω θαλεροὺς κισσοῖο κορύμβους,
Μνασάλκου τε κόμας ὀξυτόρου πίτυος·
βλαισήν τε πλατάνιστον ἀπέθρισε Παμφίλου οἴνης,
σύμπλεκτον καρύης ἔρνεσι Παγκράτεος,
Τύμνεώ τ' εὐπέταλον λεύκην, χλοερόν τε σίσυμβρον
Νικίου, Εὐφήμου τ' ἀμμότροφον πάραλον·
ἐν δ' ἄρα Δαμάγητον, ἴον μέλαν, ἡδύ τε μύρτον
Καλλιμάχου, στυφελοῦ μεστὸν ἀεὶ μέλιτος,
λυχνίδα τ' Εὐφορίωνος, ἴδ' ἐν Μούσησιν ἄμωμον,
ὃς Διὸς ἐκ κούρων ἔσχεν ἐπωνυμίην.
τῇσι δ' ἅμ' Ἡγήσιππον ἐνέπλεκε, μαινάδα βότρυν,
Πέρσου τ' εὐώδη σχοῖνον ἀμησάμενος,
σὺν δ' ἅμα καὶ γλυκὺ μῆλον ἀπ' ἀκρεμόνων Διοτίμου,
καὶ ῥοιῆς ἄνθη πρῶτα Μενεκράτεος,
σμυρναίους τε κλάδους Νικαινέτου, ἠδὲ Φαέννου
τέρμινθον, βρωτήν τ' ἀχράδα Σιμμίεω·
ἐν δὲ καὶ ἐκ λειμῶνος ἀμωμήτοιο σέλινα,
βαιὰ διακνίζων ἄνθεα, Παρθενίδος,
λείψανά τ' εὐκαρπεῦντα μελιστάκτων ἀπὸ Μουσέων,
ξανθοὺς ἐκ καλάμης Βακχυλίδεω στάχυας·
ἐν δ' ἄρ' Ἀνακρείοντα, τὸ μὲν γλυκὺ κεῖνο μέλισμα
νέκταρος, εἰς δ' ἐλέγους εὔσπορον ἀνθέμιον·
ἐν δὲ καὶ ἐκ φορβῆς σκολιότριχος ἄνθος ἀκάνθης
Ἀρχιλόχου, μικρὰς στράγγας ἀπ' ὠκεανοῦ·
τοὺς δ' ἅμ' Ἀλεξάνδροιο νέους ὅρπηκας ἐλαίης,
ἠδὲ Πολυκλείτου πορφυρέην κύανον.
ἐν δ' ἄρ' ἀμάρακον ἧκε, Πολύστρατον, ἄνθος ἀοι-
δῶν,
φοίνισσάν τε νέην κύπρον ἀπ' Ἀντιπάτρου·

Hosted by Google

καὶ μὴν καὶ Συρίαν σταχυότριχα θήκατο νάρδον,
ὑμνοθέταν, Ἑρμοῦ δῶρον ἀειδόμενον·
ἐν δὲ Ποσείδιππόν τε καὶ Ἡδύλον, ἄγρι' ἀρούρης,
Σικελίδεώ τ' ἀνέμοις ἄνθεα φυόμενα.
καὶ μὴν καὶ χρύσειον ἀεὶ θείοιο Πλάτωνος
κλῶνα, τὸν ἐξ ἀρετῆς πάντοθι λαμπόμενον.
ἄστρων τ' ἴδριν Ἄρατον ὁμοῦ βάλεν, οὐρανομάκευς
φοίνικος κείρας πρωτογόνους ἕλικας,
λωτόν τε εὐχαίτην Χαιρήμονος, ἐν φλογὶ μίξας
Φαιδίμου, Ἀνταγόρου τ' εὔστροφον ὄμμα βοός,
τήν τε φιλάκρητον Θεοδωρίδεω νεοθαλῆ
ἕρπυλλον, κυάνων τ' ἄνθεα Φανίεω,
ἄλλων τ' ἔρνεα πολλὰ νεόγραφα· τοῖς δ' ἅμα Μούσης
καὶ σφετέρης ἔτι που πρώϊμα λευκόϊα.
ἀλλὰ φίλοις μὲν ἐμοῖσι φέρω χάριν· ἔστι δὲ μύσταις
κοινὸς ὁ τῶν Μουσέων ἡδυεπὴς στέφανος.

## 2. ΦΙΛΙΠΠΟΥ ΣΤΕΦΑΝΟΣ.

Ἄνθεά σοι δρέψας Ἑλικώνια, καὶ κλυτοδένδρου
Πιερίης κείρας πρωτοφύτους κάλυκας,
καὶ σελίδος νεαρῆς θερίσας στάχυν, ἀντανέπλεξα
Τοῖς Μελεαγρείοις ὡς ἴκελον στεφάνοις.
ἀλλὰ παλαιοτέρων εἰδὼς κλέος, ἐσθλὲ Κάμιλλε,
γνῶθι καὶ ὁπλοτέρων τὴν ὀλιγοστιχίην.
Ἀντίπατρος πρέψει στεφάνῳ στάχυς· ὡς δὲ κόρυμβος
Κριναγόρας· λάμψει δ' ὡς βότρυς Ἀντίφιλος
Τύλλιος ὡς μελίλωτον· ἀμάρακον ὥς, Φιλόδημος·
μύρτα δ' ὁ Παρμενίων· ὡς ῥόδον Ἀντιφάνης

*κισσὸς δ' Αὐτομέδων· Ζωνᾶς κρίνα· δρῦς δὲ Βιάνωρ·*
*Ἀντίγονος δ' ἐλάη, καὶ Διόδωρος ἴον·*
*Εὐήνῳ δάφνην συνεπίπλεκε· τοὺς δὲ περισσοὺς*
*εἴκασον οἷς ἐθέλεις ἄνθεσιν ἀρτιφύτοις.*

## 3, ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ ΑΣΙΑΝΟΥ ΜΥΡΙΝΑΙΟΥ.

*συλλογὴ νέων ἐπιγραμμάτων ἐκτεθεῖσα ἐν Κωνσταντίνου πόλει πρὸς Θεόδωρον Δεκουρίωνα τὸν Κοσμᾶ· εἴρηται δὲ τὰ προοίμια μετὰ τὰς συνεχεῖς ἀκροάσεις τὰς κατ' ἐκεῖνο καιροῦ γενομένας.*

*Οἶμαι μὲν ὑμᾶς, ἄνδρες, ἐμπεπλησμένους*
*ἐκ τῆς τοσαύτης τῶν λόγων πανδαισίας,*
*ἔτι που τὰ σιτία προςκόρως ἐρυγγάνειν·*
*καὶ δὴ κάθησθε τῇ τρυφῇ σεσαγμένοι,*
*Λόγων γὰρ ἡμῖν πολυτελων και ποικίλων*
*πολλοὶ προθέντες παμμιγεῖς εὐωχίας,*
*περιφρονεῖν πείθουσι τῶν εἰθισμένων.*
*Τί δὲ νῦν ποιήσομεν; τὰ προὐξειργασμένα*
*οὕτως ἐάσω συντετῆχθαι κείμενα;*
*ἢ καὶ προθῶμαι τῆς ἀγορᾶς ἐν τῷ μέσῳ,*
*παλιγκαπήλοις εὐτελῶς ἀπεμπολῶν;*
*Καὶ τίς μετασχεῖν τῶν ἐμῶν ἀνέξεται;*
*τίς δ' ἂν πρίαιτο τοὺς λόγους τριωβόλου,*
*εἰ μὴ φέροι πως ὦτα μὴ τετρημένα;*
*ἀλλ' ἐστὶν ἐλπὶς εὐμενῶς τῶν δρωμένων*
*ὑμᾶς μεταλαβεῖν, κοὐ καταβλακευμένως.*
*Ἔθος γὰρ ὑμῖν τῇ προθυμίᾳ μόνῃ,*
*τῇ τῶν καλούντων, ἐμμετρεῖν τὰ σιτία*

Hosted by Google

καὶ προς γε τοῦτο δεῖπνον ἠρανισμένον
ἥκω προθήσων ἐκ νέων ἡδυσμάτων.
Ἐπεὶ γὰρ οὐκ ἔνεστιν ἐξ ἐμοῦ μόνου
ὑμᾶς μεταλαβεῖν, ἄνδρες, ἀξίας τροφῆς,
πολλοὺς ἔπεισα συλλαβεῖν μοι τοῦ πόνου,
καὶ συγκαταβαλεῖν καὶ συνεστιᾷν πλέον.
Καὶ δὴ παρέσχον ἀφθόνως οἱ πλούσιοι
ἐξ ὧν τρυφῶσι, καὶ παραλαβὼν γνησίως
ἐν τοῖς ἐκείνων πέμμασι φρυάττομαι.
Τοῦτο δέ τις αὐτῶν προςφόρως, δεικνὺς ἐμέ,
ἴσως ἐρεῖ πρὸς ἄλλον, ἀρτίως ἐμοῦ
μάζαν μεμαχότος μουσικήν τε καὶ νέαν·
οὗτος παρέθηκε τὴν ὑπ᾽ ἐμοῦ μεμαγμένην.
Ταυτὶ μὲν οὖν ἐρεῖ τις, οἶδα, τῶν σοφῶν,
τῶν ὀψοποιῶν, ὧν χάριν δοκῶ μόνος
εἶναι τοσαύτης ἡγεμὼν πανδαισίας.
Θαῤῥῶν γὰρ αὐτοῖς λιτὸν οἴκοθεν μέρος
καὐτὸς παρέμιξα, τοῦ δοκεῖν μὴ παντελῶς
ξένος τις εἶναι τῶν ὑπ᾽ ἐμοῦ συνηγμένων.
Ἀλλ᾽ ἐξ ἑκάστου σμικρὸν ἐξάγω μέρος,
ὅσον ἀπογεῦσαι· τῶν δὲ λοιπῶν εἰ θέλοι
τυχεῖν τις ἁπάντων, καὶ μετασχεῖν εἰς κόρον,
ἴστω γε ταῦτα κατ᾽ ἀγορὰν ζητητέα.
Κόσμον δὲ προςθεὶς τοῖς ἐμοῖς πονήμασιν,
ἐκ τοῦ βασιλέως τοὺς προλόγους ποιήσομαι·
ἅπαντα γάρ μοι δεξιῶς προβήσεται.
καί μοι μεγίστων πραγμάτων ὑμνουμένων
εὑρεῖν γένοιτο καὶ λόγους ἐπηρμένους.
Μή τις ὑπαυχενίοιο λιπὼν ζωστῆρα λεπάδνου

βάρβαρος ἐς βασιλῆα βιήμαχον ὄμμα τανύσσῃ·
μηδ᾽ ἔτι Περσὶς ἄναλκις ἀναστείλασα καλύπτρην
ὄρθιον ἀθρήσειεν· ἐποκλάζουσα δὲ γαίῃ,
καὶ λόφον αὐχήεντα καταγνάμπτουσα τενόντων,
Αὐσονίοις ἄκλητος ὑποκλίνοιτο ταλάντοις.
Ἑσπερίη θεράπαινα, σὺ δ᾽ ἐς κρηπῖδα Γαδείρων,
καὶ παρὰ πορθμὸν Ἴβηρα, καὶ Ὠκεανίτιδα Θούλην,
ἤπιον ἀμπνεύσειας, ἀμοιβαίων δὲ τυράννων
κράατα μετρήσασα τεῇ κρυφθέντα κονίῃ,
θαρσαλέαις παλάμῃσι φίλην ἀγκάζεο Ῥώμην.
Καυκασίῳ δὲ τένοντι καὶ ἐν ῥηγμῖνι Κυταίῃ,
ὁππόθι ταυρείοιο ποδὸς δουπήτορι χαλκῷ
σκληρὰ σιδηρείης ἐλακίζετο νῶτα κονίης,
σύννομον Ἀδριάδεσσιν ἀναπλέξασα χορείην
Φασιὰς εἱλίσσοιτο φίλῳ σκιρτήματι νύμφη,
καὶ καμάτους μέλψειε πολυσκήπτρου βασιλῆος,
μόχθον ἀπορρίψασα γιγαντείου τοκετοῖο.
Μηδὲ γὰρ αὐχήσειεν Ἰωλκίδος ἔμβολον Ἄργος,
ὅττι πόνους ἥρωος ἀγασσαμένη Παγασαίου
οὐκέτι Κολχὶς ἄρουρα, γονῇ πλησθεῖσα Γιγάντων,
εὐπτολέμοις σταχύεσσι μαχήμονα βῶλον ἀνοίγει.
κεῖνα γὰρ ἢ μῦθός τις ἀνέπλασεν, ἢ διὰ τέχνης
οὐχ ὁσίης τετέλεστο, πόθων ὅτε λύσσαν ἑλοῦσα
παρθενικὴ δολόεσσα μάγον κίνησεν ἀνάγκην.
Ἀλλὰ δόλων ἔκτοσθε καὶ ὀρφναίου κυκεῶνος
Βάκτριος ἡμετέροισι Γίγας δούπησε βελέμνοις.
Οὐκέτι μοι χῶρός τις ἀνέμβατος, ἀλλ᾽ ἐνὶ πόντῳ
Ὑρκανίου κόλποιο, καὶ ἐς βυθὸν Αἰθιοπῆα
Ἰταλικαῖς νήεσσιν ἐρέσσεται ἥμερον ὕδωρ.

Hosted by Google

Ἀλλ' ἴθι νῦν ἀφύλακτος ὅλην ἤπειρον ὁδεύων,
Αὐσόνιε, σκίρτησον, ὁδοίπορε, Μασσαγέτην δὲ
ἀμφιθέων ἀγκῶνα, καὶ ἄξενα τέμπεα Σούσων,
Ἰνδῴης ἐπίβηθι κατοργάδος· ἐν δὲ κελεύθοις
εἴποτε διψήσειας, ἀρύεο δοῦλον Ὑδασπιν·
ναὶ μὴν καὶ κυανωπὸν ὑπὲρ δύσιν ἄτρομος ἕρπων
κύρβιας Ἀλκείδαο μετέρχεο· θαρσαλέως δὲ
ἴχνιον ἀμπαύσειας ἐπὶ ψαμάθοισιν Ἰβήρων,
ὁππόθι, καλλιρέεθρον ὑπὲρ βαλβῖδα θαλάσσης,
δίζυγος ἠπείροιο συναντήσασα κεραίη
ἐλπίδας ἀνθρώποισι βατῆς εὔνησε πορείης.
Ἐσχατίην δὲ Λίβυσσαν ἐπιστείβων Νασαμώνων
ἔρχεο, καὶ παρὰ Σύρτιν, ὅπη νοτίῃσι θυέλλαις
ἐς κλίσιν ἀντίπρωρον ἀνακλασθεῖσα Βορῆος,
καὶ ψαφαρὴν ἄμπωτιν ὕπερ ῥηγμῖνι ἁλίπλῳ
ἀνδράσι δῖα θάλασσα πόρον χερσαῖον ἀνοίγει.
Οὐδὲ γὰρ ὀθνείης σε δεδέξεται ἤθεα γαίης,
ἀλλὰ σοφοῦ κτεάνοισιν ὁμιλήσεις βασιλῆος,
ἔνθα κεν ἀΐξειας, ἐπεὶ κυκλώσατο κόσμον
κοιρανίῃ· Τάναϊς δὲ μάτην ἤπειρον ὁρίζων
ἐς Σκυθίην πλάζοιτο καὶ ἐς Μαιώτιδα λίμνην.
Τοὔνεκεν, ὁππότε πάντα φίλης πέπληθε γαλήνης,
ὁππότε καὶ ξείνοιο καὶ ἐνδαπίοιο κυδοιμοῦ
ἐλπίδες ἐθραύσθησαν ὑφ' ἡμετέρῳ βασιλῆϊ,
δεῦρο, μάκαρ Θεόδωρε, σοφὸν στήσαντες ἀγῶνα
παίγνια κινήσωμεν ἀοιδοπόλοιο χορείης.
Σοὶ γὰρ ἐγὼ τὸν ἄεθλον ἐμόχθεον· εἰς σὲ δὲ μύθων
ἐργασίην ἤσκησα, μιῇ δ' ὑπὸ σύζυγι βίβλῳ
ἐμπορίην ἤθροισα πολυξείνοιο μελίσσης,

Hosted by Google

*καὶ τόσον ἐξ ἐλέγοιο πολυσπερὲς ἄνθος ἀγείρας,*
*στέμμα σοι εὐμύθοιο καθήρμοσα Καλλιοπείης,*
*ὡς φηγὸν Κρονίωνι, καὶ ὁλκάδας Ἐννοσιγαίῳ,*
*ὡς Ἄρεϊ ζωστῆρα, καὶ Ἀπόλλωνι φαρέτρην,*
*ὡς χέλυν Ἑρμάωνι, καὶ ἡμερίδας Διονύσῳ.*
*Οἶδα γὰρ ὡς ἄλληκτον ἐμῆς ἱδρῶτι μερίμνης*
*εὖχος ἐπιστάξειεν ἐπωνυμίη Θεοδώρου.*
*Πρῶτα δέ σοι λέξαιμι, παλαιγενέεσσιν ἐρίζων,*
*ὅσσαπερ ἐγράψαντο νέης γενετῆρες ἀοιδῆς,*
*ὡς προτέροις μακάρεσσιν ἀνειμένα· καὶ γὰρ ἐῴκει*
*γράμματος ἀρχαίοιο σοφὸν μίμημα φυλάξαι.*
*Ἀλλὰ πάλιν μετ' ἐκεῖνα παλαίτερον εὖχος ἀρήγε*
*ὅσσαπερ ἢ γραφίδεσσι χαράξαμεν, ἤ τινι χώρῳ,*
*εἴτε καὶ εὐποίητον ἐπὶ βρέτας, εἴτε καὶ ἄλλης*
*τέχνης ἐργοπόνοιο πολυσπερέεσσιν ἀέθλοις.*
*Καὶ τριτάτην βαλβῖδα νεήνιδος ἔλλαχε βίβλου·*
*ὅσσα θέμις τύμβοισι· τάπερ θεὸς ἐν μὲν ἀοιδῇ*
*ἐκτελέειν νεύσειεν, ἐν ἀτρεκίῃ δὲ διώκοι·*
*Ὅσσα δὲ καὶ βιότοιο πολυσπερέεσσι κελεύθοις*
*γράψαμεν, ἀσταθέος δὲ τύχης σφαλεροῖσι ταλάντοις,*
*δέρκεό μοι βίβλοιο παρὰ κρηπῖδα τετάρτην.*
*Ναὶ τάχα καὶ πέμπτοιο χάρις θέλξειεν ἀέθλου,*
*ὁππόθι κερτομέοντες ἐπεσβόλον ἦχον ἀοιδῆς*
*γράψαμεν· ἐκταῖον δὲ μέλος κλέπτουσα Κυθήρη*
*εἰς ὀάρους ἐλέγοιο παρατρέψειε πορείην,*
*καὶ γλυκεροὺς ἐς ἔρωτας· ἐν ἑβδομάτῃ δὲ μελίσσῃ,*
*εὐφροσύνας Βάκχοιο, φιλακρήτους τε χορείας,*
*καὶ μέθυ, καὶ κρητῆρα, καὶ ὄλβια δεῖπνα νοήσεις.*

* * *

Hosted by Google

## ΤΟΥ ΑΥΤΟΥ ΑΓΑΘΙΟΥ.

Στῆλαι καὶ γραφίδες καὶ κύρβιες, εὐφροσύνης μὲν
    αἴτια τοῖς ταῦτα κτησαμένοις μεγάλης·
ἀλλ' ἐς ὅσον ζώουσι· τὰ γὰρ κενὰ κύδεα φωτῶν
    ψυχαῖς οἰχομένων οὐ μάλα συμφέρεται·
ἡ δ' ἀρετὴ σοφίης τε χάρις καὶ κεῖθι συνέρπει,
    κἀνθάδε μιμνάζει μνῆστιν ἐφελκομένη.
οὕτως οὔτε Πλάτων βρενθύεται, οὔτ' ἄρ' Ὅμηρος
    χρώμασιν ἢ στήλαις, ἀλλὰ μόνῃ σοφίῃ.
ὄλβιοι ὧν μνήμη πινυτῶν ἐνὶ τεύχεσι βίβλων,
    ἀλλ' οὐκ ἐς κενεὰς εἰκόνας ἐνδιάει.

## V

# *ΕΠΙΓΡΑΜΜΑΤΑ ΕΡΩΤΙΚΑ ΔΙΑΦΟΡΩΝ ΠΟΙΗΤΩΝ.*

### 1. *ΑΔΕΣΠΟΤΟΝ.*

*Νέοις ἀνάπτων καρδίας σοφὴν ζέσιν,*
*ἀρχὴν Ἔρωτα τῶν λόγων ποιήσομαι·*
*πυρσὸν γὰρ οὗτος ἐξανάπτει τοῖς λόγοις.*

### 2. *ΑΔΕΣΠΟΤΟΝ.*

*Τὴν καταφλεξίπολιν Σθενελαΐδα, τὴν βαρύμισθον,*
*τὴν τοῖς βουλομένοις χρυσὸν ἐρευγομένην,*
*γυμνήν μοι διὰ νυκτὸς ὅλης παρέκλινεν ὄνειρος*
*ἄχρι φίλης ἠοῦς προῖκα χαριζομένην.*
*οὐκέτι γουνάσομαι τὴν βάρβαρον, οὐδ' ἐπ' ἐμαυτῷ*
*κλαύσομαι, ὕπνον ἔχων κεῖνα χαριζόμενον.*

### 3. *ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.*

*Ὄρθρος ἔβη, Χρύσιλλα, πάλαι δ' ἠῷος ἀλέκτωρ*
*κηρύσσων, φθονερὴν Ἠριγένειαν ἄγει.*
*ὀρνίθων ἔῤῥοις φθονερώτατος, ὅς με διώκεις*
*οἴκοθεν εἰς πολλοὺς ἠϊθέων ὀάρους.*

γηράσκεις, Τιθωνέ· τί γὰρ σὴν εὐνέτιν Ἠῶ
οὕτως ὀρθριδίην ἤλασας ἐκ λεχέων;

## 4. ΦΙΛΟΔΗΜΟΥ.

Τὸν σιγῶντα, Φιλαινί, συνίστορα τῶν ἀλαλήτων
λύχνον ἐλαιηρῆς ἐκμεθύσασα δρόσου,
ἔξιθι· μαρτυρίην γὰρ Ἔρως μόνος οὐκ ἐφίλησεν
ἔμπνουν, καὶ πηκτὴν κλεῖε, Φιλαινί, θύρην.
καὶ σὺ φίλει, Ξανθώ, με· σὺ δ', ὦ φιλεράστρι' ἄκοιτις,
ἤδη τῆς Παφίης, ἴσθι τὰ λειπόμενα.

## 5. ΣΤΑΤΥΛΛΙΟΥ ΦΛΑΚΚΟΥ.

Ἀργύρεον νυχίων με συνίστορα πιστὸν ἐρώτων
οὐ πιστῇ λύχνον Φλάκκος ἔδωκε Νάπῃ,
ἧς παρὰ νῦν λεχέεσσι μαραίνομαι, τῆς ἐπιόρκου
παντοπαθῆ κούρης αἴσχεα δερκόμενος.
Φλάκκε, σὲ δ' ἄγρυπνον χαλεπαὶ τείρουσι μέριμναι·
ἄμφω δ' ἀλλήλων ἄνδιχα καιόμεθα.

## 6. ΚΑΛΛΙΜΑΧΟΥ.

Ὤμοσε Καλλίγνωτος Ἰωνίδι μήποτ' ἐκείνης
ἕξειν μήτε φίλον κρέσσονα, μήτε φίλην.
ὤμοσεν· ἀλλὰ λέγουσιν ἀληθέα, τοὺς ἐν ἔρωτι
ὅρκους μὴ δύνειν οὔατ' ἐς ἀθανάτων.
νῦν δ' ὁ μὲν ἀρσενικῷ θέρεται πυρί· τῆς δὲ ταλαίνης
νύμφης, ὡς Μεγαρέων, οὐ λόγος, οὐδ' ἀριθμός.

## 7. ΑΣΚΛΗΠΙΑΔΟΥ.

Λύχνε, σε γὰρ παρεοῦσα τρὶς ὤμοσεν Ἡράκλεια
ἥξειν, κοὐχ ἥκει· λύχνε, σὺ δ', εἰ θεὸς εἶ,

Hosted by Google

τὴν δολίην ἀπάμυνον· ὅταν φίλον ἔνδον ἔχουσα
παίζῃ, ἀποσβεσθεὶς μηκέτι φῶς πάρεχε.

### 8. ΜΕΛΕΑΓΡΟΥ.

Νὺξ ἱερή, καὶ λύχνε, συνίστορας οὔτινας ἄλλους
ὅρκοις, ἀλλ᾽ ὑμέας εἱλόμεθ᾽ ἀμφότεροι.
χῶ μὲν ἐμὲ στέρξειν, κεῖνον δ᾽ ἐγὼ οὔ ποτε λείψειν
ὠμόσαμεν· κοινὴν δ᾽ εἴχετε μαρτυρίην.
νῦν δ᾽ ὁ μὲν ὅρκια φησὶν ἐν ὕδατι κεῖνα φέρεσθαι,
λύχνε, σὺ δ᾽ ἐν κόλποις αὐτὸν ὁρᾷς ἑτέρων.

### 9. ΡΟΥΦΙΝΟΣ.

Ῥουφῖνος τῇ ᾽μῇ γλυκερωτάτῃ Ἐλπίδι πολλὰ
χαίρειν, εἰ χαίρειν χωρὶς ἐμοῦ δύναται·
οὐκέτι βαστάζω, μὰ τὰ σ᾽ ὄμματα, τὴν φιλέρημον,
καὶ τὴν μουνολεχῆ σεῖο διαζυγίην·
ἀλλ᾽ αἰεὶ δακρύοισι πεφυρμένος * ἢ ἐπιορκήσων
ἔρχομαι, ἢ μεγάλης νηὸν ἐς Ἀρτέμιδος·
αὔριον ἀλλὰ πάτρη με δεδέξεται· ἐς δὲ σὸν ὄμμα
πτήσομαι, ἐῤῥῶσθαι μυρία σ᾽ εὐχόμενος.

### 10. ΑΛΚΑΙΟΥ.

Ἐχθαίρω τὸν Ἔρωτα· τί γὰρ βαρὺς οὐκ ἐπὶ θῆρας
ὄρνυται, ἀλλ᾽ ἐπ᾽ ἐμὴν ἰοβολεῖ κραδίην;
τί πλέον εἰ θεὸς ἄνδρα καταφλέγει; ἢ τί τὸ σεμνὸν
δῃώσας ἀπ᾽ ἐμῆς ἆθλον ἔχει κεφαλῆς;

### 11. ΑΔΕΣΠΟΤΟΝ.

Εἰ τοὺς ἐν πελάγει σώζεις, Κύπρι, κἀμὲ τὸν ἐν γᾷ
ναυαγόν, φιλίη, σῶσον ἀπολλύμενον.

Hosted by Google

## 12. ΡΟΥΦΙΝΟΥ.

*Λουσάμενοι, Προδίκη, πυκασώμεθα, καὶ τὸν ἄκρατον*
*ἕλκωμεν, κύλικας μείζονας αἰρόμενοι.*
*βαιὸς ὁ χαιρόντων ἐστὶν βίος· εἶτα τὰ λοιπὰ*
*γῆρας κωλύσει· καὶ τὸ τέλος, θάνατος.*

## 13. ΦΙΛΟΔΗΜΟΥ.

*Ἑξήκοντα τελεῖ Χαριτὼ λυκαβαντίδας ὥρας·*
*ἀλλ' ἔτι κυανέων σύρμα μένει πλοκάμων,*
*κὴν στέρνοις ἔτι κεῖνα τὰ λύγδινα κώνια μαστῶν*
*ἕστηκεν, μίτρης γυμνὰ περιδρομάδος,*
*καὶ χρὼς ἀῤῥυτίδωτος ἔτ' ἀμβροσίην, ἔτι πειθώ,*
*πάσας ἔτι στάζει μυριάδας χαρίτων.*
*ἀλλὰ πόθους ὀργῶντας ὅσοι μὴ φεύγετ' ἐρασταί,*
*δεῦρ' ἴτε, τῆς ἐτέων ληθόμενοι δεκάδος.*

## 14. ΡΟΥΦΙΝΟΥ.

*Εὐρώπης τὸ φίλημα καὶ ἢν ἄχρι χείλεος ἔλθῃ,*
*ἡδύ γε, κἂν ψαύσῃ μοῦνον ἄχρι στόματος.*
*ψαύει δ' οὐκ ἄκροις τοῖς χείλεσιν· ἀλλ' ἐρίσασα*
*τὸ στόμα, τὴν ψυχὴν ἐξ ὀνύχων ἀνάγει.*

## 15. ΤΟΥ ΑΥΤΟΥ.

*Ποῦ νῦν Πραξιτέλης; ποῦ δ' αἱ χέρες αἱ Πολυκλείτου,*
*αὐταῖς πρόσθε τέχναις πνεῦμα χαριζόμεναι;*
*τίς πλοκάμους Μελίτης εὐώδεας, ἢ πυρόεντα*
*ὄμματα, καὶ δειρῆς φέγγος ἀποπλάσεται;*
*ποῦ πλάσται; ποῦ δ' εἰσὶ λιθοξόοι; ἔπρεπε τοίῃ*
*μορφῇ νηὸν ἔχειν, ὡς μακάρων ξοάνῳ.*

Hosted by Google

## 16. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Μήνη χρυσόκερως δέρκη τάδε, καὶ πυριλαμπεῖς
ἀστέρες, οὓς κόλποις Ὠκεανὸς δέχεται,
ὥς γε μόνον προλιποῦσα μυρόπνοος ᾤχετ᾽ Ἀρίστη,
ἑκταίην δ᾽ εὑρεῖν τὴν μάγον οὐ δύναμαι.
ἀλλ᾽ ἔμπης αὐτὴν ζητήσομεν· ἦ ῥ᾽ ἐπιπέμψω
Κύπριδος ἰχνευτὰς ἀργυρέους σκύλακας.

## 17. ΓΑΙΤΟΥΛΙΚΟΥ.

Ἀγχιάλου ῥηγμῖνος ἐπίσκοπε, σοὶ τάδε πέμπω
ψαιστία, καὶ λιτῆς δῶρα θυηπολίης.
αὔριον Ἰονίου γὰρ ἐπὶ πλατὺ κῦμα περήσω,
σπεύδων ἡμετέρης κόλπον ἐς Εἰδοθέης.
οὔριος ἀλλ᾽ ἐπίλαμψον ἐμῷ καὶ ἔρωτι καὶ ἱστῷ,
δεσπότι καὶ θαλάμων, Κύπρι, καὶ ἠϊόνων.

## 18. ΡΟΥΦΙΝΟΥ.

Μᾶλλον τῶν σοβαρῶν τὰς δουλίδας ἐκλεγόμεσθα,
οἱ μὴ τοῖς σπατάλοις κλέμμασι τερπόμενοι.
ταῖς μὲν χρὼς ἀπόδωδε μύρου, σοβαρόν τε φρύαγμα,
καὶ μέχρι κινδύνου ἑσπομένη σύνοδος.
ταῖς δὲ χάρις καὶ χρὼς ἴδιος, καὶ λέκτρον ἑτοῖμον,
δώροις ἐκ σπατάλης οὐκ ἀλεγιζόμενον.
μιμοῦμαι Πύῤῥον τὸν Ἀχιλλέος, ὃς προέκρινεν
Ἑρμιόνης ἀλόχου τὴν λάτριν Ἀνδρομάχην.

## 19. ΤΟΥ ΑΥΤΟΥ.

Οὐκέτι παιδομανής, ὡς πρίν ποτε· νῦν δὲ καλοῦμαι
θηλυμανής, καὶ νῦν δίσκος ἐμοὶ κρόταλον.
ἀντὶ δέ μοι παίδων ἀδόλου χροὸς ἤρεσε γύψου
χρώματα, καὶ φύκους ἄνθος ἐπεισόδιον.

Hosted by Google

βοσκήσει δελφῖνας ὁ δενδροκόμης Ἐρύμανθος,
καὶ πολιὸν πόντου κῦμα θοὸς ἐλάφους.

## 20. ΟΝΕΣΤΟΥ.

Οὔτε με παρθενικῆς τέρπει γάμος, οὔτε γεραιῆς·
τὴν μὲν ἐποικτείρω, τὴν δὲ καταιδέομαι.
εἴη μήτ' ὄμφαξ, μήτ' ἀσταφίς· ἡ δὲ πέπειρος
ἐς Κύπριδος θαλάμους ὡρία καλλοσύνη.

## 21. ΡΟΥΦΙΝΟΥ.

Οὐκ ἔλεγον, Προδίκη, γηράσκομεν; οὐ προεφώνουν,
ἥξουσιν ταχέως αἱ διαλυσίφιλοι;
νῦν ῥυτίδες, καὶ θρὶξ πολιή, καὶ σῶμα ῥακῶδες,
καὶ στόμα τὰς προτέρας οὐκέτ' ἔχον χάριτας.
μήτις σοί, μετέωρε, προσέρχεται, ἢ κολακεύων
λίσσεται; ὡς δὲ τάφον νῦν σε παρερχόμεθα.

## 22 ΤΟΥ ΑΥΤΟΥ.

Σοί με λάτριν γλυκύδωρος Ἔρως παρέδωκε, Βοῶπι,
ταῦρον ὑποζεύξας εἰς πόθον αὐτόμολον,
αὐτοθελῆ, πάνδουλον, ἑκούσιον, αὐτοκέλευστον,
αἰτήσοντα πικρὴν μήποτ' ἐλευθερίην,
ἄχρι φίλης πολιῆς καὶ γήραος· ὄμμα βάλοι δὲ
μήποτ' ἐφ' ἡμετέραις ἐλπίσι βασκανίη.

## 23. ΚΑΛΛΙΜΑΧΟΥ.

Οὕτως ὑπνώσαις, Κωνώπιον, ὡς ἐμὲ ποιεῖς
κοιμᾶσθαι ψυχροῖς τοῖσδε παρὰ προθύροις.
οὕτως ὑπνώσαις, ἀδικωτάτη, ὡς τὸν ἐραστὴν
κοιμίζεις· ἐλέου δ' οὐδ' ὄναρ ἠντίασας.

Hosted by Google

γείτονες οἰκτείρουσι· σὺ δ' οὐδ' ὄναρ. ἡ πολιὴ δὲ
αὐτίκ' ἀναμνήσει ταῦτά σε πάντα κόμη.

## 24. ΦΙΛΟΔΗΜΟΥ.

Ψυχή μοι προλέγει φεύγειν πόθον Ἡλιοδώρας,
δάκρυα καὶ ζήλους τοὺς πρὶν ἐπισταμένη.
φησὶ μέν· ἀλλὰ φυγεῖν οὔ μοι σθένος· ἡ γὰρ ἀναιδὴς
αὐτὴ καὶ προλέγει, καὶ προλέγουσα φιλεῖ.

## 25. ΤΟΥ ΑΥΤΟΥ.

Ὁσσάκι Κυδίλλης ὑποκόλπιος, εἴτε κατ' ἦμαρ,
εἴτ' ἀποτολμήσας ἤλυθον ἑσπέριος,
οἶδ' ὅτι πὰρ κρημνὸν τέμνω πόρον, οἶδ' ὅτι ῥιπτῶ
πάντα κύβον κεφαλῆς αἰὲν ὕπερθεν ἐμῆς.
ἀλλὰ τί μοι πλέον ἐστί; τί γάρ; θρασύς, ἠδ' ὅταν ἕλκῃ
πάντοσ' Ἔρως, ἀρχὴν οὐδ' ὄναρ οἶδε φόβον.

## 26. ΑΔΕΣΠΟΤΟΝ.

Εἴτε σε κυανέῃσιν ἀποστίλβουσαν ἐθείραις,
εἴτε πάλιν ξανθαῖς εἶδον, ἄνασσα, κόμαις,
ἴση ἀπ' ἀμφοτέρων λάμπει χάρις. ἦ ῥά γε ταύταις
θριξὶ συνοικήσει καὶ πολιῇσιν Ἔρως.

## 27. ΡΟΥΦΙΝΟΥ.

Ποῦ σοὶ κεῖνα, Μέλισσα, τὰ χρύσεα, καὶ περίοπτα
τῆς πολυθρυλλήτου κάλλεα φαντασίης;
ποῦ δ' ὀφρύες, καὶ γαῦρα φρονήματα, καὶ μέγας αὐχήν,
καὶ σοβαρῶν ταρσῶν χρυσοφόρος σπατάλη;
νῦν πενιχρή, ψαφαρή τε κόμη, παρὰ ποσσὶ τραχεῖα·
ταῦτα τὰ τῶν σπαταλῶν τέρματα παλλακίδων.

## V. ΕΡΩΤΙΚΑ.

### 28. ΤΟΥ ΑΥΤΟΥ.

Νῦν μοι χαῖρε λέγεις, ὅτε σου τὸ πρόσωπον ἀπῆλθεν
κεῖνο, τὸ τῆς λύγδου, βάσκανε, λειότερον.
νῦν μοι προςπαίζεις, ὅτε τὰς τρίχας ἠφάνικας σου,
τὰς ἐπὶ τοῖς σοβαροῖς αὐχέσι πλαζομένας.
μηκέτι μοι, μετέωρε, προςέρχεο, μηδὲ συνάντα·
ἀντὶ ῥόδου γὰρ ἐγὼ τὴν βάτον οὐ δέχομαι.

### 29. ΚΙΛΛΑΚΤΟΡΟΣ.

Ἁδὺ τὸ βινεῖν ἐστί· τίς οὐ λέγει; ἀλλ' ὅταν αἰτῇ
χαλκόν, πικρότερον γίνεται ἐλλεβόρου.

### 30. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Πάντα καλῶς, τό γε μήν, χρυσῆν ὅτι τὴν Ἀφροδίτην,
ἔξοχα καὶ πάντων, εἶπεν ὁ Μαιονίδας.
ἢν μὲν γὰρ τὸ χάραγμα φέρῃς, φίλος, οὔτε θυρωρὸς
ἐν ποσίν, οὔτε κύων ἐν προθύροις δέδεται.
ἢν δ' ἑτέρως ἔλθῃς, καὶ ὁ Κέρβερος. ὦ πλεονέκται,
* οἱ πλοῦτον, πενίην ὡς ἀδικεῖτε μόνοι.

### 31. ΤΟΥ ΑΥΤΟΥ.

Χρύσεος ἦν γενεή, καὶ χάλκεος, ἀργυρέη τε
πρόσθεν· παντοίη δ' ἡ Κυθέρεια τανῦν.
καὶ χρυσοῦν τίει, καὶ χάλκεον ἄνδρ' ἐφίλησεν,
καὶ τοὺς ἀργυρέους οὔ ποτ' ἀποστρέφεται.
Νέστωρ ἡ Παφίη. δοκέω δ', ὅτι καὶ Δανάῃ Ζεὺς
οὐ χρυσός, χρυσοῦς δ' ἦλθε φέρων ἑκατόν.

## V. ΕΡΩΤΙΚΑ.

### 32. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Ποιεῖς πάντα, Μέλισσα, φιλανθέος ἔργα μελίσσης.
οἶδα, καὶ ἐς κραδίην τοῦτο, γύναι, τίθεμαι.
καὶ μέλι μὲν στάζεις ὑπὸ χείλεσιν ἡδὺ φιλεῦσα·
ἢν δ' αἰτῇς, κέντρῳ τύμμα φέρεις ἄδικον.

### 33. ΠΑΡΜΕΝΙΩΝΟΣ.

Ἐς Δανάην ἐῤῥευσας, Ὀλύμπιε, χρυσός, ἵν' ἡ παῖς
ὡς δώρῳ πεισθῇ, μὴ τρέσῃ ὡς Κρονίδην.

### 34. ΤΟΥ ΑΥΤΟΥ.

Ὁ Ζεὺς τὴν Δανάην χρυσοῦ· κἀγὼ δὲ σὲ χρυσοῦ.
πλείονα γὰρ δοῦναι τοῦ Διὸς οὐ δύναμαι.

### 35. ΡΟΥΦΙΝΟΥ.

Πυγὰς αὐτὸς ἔκρινα τριῶν, εἵλοντο γὰρ αὗται,
δείξασαι γυμνὴν ἀστεροπὴν μελέων.
καί ῥ' ἡ μὲν τροχαλοῖς σφραγιζομένη γελασίνοις
λευκῇ ἀπὸ γλουτῶν ἤνθεεν εὐαφίῃ.
τῆς δὲ διαιρομένης φοινίσσετο χιονέη σάρξ,
πορφυρέοιο ῥόδου μᾶλλον ἐρυθροτέρη.
ἡ δὲ γαληνιόωσα χαράσσετο κύματι κωφῷ,
αὐτομάτη τρυφερῷ χρωτὶ σαλευομένη.
εἰ ταύτας ὁ κριτὴς ὁ θεῶν ἐθεήσατο πυγάς,
οὐκέτ' ἂν οὐδ' ἐσιδεῖν ἤθελε τὰς προτέρας.

### 36. ΤΟΥ ΑΥΤΟΥ.

Ἤρισαν ἀλλήλαις Ῥοδόπη, Μελίτη, Ῥοδόκλεια,
τῶν τρισσῶν τίς ἔχει κρείσσονα μηριόνην,
καί με κριτὴν εἵλοντο· καὶ ὡς θεαὶ αἱ περίβλεπτοι
ἔστησαν γυμναί, νέκταρι λειπόμεναι·

Καὶ Ῥοδόπης μὲν ἔλαμπε μέσος μηρῶν πολυτιμος,
οἷα ῥόδων * πολιῷ σχιζόμενος Ζεφύρῳ·
Τῆς δὲ Ῥοδοκλείης ὑάλῳ ἴσος, ὑγρομέτωπος,
οἷα καὶ ἐν νηῷ πρωτογλυφὲς ξόανον·
ἀλλὰ σαφῶς ἃ πέπονθε Πάρις διὰ τὴν κρίσιν εἰδώς,
τὰς τρεῖς ἀθανάτας εὐθὺ συνεστεφάνουν.

37. ΤΟΥ ΑΥΤΟΥ.

Μήτ' ἰσχνὴν λίην περιλάμβανε, μήτε παχεῖαν·
τούτων δ' ἀμφοτέρων τὴν μεσότησα θέλε.
τῇ μὲν γὰρ λείπει σαρκῶν χύσις· ἡ δὲ περισσὴν
κέκτηται· λεῖπον μὴ θέλε, μηδὲ πλέον.

38. ΝΙΚΑΡΧΟΥ.

Εὐμεγέθης πείθει με καλὴ γυνή, ἄν τε καὶ ἀκμῆς
ἅπτητ', ἄν τε καὶ ᾖ, Σιμύλε, πρεσβυτέρη.
ἡ μὲν γάρ με νέα περιλήψεται· ἢν δὲ παλαιή,
γραῖά με καὶ ῥυσή, Σιμύλε, * δικάσεται.

39. ΤΟΥ ΑΥΤΟΥ.

Οὐκ ἀποθνήσκειν δεῖ με; τί μοι μέλει, ἤν τε ποδ-
αγρός,
ἤν τε δρομεὺς γεγονὼς εἰς Ἅιδην ὑπάγω;
πολλοὶ γάρ μ' αἴρουσιν· ἔα χωλόν με γενέσθαι.
τῶνδ' ἕνεκεν γὰρ ἴσως οὔποτ' ἐῶ θιάσους.

40. ΤΟΥ ΑΥΤΟΥ.

Τῆς μητρὸς μὴ ἄκουε, Φιλουμένη· ἢν γὰρ ἀπέλθῃ,
καὶ θῇ ἅπαξ ἔξω τὸν πόδα τῆς πόλεως,
τῶν καταπαιζόντων μὴ σχῇς λόγον, ἀλλὰ σὺ κείνοις

ἐμπαίξασ', ἄρξαι πλεῖον ἐμοῦ τι ποιεῖν·
πάντα λίθον κίνει· σαυτὴν τρέφε, καὶ γράφε πρός με,
εἰς ποίην ἀκτὴν εὔφρόσυνον γέγονας.
εὐτακτεῖν πειρῶ· τὸ δ' ἐνοίκιον, ἤν τι περισσὸν
γίνηται, καὶ ἐμοὶ φρόντισον ἱμάτιον·
ἢν ἐν γαστρὶ λάβῃς, τέκε καὶ τρέφε· μὴ θορυβηθῇς·
εὑρήσει πόθεν ἔστ', ἐλθὸν ἐς ἡλικίην.

## 41. ΡΟΥΦΙΝΟΥ.

Τίς γυμνὴν οὕτω σε καὶ ἐξέβαλεν καὶ ἔδειρεν,
τίς ψυχὴν λιθίνην εἶχε, καὶ οὐκ ἔβλεπεν;
μοιχὸν ἴσως ηὕρηκεν, ἀκαίρως κεῖνος ἐςελθών.
γινόμενον· πᾶσαι τοῦτο ποοῦσι, τέκνον.
πλὴν ἀπὸ νῦν, ὅταν ἐστὶν ἔσω, κεῖνος δ' ὅταν ἔξω,
τὸ πρόθυρον σφήνου, μὴ πάλι ταὐτὸ πάθῃς.

## 42. ΤΟΥ ΑΥΤΟΥ.

Μισῶ τὴν ἀφελῆ, μισῶ τὴν σώφρονα λίαν.
ἡ μὲν γὰρ βραδέως, ἡ δὲ θέλει ταχέως.

## 43. ΤΟΥ ΑΥΤΟΥ.

Ἐκβάλλει γυμνήν τις ἐπὰν εὕρῃ ποτὲ μοιχόν,
ὡς μὴ μοιχεύσας, ὡς ἀπὸ Πυθαγόρου.
εἶτα, τέκνον, κλαίουσα καταδρύψεις τὸ πρόσωπον,
καὶ παραριγώσεις μαινομένου προθύροις;
ἔκμαξαι, μὴ κλαῖε, τέκνον· χεὑρήσομεν ἄλλον,
τὸν μὴ καὶ τὸ βλέπειν εἰδότα καὶ τὸ δέρειν.

## 44. ΤΟΥ ΑΥΤΟΥ.

Λέμβιον, ἡ δ' ἑτέρα Κερκούριον, αἱ δύ' ἑταῖραι
αἰὲν ἐφορμοῦσιν τῷ Σαμίων λιμένι.

Hosted by Google

ἀλλά, νέοι, πανδημὶ τὰ ληστρικὰ τῆς Ἀφροδίτης
φεύγεθ᾽· ὁ συμμίξας καὶ καταδὺς πίεται.

## 45. ΚΙΛΛΑΚΤΟΡΟΣ.

Παρθενικὰ κούρα τὰ ἃ κέρματα πλείονα ποιεῖ,
οὐκ ἀπὸ τᾶς τέχνας, ἀλλ᾽ ἀπὸ τᾶς φύσιος.

## 46. ΦΙΛΟΔΗΜΟΥ.

Χαῖρε σύ. καὶ σύ γε χαῖρε. τί δεῖ σε καλεῖν; σὲ δέ; μήπω
τοῦτο. φιλόσπουδος. μήτε σύ. μή τιν᾽ ἔχεις;
αἰεὶ τὸν φιλέοντα. θέλεις ἅμα σήμερον ἡμῖν
δειπνεῖν; εἰ σὺ θέλεις. εὖγε· πόσου παρέσῃ;
μηδέν μοι προδίδου. τοῦτο ξένον. ἀλλ᾽ ὅσον ἄν σοι
κοιμηθέντι δοκῇ, τοῦτο δός. οὐκ ἀδικεῖς.
ποῦ γίνῃ; πέμψω. καταμάνθανε. πηνίκα δ᾽ ἥξεις;
ἣν σὺ θέλεις ὥρην. εὐθὺ θέλω. πρόαγε.

## 47. ΡΟΥΦΙΝΟΥ.

Πολλάκις ἠρασάμην σε λαβὼν ἐν νυκτί, Θάλεια,
πληρῶσαι θαλερῇ θυμὸν ἐρωμανίῃ.
νῦν δ᾽, ὅτε μοι γυμνὴ γλυκεροῖς μελέεσσι πέπλησαι,
ἔκλυτος ὑπναλέῳ γυῖα κέκμηκα κόπῳ.
θυμὲ τάλαν, τί πέπονθας; ἀνέγρεο, μηδ᾽ ἀπόκαμνε.
ζητήσεις ταύτην τὴν ὑπερευτυχίην.

## 48. ΤΟΥ ΑΥΤΟΥ.

Ὄμματα μὲν χρύσεια, καὶ ὑαλόεσσα παρειή,
καὶ στόμα πορφυρέης τερπνότερον κάλυκος,
δειρὴ λυγδινέη, καὶ στήθεα μαρμαίροντα,
καὶ πόδες ἀργυρέης λευκότεροι Θέτιδος.

Hosted by Google

εἰ δέ τι καὶ πλοκαμῖσι διαστίλβουσιν ἄκανθαι,
τῆς λευκῆς καλάμης οὐδὲν ἐπιστρέφομαι

## 49. ΓΑΛΛΟΥ.

Ἡ τρισὶ λειτουργοῦσα πρὸς ἓν τάχος ἀνδράσι Λύδη,
τῷ μὲν ὑπὲρ νηδύν, τῷ δ' ὑπό, τῷ δ' ὄπιθεν,
εἰςδέχομαι φιλόπαιδα, γυναικομανῆ, φιλυβριστήν.
εἰ σπεύδεις, ἐλθὼν σὺν δυσί, μὴ κατέχου.

## 50. ΑΔΕΣΠΟΤΟΝ.

Καὶ πενίη καὶ ἔρως δύο μοι κακά· καὶ τὸ μὲν οἴσω
κούφως· πῦρ δὲ φέρειν Κύπριδος οὐ δύναμαι.

## 51. ΑΔΕΣΠΟΤΟΝ.

Ηράσθην, ἐφίλουν, ἔτυχον, κατέπραξ', ἀγαπῶμαι.
τίς δέ, καὶ ἧς, καὶ πῶς; ἡ θεὸς οἶδε μόνη.

## 52. ΔΙΟΣΚΟΡΙΔΟΥ

εἰς Ἀρσινόην ἑταίραν Σωσιπάτρου.

Ορκον κοινὸν Ἔρωτ' ἀνεθήκαμεν· ὅρκος ὁ πιστὴν
Ἀρσινόης θέμενος Σωσιπάτρῳ φιλίην.
ἀλλ' ἡ μὲν ψευδής, κενὰ δ' ὅρκια· τῷ δ' ἐφυλάχθη
ἵμερος· ἡ δὲ θεῶν οὐ φανερὴ δύναμις.
θρήνους, ὦ Ὑμέναιε, παρὰ κληῖσιν ἀκούσαις
Ἀρσινόης, παστῷ μεμψαμένους προδότῃ.

## 53. ΤΟΥ ΑΥΤΟΥ.

Ἡ πιθανή μ' ἔτρωσεν Ἀριστονόη, φίλ' Ἄδωνι,
κοψαμένη τῇ σῇ στήθεα πὰρ καλύβῃ.
εἰ δώσει ταύτην καὶ ἐμοὶ χάριν, ἣν ἀποπνεύσω,
μὴ πρόφασις, σύμπλουν σύμμε λαβὼν ἀπάγου.

Hosted by Google

## 54. ΤΟΥ ΑΥΤΟΥ.

Μήποτε γαστροβαρῆ, πρὸς σὸν λέχος, ἀντιπρόσωπον
παιδογόνῳ κλίνης Κύπριδι τερπόμενος.
μεσσόθι γὰρ μέγα κῦμα, καὶ οὐκ ὀλίγος πόνος ἔσται,
τῆς μὲν ἐρεσσομένης, σοῦ δὲ σαλευομένου.
ἀλλὰ πρὶν στρέψας ῥοδοειδέϊ τέρπεο πυγῇ,
τὴν ἄλοχον νομίσας ἀρσενόπαιδα Κύπριν.

## 55. ΤΟΥ ΑΥΤΟΥ.

Δωρίδα τὴν ῥοδόπυγον ὑπὲρ λεχέων διατείνας
ἄνθεσιν ἐν χλοεροῖς ἀθάνατος γέγονα.
ἡ γὰρ ὑπερφυέεσσι μέσον διαβᾶσά με ποσσὶν,
ἤνυεν ἀκλινέως τὸν Κύπριδος δόλιχον,
ὄμμασι νωθρὰ βλέπουσα· τὰ δ', ἠΰτε πνεύματι φύλλα,
ἀμφισαλευομένης, ἔτρεμε πορφύρεα,
μέχρις ἀπεσπείσθη λευκὸν μένος ἀμφοτέροισι,
καὶ Δωρὶς παρέτοις ἐξεχύθη μέλεσι.

## 56 ΤΟΥ ΑΥΤΟΥ

Ἐκμαίνει χείλη με ῥοδόχροα, ποικιλόμυθα,
ψυχοτακῆ στόματος νεκταρέου πρόθυρα,
καὶ γλῆναι λασίαισιν ὑπ' ὀφρύσιν ἀστράπτουσαι.
σπλάγχνων ἡμετέρων δίκτυα καὶ παγίδες,
καὶ μαζοὶ γλαγόεντες, εὔζυγες, ἱμερόεντες,
εὐφυέες, πάσης τερπνότεροι κάλυκος.
ἀλλὰ τί μηνύω κυσὶν ὀστέα; μάρτυρές εἰσιν
τῆς ἀθυροστομίης οἱ Μίδεοι κάλαμοι.

## 57. ΜΕΛΕΑΓΡΟΥ.

Τὴν πυρὶ νηχομένην ψυχὴν ἂν πολλάκι καίῃς,
φεύξετ', Ἔρως· καὐτή, σχέτλι', ἔχει πτέρυγας.

Hosted by Google

## 58. ΑΡΧΙΟΥ.

Νήπι᾽ Ἔρως, πορθεῖς με τὸ κρήγυον· εἴς με κένωσον
πᾶν σὺ βέλος, λοιπὴν μηκέτ᾽ ἀφεὶς γλυφίδα,
ὡς ἂν μοῦνον ἕλοις ἰοῖς ἐμέ, καί τινα χρήζων
ἄλλον ὀϊστεῦσαι, μηκέτ᾽ ἔχοις ἀκίδα.

## 59. ΤΟΥ ΑΥΤΟΥ.

Φεύγειν δὴ τὸν Ἔρωτα κενὸς πόνος· οὐ γὰρ ἀλύξω
πεζὸς ὑπὸ πτηνοῦ πυκνὰ διωκόμενος.

## 60. ΡΟΥΦΙΝΟΥ.

Παρθένος ἀργυρόπεζος ἐλούετο χρύσεα μαζῶν
χρωτὶ γαλακτοπαγεῖ μῆλα διαινομένη·
πυγαὶ δ᾽ ἀλλήλαις περιηγέες εἱλίσσοντο,
ὕδατος ὑγροτέρῳ χρωτὶ σαλευόμεναι.
τὸν δ᾽ ὑπεροιδαίνοντα κατέσκεπε πεπταμένη χεὶρ
οὐχ ὅλον Εὐρώταν, ἀλλ᾽ ὅσον ἠδύνατο.

## 61. ΤΟΥ ΑΥΤΟΥ.

Τῇ κυανοβλεφάρῳ παίζων κόνδακα Φιλίππῃ,
ἐξ αὐτῆς κραδίης ἡδὺ γελᾶν ἐπόουν·
Δώδεκά σοι βέβληκα, καὶ αὔριον ἄλλα βαλῶ σοι,
ἢ πλέον, ἠὲ πάλιν δώδεκ᾽ ἐπιστάμενος.
εἶτα * κελευομένη ἦλθεν· γελάσας δὲ πρὸς αὐτήν,
Εἴθε σε καὶ νύκτωρ ἐρχομένην ἐκάλουν.

## 62. ΤΟΥ ΑΥΤΟΥ.

Οὔπω σοῦ τὸ καλὸν χρόνος ἔσβεσεν, ἀλλ᾽ ἔτι πολλὰ
λείψανα τῆς προτέρης σώζεται ἡλικίης,

Hosted by Google

καὶ χάριτες μίμνουσιν ἀγήραοι, οὐδὲ τὸ καλὸν
τῶν ἱλαρῶν μήλων, ἢ ῥόδον ἐξέφυγεν.
ἆ πόσσους κατέφλεξε τὸ πρὶν θεοείκελον * *
* * * *

## 63. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Ἀντιγόνη, Σικελὴ πάρος ἦσθά μοι· ὡς δ᾽ ἐγενήθης
Αἰτωλή, κἀγὼ Μῆδος ἰδοὺ γέγονα.

## 64. ΑΣΚΛΗΠΙΑΔΟΥ.

Νῖφε, χαλαζοβόλει, ποίει σκότος, αἶθε, κεραύνου,
πάντα τὰ πορφύροντ᾽ ἐν χθονὶ σεῖε νέφη.
ἢν γάρ με κτείνῃς, τότε παύσομαι· ἢν δέ μ᾽ ἀφῇς ζῆν,
καὶ διαθεὶς τούτων χείρονα, κωμάσομαι.
ἕλκει γάρ μ᾽ ὁ κρατῶν καὶ σοῦ θεός, ᾧ ποτε πεισθείς,
Ζεῦ, διὰ χαλκείων χρυσὸς ἔδυς θαλάμων.

## 65. ΑΔΕΣΠΟΤΟΝ.

Αἰετὸς ὁ Ζεὺς ἦλθεν ἐπ᾽ ἀντίθεον Γανυμήδην·
κύκνος ἐπὶ ξανθὴν μητέρα τὴν Ἑλένης.
οὕτως ἀμφότερ᾽ ἐστὶν ἀσύγκριτα· τῶν δύο δ᾽ αὐτῶν
ἄλλοις ἄλλο δοκεῖ κρεῖσσον· ἐμοὶ τὰ δύο.

## 66. ΡΟΥΦΙΝΟΥ.

Εὐκαίρως μονάσασαν ἰδὼν Προδίκην, ἱκέτευον,
καὶ τῶν ἀμβροσίων ἁψάμενος γονάτων,
Σῶσον, ἔφην, ἄνθρωπον ἀπολλύμενον παρὰ μικρόν,
καὶ φεῦγον ζωῆς πνεῦμα σύ μοι χάρισαι.
ταῦτα λέγοντος, ἔκλαυσεν· ἀποψήσασα δὲ δάκρυ,
ταῖς τρυφεραῖς ἡμᾶς χερσὶν ὑπεξέβαλεν.

Hosted by Google

## 67. ΚΑΠΙΤΩΝΟΣ.

*Κάλλος ἄνευ χαρίτων τέρπει μόνον, οὐ κατέχει δέ,*
*ὡς ἄτερ ἀγκίστρου νηχόμενον δέλεαρ.*

## 68. ΛΟΥΚΙΛΛΙΟΥ. οἱ δὲ ΠΟΛΕΜΩΝΟΣ ΤΟΥ ΠΟΝΤΙΚΟΥ.

*Ἢ τὸ φιλεῖν περίγραψον, Ἔρως, ὅλον, ἢ τὸ φιλεῖσθαι*
*πρόςθες, ἵν᾽ ἢ λύσῃς τὸν πόθον, ἢ κεράσῃς.*

## 69. ΡΟΥΦΙΝΟΥ.

*Παλλὰς ἐςαθρήσασα καὶ Ἥρη χρυσοπέδιλος*
*Μαιονίδ᾽ ἐκ κραδίης ἴαχον ἀμφότεραι·*
*Οὐκέτι γυμνούμεσθα. κρίσις μία ποιμένος ἀρκεῖ·*
*οὐ καλὸν ἡττᾶσθαι δὶς περὶ καλλοσύνης.*

## 70. ΤΟΥ ΑΥΤΟΥ.

*Κάλλος ἔχεις Κύπριδος, Πειθοῦς στόμα, σῶμα καὶ ἀκμὴν*
*εἰαρινῶν Ὡρῶν, φθέγμα δὲ Καλλιόπης,*
*νοῦν καὶ σωφροσύνην Θέμιδος, καὶ χεῖρας Ἀθήνης·*
*σὺν σοὶ δ᾽ αἱ χάριτες τέσσαρές εἰσι, Φίλη.*

## 71. ΤΟΥ ΑΥΤΟΥ. οἱ δὲ ΠΑΛΛΑΔΑ ΑΛΕΞΑΝΔΡΕΩΣ.

*Πρωτομάχου πατρὸς καὶ Νικομάχης γεγαμηκὼς*
*θυγατέρα, Ζήνων, ἔνδον ἔχεις πόλεμον.*
*ζήτει Λυσίμαχον μοιχὸν φίλον, ὅς σ᾽ ἐλεήσας*
*ἐκ τῆς Πρωτομάχου λύσεται Ἀνδρομάχης.*

## 72. ΤΟΥ ΑΥΤΟΥ.

*Τοῦτο βίος, τοῦτ᾽ αὐτό· τρυφὴ βίος· ἐῤῥέτ᾽ ἀνίαι.*

Hosted by Google

ζωῆς ἀνθρώποις ὀλίγος χρόνος. ἄρτι Λύαιος,
ἄρτι χοροὶ, στέφανοί τε φιλανθέες, ἄρτι γυναῖκες.
σήμερον ἐσθλὰ πάθω, τὸ γὰρ αὔριον οὐδενὶ δῆλον.

## 73. ΤΟΥ ΑΥΤΟΥ.

Δαίμονες, οὐκ ᾔδειν ὅτι λούεται ἡ Κυθέρεια,
χερσὶ καταυχενίους λυσαμένη πλοκάμους.
ἱλήκοις, δέσποινα, καὶ ὄμμασιν ἡμετέροισιν
μήποτε μηνίσῃς, θεῖον ἰδοῦσι τύπον.
νῦν ἔγνων· Ῥοδόκλεια, καὶ οὐ Κύπρις. εἶτα τὸ κάλλος
τοῦτο πόθεν; σύ, δοκῶ, τὴν θεὸν ἐκδέδυκας.

## 74. ΤΟΥ ΑΥΤΟΥ.

Πέμπω σοί, Ῥοδόκλεια, τόδε στέφος, ἄνθεσι καλοῖς
αὐτὸς ὑφ᾽ ἡμετέραις πλεξάμενος παλάμαις.
ἔστι κρίνον, ῥοδέη τε κάλυξ, νοτερή τ᾽ ἀνεμώνη,
καὶ νάρκισσος ὑγρός, καὶ κυαναυγὲς ἴον.
ταῦτα στεψαμένη, λῆξον μεγάλαυχος ἐοῦσα·
ἀνθεῖς καὶ λήγεις καὶ σὺ καὶ ὁ στέφανος.

## 75. ΤΟΥ ΑΥΤΟΥ.

Γείτονα παρθένον εἶχον Ἀμυμώνην, Ἀφροδίτη,
ἥ μου τὴν ψυχὴν ἔφλεγεν οὐκ ὀλίγον.
αὕτη μοι προσέπαιζε, καί, εἴ ποτε καιρός, ἐτόλμων·
ἠρυθρία· τί πλέον; τὸν πόνον ᾐσθάνετο·
ἤνυσα πολλὰ καμών· παρακήκοα νῦν ὅτι τίκτει.
ὥστε τί ποιοῦμεν; φεύγομεν ἢ μένομεν;

## 76. ΤΟΥ ΑΥΤΟΥ.

Αὕτη πρόσθεν ἔην ἐρατόχροος, εἰαρόμασθος,
εὔσφυρος, εὐμήκης, εὔοφρυς, εὐπλόκαμος.

ἠλλάχθη δὲ χρόνῳ, καὶ γήραϊ, καὶ πολιαῖσι,
καὶ νῦν τῶν προτέρων οὐδ᾽ ὄναρ οὐδὲν ἔχει·
ἀλλοτρίας δὲ τρίχας, καὶ ῥυσῶδες τὸ πρόσωπον,
οἷον γηράσας οὐδὲ πίθηκος ἔχει.

## 77. ΤΟΥ ΑΥΤΟΥ.

Εἰ τοίην χάριν εἶχε γυνὴ μετὰ Κύπριδος εὐνήν,
οὐκ ἄν τοι κορέεσκεν ἀνὴρ ἀλόχοισιν ὁμιλῶν.
πᾶσαι γὰρ μετὰ Κύπριν ἀτερπέες εἰσὶ γυναῖκες.

## 78. ΠΛΑΤΩΝΟΣ.

Τὴν ψυχήν, Ἀγάθωνα φιλῶν, ἐπὶ χείλεσιν ἔσχον·
ἦλθε γὰρ ἡ τλήμων ὡς διαβησομένη.

## 79. ΤΟΥ ΑΥΤΟΥ.

Τῷ μήλῳ βάλλω σε· σὺ δ᾽ εἰ μὲν ἑκοῦσα φιλεῖς με,
δεξαμένη, τῆς σῆς παρθενίης μετάδος.
εἰ δ᾽ ἄρ ὃ μὴ γίγνοιτο νοεῖς, τοῦτ᾽ αὐτὸ λαβοῦσα,
σκέψαι τὴν ὥρην ὡς ὀλιγοχρόνιος.

## 80. ΤΟΥ ΑΥΤΟΥ.

Μῆλον ἐγώ· βάλλει με φιλῶν σέ τις. ἀλλ᾽ ἐπίνευσον,
Ξανθίππη· κἀγὼ καὶ σὺ μαραινόμεθα.

## 81. ΔΙΟΝΥΣΙΟΥ ΣΟΦΙΣΤΟΥ.

Ἡ τὰ ῥόδα, ῥοδόεσσαν ἔχεις χάριν· ἀλλὰ τί πωλεῖς,
σαυτήν, ἢ τὰ ῥόδα, ἠὲ συναμφότερα;

## 82. ΑΔΕΣΠΟΤΟΝ.

Ω σοβαρὴ βαλάνισσα, τί δή ποτέ μ᾽ ἔκπυρα λούεις·
πρίν μ᾽ ἀποδύσασθαι, τοῦ πυρὸς αἰσθάνομαι.

## 83. ΑΔΕΣΠΟΤΟΝ.

Εἴθ' ἄνεμος γενόμην, σὺ δὲ δὴ στείχουσα παρ' αὐγὰς
στήθεα γυμνώσαις, καί με πνέοντα λάβοις.

## 84. ΑΛΛΟ.

Εἴθε ῥόδον γενόμην ὑποπόρφυρον, ὄφρα με χερσὶν
ἀρσαμένη χαρίσῃ στήθεσι χιονέοις.

## 85. ΑΣΚΛΗΠΙΑΔΟΥ.

Φείδῃ παρθενίης· καὶ τί πλέον; οὐ γὰρ ἐς Ἅιδην
ἐλθοῦσ' εὑρήσεις τὸν φιλέοντα, κόρη.
ἐν ζωοῖσι τὰ τερπνὰ τὰ Κύπριδος· ἐν δ' Ἀχέροντι
ὀστέα καὶ σποδιή, παρθένε, κεισόμεθα.

## 86. ΚΛΑΥΔΙΑΝΟΥ.

Ἱλαθί μοι, φίλε Φοῖβε· σὺ γὰρ θοὰ τόξα τιταίνων
ἐβλήθης ὑπ' Ἔρωτος ὑπ' ὠκυπόροισιν ὀϊστοῖς.

## 87. ΡΟΥΦΙΝΟΥ.

Ἀρνεῖται τὸν ἔρωτα Μελισσιάς, ἀλλὰ τὸ σῶμα
κέκραγεν, ὡς βελέων δεξάμενον φαρέτρην.
καὶ βάσις ἀστατέουσα, καὶ ἄστατος ἄσθματος ὁρμή,
καὶ κοῖλαι βλεφάρων ἰοτυπεῖς βάσιες.
ἀλλά, Πόθοι πρὸς μητρὸς ἐϋστεφάνου Κυθερείης,
φλέξατε τὴν ἀπιθῆ, μέχρις ἐρεῖ, Φλέγομαι.

## 88. ΤΟΥ ΑΥΤΟΥ.

Εἰ δυσὶν οὐκ ἴσχυσας ἴσην φλόγα, πυρφόρε, καῦσαι,
τὴν ἑνὶ καιομένην ἢ σβέσον ἢ μετάθες.

## 89. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Οὐκ ἔσθ' οὗτος ἔρως, εἴ τις καλὸν εἶδος ἔχουσαν
βούλετ' ἔχειν, φρονίμοις ὄμμασι πειθόμενος·

Hosted by Google

ἀλλ' ὅστις κακόμορφον ἰδών, πεφορημένος ἰοῖς
στέργει, μαινομένης ἐκ φρενὸς αἰθόμενος,
οὗτος ἔρως, πῦρ τοῦτο· τὰ γὰρ καλὰ πάντας ὁμοίως
τέρπει, τοὺς κρίνειν εἶδος ἐπισταμένους.

## 90. ΑΔΕΣΠΟΤΟΝ.

Πέμπω σοι μύρον ἡδύ, μύρῳ τὸ μύρον θεραπεύων,
ὡς Βρομίῳ σπένδων νᾶμα τὸ τοῦ Βρομίου.

## 91. ΑΔΕΣΠΟΤΟΝ.

Πέμπω σοὶ μύρον ἡδύ, μύρῳ παρέχων χάριν, οὐ σοί.
αὐτὴ γὰρ μυρίσαι καὶ τὸ μύρον δύνασαι.

## 92. ΡΟΥΦΙΝΟΥ.

Ὕψοῦται Ῥοδόπη τῷ κάλλεϊ· κἤν ποτε χαῖρε
εἴπω, ταῖς σοβαραῖς ὀφρύσιν ἠσπάσατο.
ἤν ποτε καὶ στεφάνους προθύρων ὕπερ ἐκκρεμάσωμαι,
ὀργισθεῖσα πατεῖ τοῖς σοβαροῖς ἴχνεσιν.
ὦ ῥυτίδες, καὶ γῆρας ἀνηλεές, ἔλθετε θᾶσσον,
σπεύσατε, κἂν ὑμεῖς πείσατε τὴν Ῥοδόπην.

## 93. ΤΟΥ ΑΥΤΟΥ.

Ὥπλισμαι πρὸς Ἔρωτα περὶ στέρνοισι λογισμόν,
οὐδέ με νικήσει, μοῦνος ἐὼν πρὸς ἕνα.
θνατὸς δ' ἀθανάτῳ συστήσομαι· ἢν δὲ βοηθὸν
Βάκχον ἔχῃ, τί μόνος πρὸς δύ' ἐγὼ δύναμαι;

## 94. ΤΟΥ ΑΥΤΟΥ.

Ὄμματ' ἔχεις Ἥρης, Μελίτη, τὰς χεῖρας Ἀθήνης,
τοὺς μαζοὺς Παφίης, τὰ σφυρὰ τῆς Θέτιδος.
εὐδαίμων ὁ βλέπων σε· τρισόλβιος ὅστις ἀκούει·
ἡμίθεος δ' ὁ φιλῶν· ἀθάνατος δ' ὁ γαμῶν.

Hosted by Google

## 95. ΑΔΕΣΠΟΤΟΝ.

Τέσσαρες αἱ Χάριτες. Παφίαι δύο, καὶ δέκα Μοῦσαι·
Δερκυλὶς ἐν πάσαις Μοῦσα, Χάρις, Παφίη.

## 96. ΜΕΛΕΑΓΡΟΥ.

Ἰξὸν ἔχεις τὸ φίλημα, τὰ δ᾽ ὄμματα, Τιμάριον, πῦρ·
ἢν ἐςίδῃς, καίεις, ἢν δὲ θίγῃς, δέδεκας.

## 97. ΡΟΥΦΙΝΟΥ.

Εἰ μὲν ἐπ᾽ ἀμφοτέροισιν, Ἔρως, ἴσα τόξα τιταίνεις,
εἶ θεός· εἰ δὲ ῥέπεις πρὸς μέρος, οὐ θεὸς εἶ.

## 98. ΑΔΗΛΟΝ, οἱ δὲ ΑΡΧΙΟΥ.

Ὁπλίζευ, Κύπρι, τόξα, καὶ εἰς σκοπὸν ἥσυχος ἐλθὲ
ἄλλον· ἐγὼ γὰρ ἔχω τραύματος οὐδὲ τόπον.

## 99. ΑΔΗΛΟΝ.

Ἤθελον, ὦ κιθαρῳδέ, παραστὰς ὡς κιθαρίζεις,
τὴν ὑπάτην κροῦσαι, τήν τε μέσην χαλάσαι.

## 100. ΑΔΗΛΟΝ.

Εἴ μοι τις μέμψοιτο, δαεὶς ὅτι λάτρις Ἔρωτος
φοιτῶ, θηρευτὴν ὄμμασιν ἰξὸν ἔχων,
εἰδείη καὶ Ζῆνα, καὶ Ἀΐδα, τόν τε θαλάσσης
σκηπτοῦχον, μαλερῶν δοῦλον ἐόντα πόθων.
εἰ δὲ θεοὶ τοιοίδε, θεοῖς δ᾽ ἐνέπουσιν ἕπεσθαι
ἀνθρώπους, τί θεῶν ἔργα μαθὼν ἀδικῶ;

## 101. ΑΔΕΣΠΟΤΟΝ.

Χαῖρε κόρη. καὶ δὴ σύ· τίς ἡ προςιοῦσα; τί πρὸς σέ;
οὐκ ἀλόγως ζητῶ· δεσπότις ἡμετέρη.

Hosted by Google

ἐλπίζειν ἔστιν; ζητεῖς δὲ τί; νύκτα. φέρεις τί;
χρυσίον. εὐθύμει. καὶ τόσον· οὐ δύνασαι.

### 102. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Τὴν ἰσχνὴν Διόκλειαν, ἀσαρκοτέρην Ἀφροδίτην,
ὄψεαι, ἀλλὰ καλοῖς ἤθεσι τερπομένην.
οὐ πολὺ μοι τὸ μεταξὺ γενήσεται· ἀλλ᾽ ἐπὶ λεπτὰ
στέρνα πεσών, ψυχῆς κείσομαι ἐγγυτάτω.

### 103. ΡΟΥΦΙΝΟΥ.

Μέχρι τίνος, Προδίκη, παρακλαύσομαι; ἄχρι τίνος σε
γουνάσομαι, στερεή, μηδὲν ἀκουόμενος;
ἤδη καὶ λευκαί σοι ἐπισκιρτῶσιν ἔθειραι,
καὶ τάχα μοι δώσεις, ὡς Ἑκάβη Πριάμῳ.

### 104. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Αἶρε τὰ δίκτυα ταῦτα, κακόσχολε, μηδ᾽ ἐπιτηδὲς
ἰσχίον ἐρχομένη σύστρεφε, Λυσιδίκη.
οὔ σε περισφίγγει λεπτὸς στολιδώμασι πέπλος,
πάντα δέ σου βλέπεται γυμνά, καὶ οὐ βλέπεται.
εἰ τόδε σοι χαρίεν καταφαίνεται, αὐτὸς ὁμοίως
ὀρθὸν ἔχων, βύσσῳ τοῦτο περισκεπάσω.

### 105. ΤΟΥ ΑΥΤΟΥ.

Ἄλλος ὁ Μηνοφίλᾳ λέγεται παρὰ μαχλάδι κόσμος,
ἄλλος, ἐπεὶ πάσης γεύεται ἀκρασίης.
ἀλλ᾽ ἴτε Χαλδαῖοι κείνης πέλας· ἦ γὰρ ὁ ταύτης
οὐρανὸς ἐντὸς ἔχει καὶ κύνα καὶ διδύμους.

### 106. ΔΙΟΤΙΜΟΥ ΜΙΛΗΣΙΟΥ.

Γραῖα, φίλη θρέπτειρα, τί μου προσιόντος ὑλακτεῖς,
καὶ χαλεπὰς βάλλεις δὶς τόσον εἰς ὀδύνας;

Hosted by Google

παρθενικὴν γὰρ ἄγεις περικαλλέα, τῆς ἐπιβαίνων
 ἴχνεσι, τὴν ἰδικὴν οἶμον ἴδ' ὡς φέρομαι,
οἶδος ἐςαυγάζων μοῦνον γλυκύ. τίς φθόνος ὅσσων,
 δύςμορε; καὶ μορφὰς ἀθανάτων βλέπομεν.

## 107. ΦΙΛΟΔΗΜΟΥ.

Γιγνώσκω, χαρίεσσα, φιλεῖν πάνυ τὸν φιλέοντα,
 καὶ πάλι γιγνώσκω τόν με δακόντα δακεῖν·
μή λύπει με, λίην στέργοντά σε, μηδ' ἐρεθίζειν
 τὰς βαρυοργήτους σοι θέλε Πιερίδας.
τοῦτ' ἐβόων αἰεὶ καὶ προὔλεγον· ἀλλ' ἴσα πόντῳ
 Ἰονίῳ μύθων ἔκλυες ἡμετέρων.
τοιγὰρ νῦν σὺ μὲν ὧδε μέγα κλαίουσα βαΰζοις·
 ἡμεῖς δ' ἐν κόλποις ἥμεθα Ναϊάδος.

## 108. ΚΡΙΝΑΓΟΡΟΥ.

Δειλαίη, τι σε πρῶτον ἔπος, τί δὲ δεύτατον εἴπω;
 δειλαίη· τοῦτ' ἐν παντὶ κακῷ ἔτυμον.
οἴχεαι, ὦ χαρίεσσα γύναι, καὶ ἐς εἴδεος ὥρην
 ἄκρα, καὶ εἰς ψυχῆς ἦθος ἐνεγκαμένη. —
Πρώτη σοί γ' ὄνομ' ἔσκεν ἐτήτυμον· ἦν γὰρ ἅπαντα
 δεύτερ' ἀμιμήτων τῶν ἐπὶ σοὶ χαρίτων.

## 109. ΑΝΤΙΠΑΤΡΟΥ.

Δραχμῆς Εὐρώπην τὴν Ἀτθίδα, μήτε φοβηθεὶς
 μηδένα, μήτ' ἄλλως ἀντιλέγουσαν, ἔχε,
καὶ στρωμνὴν παρέχουσαν ἀμεμφέα, χὠπότε χειμὼν,
 ἄνθρακας· ἦ ῥα μάτην, Ζεῦ φίλε, βοῦς ἐγένου.

## 110. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Ἔγχει Λυσιδίκης κυάθους δέκα, τῆς δὲ ποθεινῆς
Εὐφράντης ἕνα μοι, λάτρι, δίδου κύαθον.
φήσεις Λυσιδίκην με φιλεῖν πλέον· οὐ μὰ τὸν ἡδὺν
Βάκχον, ὃν ἐν ταύτῃ λαβροποτῶ κύλικι.
ἀλλά μοι Εὐφράντη μία πρὸς δέκα· καὶ γὰρ ἀπείρους
ἀστέρας ἓν μήνης φέγγος ὑπερτίθεται.

## 111. ΑΝΤΙΦΙΛΟΥ.

Εἶπον ἐγὼ καὶ πρόσθεν, ὅτ' ἦν ἔτι φίλτρα Τερείνης
νήπια· συμφλέξει πάντας ἀεξομένη.
οἱ δ' ἐγέλων τὸν μάντιν. ἴδ', ὁ χρόνος, ὅν ποτ' ἐφώνουν,
οὗτος· ἐγὼ δὲ πάλαι τραύματος ᾐσθανόμην.
καὶ τί πάθω; λεύσσειν μέν, ὅλαι φλόγες· ἢν δ' ἀπονεύσω,
φροντίδες· ἢν δ' αἰτῶ, παρθένος. οἰχόμεθα.

## 112. ΦΙΛΟΔΗΜΟΥ.

Ἠράσθην· τίς δ' οὐχί; κεκώμακα· τίς δ' ἀμύητος
κώμων; ἀλλ' ἐμάνην. ἐκ τίνος; οὐχὶ θεοῦ;
ἐῤῥίφθω· πολιὴ γὰρ ἐπείγεται ἀντὶ μελαίνης
θρὶξ ἤδη, συνετῆς ἄγγελος ἡλικίης.
καὶ παίζειν ὅτε καιρός, ἐπαίξαμεν· ἡνίκα καὶ νῦν
οὐκέτι, λωϊτέρης φροντίδος ἁψόμεθα.

## 113. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Ἠράσθης πλουτῶν Σωσίκρατες· ἀλλὰ πένης ὢν
οὐκέτ' ἐρᾷς· λιμὸς φάρμακον οἷον ἔχει.

ἡ δὲ πάρος σε καλεῦσα μύρον καὶ τερπνὸν Ἄδωνιν
Μηνοφίλα, νῦν σου τοὔνομα πυνθάνεται·
Τίς, πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις; ἦ μόλις ἔγνω
τοῦτ' ἔπος, ὡς οὐδεὶς οὐδὲν ἔχοντι φίλος.

## 114. *ΜΑΙΚΙΟΥ.*

Η χαλεπὴ κατὰ πάντα Φιλίστιον, ἡ τὸν ἐραστὴν
μηδέποτ' ἀργυρίου χωρὶς ἀνασχομένη,
φαίνετ' ἀνεκτοτέρη νῦν ἢ πάρος. οὐ μέγα θαῦμα
φαίνεσθ'· ἠλλάχθαι τὴν φύσιν οὐ δοκέω.
καὶ γὰρ πρηΰτέρη ποτὲ γίνεται ἀσπὶς ἀναιδής·
δάκνει δ' οὐκ ἄλλως ἢ θανατηφορίην.

## 115. *ΦΙΛΟΔΗΜΟΥ*

Ηράσθην Δημοῦς Παφίης γένος· οὐ μέγα θαῦμα·
καὶ Σαμίης Δημοῦς δεύτερον· οὐχὶ μέγα·
καὶ πάλιν * ὑσιακῆς Δημοῦς τρίτον· οὐκέτι ταῦτα
παίγνια· καὶ Δημοῦς τέτρατον Ἀργολίδος.
αὐταί που Μοῖραί με κατωνόμασαν Φιλόδημον,
ὡς αἰεὶ Δημοῦς θερμὸς ἔχει με πόθος.

## 116. *ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.*

Θῆλυς ἔρως κάλλιστος ἐνὶ θνητοῖσι τέτυκται,
ὅσσοις ἐς φιλίην σεμνὸς ἔνεστι νόος.
εἰ δὲ καὶ ἀρσενικὸν στέργεις πόθον, οἶδα διδάξαι
φάρμακον, ᾧ παύσεις τὴν δυσέρωτα νόσον.
στρέψας Μηνοφίλαν εὐΐσχιον, ἐν φρεσὶν ἔλπου
αὐτὸν ἔχειν κόλποις ἄρσενα Μηνόφιλον.

## 117. *ΜΑΙΚΙΟΥ.*

Θερμαίνει μ' ὁ καλὸς Κορνήλιος· ἀλλὰ φοβοῦμαι
τοῦτο τὸ φῶς, ἤδη πῦρ μέγα γιγνόμενον.

## 118. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Ἰσιὰς ἡδύπνευστε, καὶ εἰ δεκάκις μύρον ὄσδεις,
ἔγρεο, καὶ δέξαι χερσὶ φίλαις στέφανον,
ὃν νῦν μὲν θάλλοντα, μαραινόμενον δὲ πρὸς ἠῶ
ὄψεαι, ὑμετέρης σύμβολον ἡλικίης.

## 119. ΚΡΙΝΑΓΟΡΟΥ.

Κἢν ῥίψῃς ἐπὶ λαιά, καὶ ἢν ἐπὶ δεξιὰ ῥίψῃς,
Κριναγόρη, κενεοῦ σαυτὸν ὕπερθε λέχους,
εἰ μή σοι χαρίεσσα παρακλίνοιτο Γέμελλα,
γνώσῃ κοιμηθεὶς οὐχ ὕπνον, ἀλλὰ κόπον.

## 120. ΦΙΛΟΔΗΜΟΥ.

Καὶ νυκτὸς μεσάτης τὸν ἐμὸν κλέψασα σύνευνον
ἦλθον, καὶ πυκινῇ τεγγομένη ψακάδι.
τοὔνεκ᾽ ἐν ἀπρήκτοισι καθήμεθα, κοὐχὶ λαλεῦντες
εὕδομεν, ὡς εὕδειν τοῖς φιλέουσι θέμις;

## 121. ΤΟΥ ΑΥΤΟΥ.

Μικκὴ καὶ μελανεῦσα Φιλαίνιον, ἀλλὰ σελίνων
οὐλοτέρη, καὶ μνοῦ χρῶτα τερεινοτέρη,
καὶ κεστοῦ φωνεῦσα μαγώτερα, καὶ παρέχουσα
πάντα, καὶ αἰτῆσαι πολλάκι φειδομένη.
τοιαύτην στέργοιμι Φιλαίνιον, ἄχρις ἂν εὕρω
ἄλλην, ὦ χρυσέη Κύπρι, τελειοτέρην.

## 122. ΔΙΟΔΩΡΟΥ.

Μή σύ γε, μηδ᾽ εἴ τοι πολὺ φέρτερος εἴδει᾽ ἀπ᾽ ὄσσων
ἀμφοτέρων κλεινοῦ, κοῦρε, Μεγιστοκλέους,
κἢν στίλβῃ Χαρίτεσσι λελουμένος, ἀμφιδονοίης
τὸν καλόν· οὐ γὰρ ὁ παῖς ἤπιος οὐδ᾽ ἄκακος

*ἀλλὰ μέλων πολλοῖσι, καὶ οὐκ ἀδίδακτος ἐρώτων.*
*τὴν φλόγα ῥιπίζειν δείδιθι, δαιμόνιε.*

## 123. ΦΙΛΟΔΗΜΟΥ.

*Νυκτερινή, δίκερως, φιλοπάννυχε, φαῖνε, Σελήνη,*
*φαῖνε, δι' εὐτρήτων βαλλομένη θυρίδων·*
*αὔγαζε χρυσέην Καλλίστιον· ἐς τὰ φιλεύντων*
*ἔργα κατοπτεύειν οὐ φθόνος ἀθανάτῃ.*
*ὀλβίζεις καὶ τήνδε καὶ ἡμέας, οἶδα, Σελήνη·*
*καὶ γὰρ σὴν ψυχὴν ἔφλεγεν Ἐνδυμίων.*

## 124. ΤΟΥ ΑΥΤΟΥ.

*Οὔπω σοι καλύκων γυμνὸν θέρος, οὐδὲ μελαίνει*
*βότρυς ὁ παρθενίους πρωτοβολῶν χάριτας.*
*ἀλλ' ἤδη θοὰ τόξα νέοι θήγουσιν Ἔρωτες,*
*Λυσιδίκη, καὶ πῦρ τύφεται ἐγκρύφιον.*
*φεύγωμεν δυςέρωτες, ἕως βέλος οὐκ ἐπὶ νευρῇ·*
*μάντις ἐγὼ μεγάλης αὐτίκα πυρκαϊῆς.*

## 125. ΒΑΣΣΟΥ.

*Οὐ μέλλω ῥεύσειν χρυσός ποτε· βοῦς δὲ γένοιτο*
*ἄλλος, χὠ μελίθρους κύκνος ἐπηόνιος.*
*Ζηνὶ φυλασσέσθω τάδε παίγνια· τῇ δὲ Κορίννῃ*
*τοὺς ὀβολοὺς δώσω τοὺς δύο, κοὐ πέτομαι.*

## 126. ΦΙΛΟΔΗΜΟΥ.

*Πέντε δίδωσιν ἑνὸς τῇ δεῖνα ὁ δεῖνα τάλαντα,*
*καὶ βινεῖ φρίσσων, καί, μὰ τόν, οὐδὲ καλήν·*
*πέντε δ' ἐγὼ δραχμὰς τῶν δώδεκα Λυσιανάσσῃ,*
*καὶ βινῶ πρὸς τῷ κρείσσονα καὶ φανερῶς.*

πάντως ἤ τοι ἐγὼ φρένας οὐκ ἔχω, ἢ τό γε λοιπὸν
τοὺς κείνου πελέκει δεῖ διδύμους ἀφελεῖν.

## 127. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Παρθένον Ἀλκίππην ἐφίλουν μέγα, καί ποτε πείσας
αὐτὴν λαθριδίως εἶχον ἐπὶ κλισίῃ.
ἀμφοτέρων δὲ στέρνον ἐπάλλετο, μή τις ἐπέλθῃ,
μή τις ἴδῃ τὰ πόθων κρυπτὰ περισσότερον.
μητέρα δ' οὐκ ἔλαθεν κείνης λάλον· ἀλλ' ἐσιδοῦσα
ἐξαπίνης, Ἑρμῆς κοινός, ἔφη, θύγατερ.

## 128. ΤΟΥ ΑΥΤΟΥ.

Στέρνα περὶ στέρνοις, μαστῷ δ' ἐπὶ μαστὸν ἐρείσας,
χείλεά τε γλυκεροῖς χείλεσι συμπιέσας
Ἀντιγόνης, καὶ χρῶτα λαβὼν πρὸς χρῶτα, τὰ λοιπὰ
σιγῶ, μάρτυς ἐφ' οἷς λύχνος ἐπεγράφετο.

## 129. ΑΥΤΟΜΕΔΟΝΤΟΣ.

Τὴν ἀπὸ τῆς Ἀσίης ὀρχηστρίδα, τὴν κακοτέχνοις
σχήμασιν ἐξ ἁπαλῶν κινυμένην ὀνύχων,
αἰνέω, οὐχ ὅτι πάντα παθαίνεται, οὐδ' ὅτι βάλλει
τὰς ἁπαλὰς ἁπαλῶς ὧδε καὶ ὧδε χέρας·
ἀλλ' ὅτι καὶ τρίβακον περὶ πάσσαλον ὀρχήσασθαι
οἶδε, καὶ οὐ φεύγει γηραλέας ῥυτίδας.
γλωττίζει, κνίζει, περιλαμβάνει· ἢν δ' ἐπιρίψῃ
τὸ σκέλος, ἐξ ᾅδου τὴν κορύνην ἀνάγει.

## 130. ΜΑΙΚΙΟΥ.

Τί στυγνή; τί δὲ ταῦτα κόμης εἰκαῖα, Φιλαινί,
σκύλματα, καὶ νοτερῶν σύγχυσις ὀμματίων;

μὴ τὸν ἐραστὴν εἶδες ἔχονθ' ὑποκόλπιον ἄλλην;
εἰπὸν ἐμοί· λύπης φάρμακ' ἐπιστάμεθα.
δακρύεις· οὐ φῆς δέ· μάτην ἀρνεῖσθ' ἐπιβάλλῃ·
ὀφθαλμοὶ γλώσσης ἀξιοπιστότεροι.

## 131. ΦΙΛΟΔΗΜΟΥ.

Ψαλμός, καὶ λαλιή, καὶ κωτίλον ὄμμα, καὶ ᾠδὴ
Ξανθίππης, καὶ πῦρ ἄρτι καταρχόμενον,
ὦ ψυχή, φλέξει σε· τὸ δ' ἐκ τίνος, ἢ πότε, καὶ πῶς,
οὐκ οἶδα· γνώσῃ, δύσμορε, τυφομένη.

## 132. ΤΟΥ ΑΥΤΟΥ.

Ὢ ποδός, ὢ κνήμης, ὢ τῶν ἀπόλωλα δικαίως
μηρῶν, ὢ γλουτῶν, ὢ κτενός, ὢ λαγόνων,
ὢ ὤμοιν, ὢ μαστῶν, ὢ τοῦ ῥαδινοῖο τραχήλου,
ὢ χειρῶν, ὢ τῶν μαίνομαι ὀμματίων,
ὢ κατατεχνοτάτου κινήματος, ὢ περιάλλων
γλωττισμῶν, ὢ τῶν θῦε με φωναρίων,
εἰ δ' ὀπικὴ καὶ φλωρά, καὶ οὐκ ᾄδουσα τὰ Σαπφοῦς.
καὶ Περσεὺς Ἰνδῆς ἠράσατ' Ἀνδρομέδης.

## 133. ΜΑΙΚΙΟΥ.

Ὤμοσ' ἐγώ, δύο νύκτας ἀφ' Ἡδυλίου, Κυθέρεια,
σὸν κράτος, ἡσυχάσειν· ὡς δοκέω δ', ἐγέλας,
τοὐμὸν ἐπισταμένη τάλανος κακόν· οὐ γὰρ ὑποίσω
τὴν ἑτέρην· ὅρκους δ' εἰς ἀνέμους τίθεμαι.
αἱροῦμαι δ' ἀσεβεῖν κείνης χάριν, ἢ τὰ σὰ τηρῶν
ὄργι', ἀποθνήσκειν, πότνι', ὑπ' εὐσεβίης.

Hosted by Google

## 134. ΠΟΣΙΔΙΠΠΟΥ.

Κεκροπὶ ῥαῖνε λάγυνε πολύδροσον ἰκμάδα Βάκχου,
ῥαῖνε, δροσιζέσθω συμβολικὴ πρόποσις.
σιγάσθω Ζήνων ὁ σοφὸς κύκνος, ἅ τε Κλεάνθους
μοῦσα· μέλοι δ᾽ ἡμῖν ὁ γλυκύπικρος Ἔρως.

## 135. ΑΔΗΛΟΝ.

Στρογγύλη, εὐτόρνευτε, μονούατε, μακροτράχηλε,
ὑψαύχην, στεινῷ φθεγγομένη στόματι,
Βάκχου καὶ Μουσέων ἱλαρὴ λάτρι καὶ Κυθερείης,
ἡδύγελως, τερπνὴ συμβολικῶν ταμίη,
τίφθ᾽ ὁπόταν νήφω μεθύεις σύ μοι, ἢν δὲ μεθυσθῶ,
ἐκνήφεις; ἀδικεῖς συμποτικὴν φιλίην.

## 136. ΜΕΛΕΑΓΡΟΥ.

Ἔγχει, καὶ πάλιν εἰπέ, πάλιν, πάλιν, Ἡλιοδώρας·
εἰπέ, σὺν ἀκρήτῳ τὸ γλυκὺ μίσγ᾽ ὄνομα.
καί μοι τὸν βρεχθέντα μύροις καὶ χθιζὸν ἐόντα,
μναμόσυνον κείνας, ἀμφιτίθει στέφανον.
δακρύει φιλέραστον ἰδοὺ ῥόδον, οὕνεκα κείναν
ἄλλοθι, κοὐ κόλποις ἡμετέροις ἐσορᾷ.

## 137. ΤΟΥ ΑΥΤΟΥ.

Εγχει τᾶς Πειθοῦς καὶ Κύπριδος Ἡλιοδώρας,
καὶ πάλι τᾶς αὐτᾶς ἁδυλόγου Χάριτος.
αὐτὰ γάρ μί᾽ ἐμοὶ γράφεται θεός, ἇς τὸ ποθεινὸν
οὔνομ᾽ ἐν ἀκρήτῳ συγκεράσας πίομαι.

## 138. ΔΙΟΣΚΟΡΙΔΟΥ.

Ἵππον Ἀθήνιον ᾖσεν ἐμοὶ κακόν· ἐν πυρὶ πᾶσα
Ἴλιος ἦν, κἀγὼ κείνῃ ἅμ᾽ ἐφλεγόμαν,

οὐδενίσας Δαναῶν δεκέτη πόνον· ἐν δ᾽ ἑνὶ φέγγει
τῷ τότε, καὶ Τρῶες κἀγὼ ἀπωλόμεθα.

## 139. ΜΕΛΕΑΓΡΟΥ.

Ἁδὺ μέλος, ναὶ Πᾶνα τὸν Ἀρκάδα, πηκτίδι μέλπεις,
Ζηνοφίλα, λιγίαν, ἁδὺ κρέκεις τι μέλος.
ποῖ σε φύγω; πάντη με περιστείχουσιν Ἔρωτες,
οὐ δ᾽ ὅσον ἀμπνεῦσαι βαιὸν ἐῶσι χρόνον.
ἢ γάρ μοι μορφὰ βάλλει πόθον, ἢ πάλι μοῦσα,
ἢ χάρις, ἢ... τί λέγω; πάντα· πυρὶ φλέγομαι.

## 140. ΤΟΥ ΑΥΤΟΥ.

Ἡδυμελεῖς Μοῦσαι σὺν πηκτίδι, καὶ λόγος ἔμφρων
σὺν Πειθοῖ, καὶ Ἔρως καλὸς ἐφ᾽ ἡνιόχῳ,
Ζηνοφίλα, σοὶ σκῆπτρα Πόθων ἀπένειμαν, ἐπεί σο
αἱ τρισσαὶ Χάριτες τρεῖς ἔδοσαν χάριτας.

## 141. (ΜΕΛΕΑΓΡΟΥ.)

Ναὶ τὸν Ἔρωτα, θέλω τὸ παρ᾽ οὔασιν Ἡλιοδώρα
φθέγμα κλύειν, ἢ τᾶς Λατοΐδεω κιθάρας.

## 142. ΑΔΗΛΟΝ.

Τίς, ῥόδον ὁ στέφανος Διονυσίου, ἢ ῥόδον αὐτὸς
τοῦ στεφάνου; δοκέω, λείπεται ὁ στέφανος.

## 143. (ΜΕΛΕΑΓΡΟΥ.)

Ὁ στέφανος περὶ κρατὶ μαραίνεται Ἡλιοδώρας·
αὐτὴ δ᾽ ἐκλάμπει τοῦ στεφάνου στέφανος.

## 144. ΤΟΥ ΑΥΤΟΥ.

Ἤδη λευκόϊον θάλλει, θάλλει δὲ φίλομβρος
νάρκισσος, θάλλει δ᾽ οὐρεσίφοιτα κρίνα.

Hosted by Google

ἤδη δ' ἡ φιλέραστος, ἐν ἄνθεσιν ὥριμον ἄνθος,
Ζηνοφίλα Πειθοῦς ἡδὺ τέθηλε ῥόδον.
λειμῶνες, τί μάταια κόμαις ἔπι φαιδρὰ γελᾶτε;
ἁ γὰρ παῖς κρέσσων ἁδυπνόων στεφάνων.

## 145. ΑΣΚΛΗΠΙΑΔΟΥ.

Αὐτοῦ μοι στέφανοι παρὰ δικλίσι ταῖσδε κρεμαστοὶ
μίμνετε, μὴ προπετῶς φύλλα τινασσόμενοι,
οὓς δακρύοις κατέβρεξα· κάτομβρα γὰρ ὄμματ' ἐρώντων·
ἀλλ' ὅτ' ἀνοιγομένης αὐτὸν ἴδητε θύρης,
στάξαθ' ὑπὲρ κεφαλῆς ἐμὸν ὑετόν, ὡς ἂν ἄμεινον
ἡ ξανθή γε κόμη τἀμὰ πίῃ δάκρυα.

## 146. ΚΑΛΛΙΜΑΧΟΥ.

Τέσσαρες αἱ Χάριτες· ποτὶ γὰρ μία ταῖς τρισὶ κείναις
ἄρτι ποτεπλάσθη, κἤτι μύροισι νοτεῖ
εὐαίων ἐν πᾶσιν ἀρίζαλος Βερενίκα,
ἇς ἄτερ οὐδ' αὐταὶ καὶ Χάριτες Χάριτες.

## 147. ΜΕΛΕΑΓΡΟΥ.

Πλέξω λευκόϊον, πλέξω δ' ἁπαλὴν ἅμα μύρτοις
νάρκισσον, πλέξω καὶ τὰ γελῶντα κρίνα,
πλέξω καὶ κρόκον ἡδύν· ἐπιπλέξω δ' ὑάκινθον
πορφυρέην, πλέξω καὶ φιλέραστα ῥόδα,
ὡς ἂν ἐπὶ κροτάφοις μυροβοστρύχου Ἡλιοδώρας
εὐπλόκαμον χαίτην ἀνθοβολῇ στέφανος.

## 148. ΤΟΥ ΑΥΤΟΥ.

Φαμί ποτ' ἐν μύθοις τὰν εὔλαλον Ἡλιοδώραν
νικάσειν αὐτὰς τὰς Χάριτας χάρισιν.

Hosted by Google

## 149. ΤΟΥ ΑΥΤΟΥ.

Τίς μοι Ζηνοφίλαν λαλίαν παρέδειξεν ἑταίραν;
τίς μίαν ἐκ τρισσῶν ἤγαγέ μοι Χάριτα;
ἦ ῥ' ἐτύμως ὡνὴρ κεχαρισμένον ἄνυσεν ἔργον
δῶρα διδούς, καὐτὰν τὰν Χάριν ἐν χάριτι.

## 150. ΑΣΚΛΗΠΙΑΔΟΥ.

Ὡμολόγησ' ἥξειν εἰς νύκτα μοι ἡ 'πιβόητος
Νικώ, καὶ σεμνὴν ὤμοσε Θεσμοφόρον·
κοὐχ ἥκει, φυλακὴ δὲ παροίχεται. ἆρ' ἐπιορκεῖν
ἤθελε; τὸν λύχνον, παῖδες, ἀποσβέσατε.

## 151. ΜΕΛΕΑΓΡΟΥ.

Ὀξυβόαι κώνωπες, ἀναιδέες, αἵματος ἀνδρῶν
σίφωνες, νυκτὸς κνώδαλα διπτέρυγα,
βαιὸν Ζηνοφίλαν, λίτομαι, πάρεθ' ἥσυχον ὕπνον
εὕδειν, τἀμὰ δ' ἰδοὺ σαρκοφαγεῖτε μέλη.
καίτοι πρὸς τί μάτην αὐδῶ; καὶ θῆρες ἄτεγκτοι
τέρπονται τρυφερῷ χρωτὶ χλιαινόμενοι.
ἀλλ' ἔτι νῦν προλέγω, κακὰ θρέμματα, λήγετε τόλμης
ἢ γνώσεσθε χερῶν ζηλοτύπων δύναμιν.

## 152. ΤΟΥ ΑΥΤΟΥ.

Πταίης μοι κώνωψ ταχὺς ἄγγελος, οὔασι δ' ἄκροις
Ζηνοφίλας ψαύσας προσψιθύριζε τάδε·
Ἄγρυπνος μίμνει σε· σὺ δ' ὦ λήθαργε φιλούντων
εὕδεις. εἶα, πέτευ· ναί, φιλόμουσε, πέτευ.
ἥσυχα δὲ φθέγξαι, μὴ καὶ σύγκοιτον ἐγείρας
κινήσῃς ἐπ' ἐμοὶ ζηλοτύπους ὀδύνας.

ην δ' ἀγάγῃς τὴν παῖδα, δοραῖς στέψω σε λέοντος,
κώνωψ, καὶ δώσω χειρὶ φέρειν ῥόπαλον.

153. ΑΣΚΛΗΠΙΑΔΟΥ.

Νικαρέτης τὸ Πόθοισι βεβλημένον ἡδὺ πρόσωπον,
πυκνὰ δι' ὑψιλόφων φαινόμενον θυρίδων,
αἱ χαροπαὶ Κλεοφῶντος ἐπὶ προθύροις ἐμάραναν,
Κύπρι φίλη, γλυκεροῦ βλέμματος ἀστεροπαί.

154. ΜΕΛΕΑΓΡΟΥ.

Ναὶ τὰν νηξαμέναν χαροποῖς ἐνὶ κύμασι Κύπριν,
ἔστι καὶ ἐκ μορφᾶς ἁ Τρυφέρα τρυφερά.

155. ΤΟΥ ΑΥΤΟΥ.

Ἐντὸς ἐμῆς κραδίης τὴν εὔλαλον Ἡλιοδώραν
ψυχὴν τῆς ψυχῆς αὐτὸς ἔπλασσεν Ἔρως.

156. ΤΟΥ ΑΥΤΟΥ.

Α φίλερως χαροποῖς Ἀσκληπιὰς οἷα Γαλήνης
ὄμμασι συμπείθει πάντας ἐρωτοπλοεῖν.

157. ΤΟΥ ΑΥΤΟΥ.

Τρηχὺς ὄνυξ ὑπ' Ἔρωτος ἀνέτραφες Ἡλιοδώρας·
ταύτης γὰρ δύνει κνίσμα καὶ εἰς κραδίην.

158. ΑΣΚΛΗΠΙΑΔΟΥ.

Ερμιόνῃ πιθανῇ ποτ' ἐγὼ συνέπαιζον, ἐχούσῃ
ζωνίον ἐξ ἀνθέων ποικίλον, ὦ Παφίη,
χρύσεα γράμματ' ἔχον· διόλου δ' ἐγέγραπτο· φίλει με,
καὶ μὴ λυπηθῇς, ἤν τις ἔχῃ μ' ἕτερος.

159. ΣΙΜΩΝΙΔΟΥ.

Βοίδιον ἡ 'υλητρὶς καὶ Πυθιάς, αἵ ποτ' ἐρασταί,
σοί, Κύπρι, τὰς ζώνας τάς τε γραφὰς ἔθεσαν.

ἔμπορε καὶ φορτηγέ, τὸ σὸν βαλλάντιον οἶδεν,
καὶ πόθεν αἱ ζῶναι, καὶ πόθεν οἱ πίνακες.

### 160. ΜΕΛΕΑΓΡΟΥ.

Δημὼ λευκοπάρειε, σὲ μέν τις ἔχων ὑπὸ χρῶτα
τέρπεται· ἁ δ᾽ ἐν ἐμοὶ νῦν στενάχει κραδία.
εἰ δέ σε σαββατικὸς κατέχει πόθος, οὐ μέγα θαῦμα·
ἔστι καὶ ἐν ψυχροῖς σάββασι θερμὸς Ἔρως.

### 161. ΗΔΥΛΟΥ οἱ δὲ ΑΣΚΛΗΠΙΑΔΟΥ.

Εὐφρὼ καὶ Θαῒς καὶ Βοίδιον, αἱ Διομήδους
γραῖαι, ναυκλήρων ὁλκάδες εἰκόσοροι,
Ἄγιν, καὶ Κλεοφῶντα, καὶ Ἀνταγόρην, ἕν᾽ ἑκάστη,
γυμνούς, ναυηγῶν ἥσσονας, ἐξέβαλον.
ἀλλὰ σὺν αὐταῖς νηυσὶ τὰ ληστρικὰ τῆς Ἀφροδίτης
φεύγετε· Σειρήνων αἵδε γὰρ ἐχθρότεραι.

### 162. ΑΣΚΛΗΠΙΑΔΟΥ.

Ἡ λαμυρή μ᾽ ἔτρωσε Φιλαίνιον· εἰ δὲ τὸ τραῦμα
μὴ σαφές, ἀλλ᾽ ὁ πόνος δύεται εἰς ὄνυχα.
οἴχομ᾽, Ἔρωτες, ὄλωλα, διοίχομαι· εἰς γὰρ ἑταίραν
νυστάζων ἐπέβην, ἤδ᾽ ἔθιγέν τ᾽ Ἀίδα.

### 163. ΜΕΛΕΑΓΡΟΥ.

Ἀνθοδίαιτε μέλισσα, τί μοι χροὸς Ἡλιοδώρας
ψαύεις, ἐκπρολιποῦσ᾽ εἰαρινὰς κάλυκας;
ἢ σύ γε μηνύεις ὅτι καὶ γλυκὺ καὶ δυςύποιστον
πικρὸν ἀεὶ κραδίᾳ κέντρον Ἔρωτος ἔχει;
ναὶ δοκέω, τοῦτ᾽ εἶπας· ἰώ, φιλέραστε, παλίμπους
στεῖχε· πάλαι τὴν σὴν οἴδαμεν ἀγγελίην.

Hosted by Google

### 164. ΑΣΚΛΗΠΙΑΔΟΥ.

Νύξ, σὲ γάρ, οὐκ ἄλλην μαρτύρομαι, οἷά μ᾽ ὑβρίζει
 Πυθιὰς ἡ Νικοῦς, οὖσα φίλ᾽ ἐξ ἀπάτης.
κληθείς, οὐκ ἄκλητος ἐλήλυθα· ταὐτὰ παθοῦσα
 σοὶ μέμψαιτ᾽ ἐπ᾽ ἐμοῖς στᾶσα παρὰ προθύροις.

### 165. ΜΕΛΕΑΓΡΟΥ.

Ἓν τόδε, παμμήτειρα θεῶν, λίτομαι σέ, φίλη Νύξ,
 ναὶ λίτομαι, κώμων σύμπλανε, πότνια Νύξ,
εἴ τις ὑπὸ χλαίνῃ βεβλημένος Ἡλιοδώρας
 θάλπεται, ὑπναπάτῃ χρωτὶ χλιαινόμενος,
κοιμάσθω μὲν λύχνος· ὁ δ᾽ ἐν κόλποισιν ἐκείνης
 ῥιπτασθεὶς κείσθω δεύτερος Ἐνδυμίων.

### 166. ΤΟΥ ΑΥΤΟΥ.

Ὦ Νύξ, ὦ φιλάγρυπνος ἐμοὶ πόθος Ἡλιοδώρας,
 καὶ σκολιῶν ὄρθρων κνίσματα δακρυχαρῆ,
ἆρα μένει στοργῆς ἐμὰ λείψανα, καὶ τὸ φίλημα,
 μνημόσυνον ψυχρᾷ θάλπετ᾽ ἐν εἰκασίᾳ;
ἆρά γ᾽ ἔχει σύγκοιτα τὰ δάκρυα, κἀμὸν ὄνειρον
 ψυχαπάτην στέρνοις ἀμφιβαλοῦσα φιλεῖ;
ἢ νέος ἄλλος ἔρως, νέα παίγνια; μήποτε, λύχνε,
 ταῦτ᾽ ἐσίδῃς, εἴης δ᾽ ἧς παρέδωκα φύλας.

### 167. ΑΣΚΛΗΠΙΑΔΟΥ.

Ὑετὸς ἦν καὶ νύξ, καὶ τὸ τρίτον ἄλγος ἔρωτι,
 οἶνος, καὶ Βορέης ψυχρός, ἐγὼ δὲ μόνος.
ἀλλ᾽ ὁ καλὸς μόσχος πλέον ἴσχυε· καὶ σὺ γὰρ οὕτως
 ἤλυθες, οὐδὲ θύρην πρὸς μίαν ἡσύχασας —
τῇδε τοσοῦτ᾽ ἐβόησα βεβρεγμένος· — ἄχρι τίνος, Ζεῦ;
 Ζεῦ φίλε, σίγησον, καὐτὸς ἐρᾶν ἔμαθες.

## 168. ΑΔΗΛΟΝ.

*Καὶ πυρὶ καὶ νιφετῷ με, καί, εἰ βούλοιο, κεραυνῷ*
*βάλλε, καὶ εἰς κρημνοὺς ἕλκε καὶ εἰς πελάγη.*
*τὸν γὰρ ἀπαυδήσαντα πόνοις, καὶ Ἔρωτι δαμέντα*
*οὐδὲ Διὸς τρύχει πῦρ ἐπιβαλλόμενον.*

## 169. ΑΣΚΛΗΠΙΑΔΟΥ.

*Ἡδὺ θέρους διψῶντι χιὼν ποτόν, ἡδὺ δὲ ναύταις*
*ἐκ χειμῶνος ἰδεῖν εἰαρινὸν στέφανον·*
*ἥδιστον δ᾽ ὁπόταν κρύψῃ μία τοὺς φιλέοντας*
*χλαῖνα, καὶ αἰνῆται Κύπρις ὑπ᾽ ἀμφοτέρων.*

## 170. ΝΟΣΣΙΔΟΣ.

*Ἅδιον οὐδὲν ἔρωτος, ἃ δ᾽ ὄλβια, δεύτερα πάντα*
*ἐστίν· ἀπὸ στόματος δ᾽ ἔπτυσα καὶ τὸ μέλι.*
*τοῦτο λέγει Νοσσίς, τινὰ δ᾽ ἁ Κύπρις οὐκ ἐφίλασεν,*
*οὐκ οἶδεν κήνας ἄνθεα ποῖα ῥόδα.*

## 171. ΜΕΛΕΑΓΡΟΥ.

*Τὸ σκύφος ἡδὺ γέγηθε· λέγει δ᾽ ὅτι τᾶς φιλέρωτος*
*Ζηνοφίλας ψαύει τοῦ λαλίου στόματος.*
*ὄλβιον· εἴθ᾽ ὑπ᾽ ἐμοῖς νῦν χείλεσι χείλεα θεῖσα*
*ἀπνευστὶ ψυχὰν τὰν ἐν ἐμοὶ προπίοι.*

## 172. ΤΟΥ ΑΥΤΟΥ.

*Ὄρθρε, τί μοι, δυςέραστε, ταχὺς περὶ κοῖτον ἐπέστης,*
*ἄρτι φίλας, Δημοῦς χρωτὶ χλιαινομένῳ;*
*εἴθε πάλιν στρέψας ταχινὸν δρόμον Ἕσπερος εἴης·*
*ὦ γλυκὺ φῶς βάλλων εἰς ἐμὲ πικρότατον.*
*ἤδη γὰρ καὶ πρόσθεν ἐπ᾽ Ἀλκμήνην Διὸς ἦλθες*
*ἀντίος· οὐκ ἀδαὴς ἐσσὶ παλινδρομίης.*

Hosted by Google

## 173. ΤΟΥ ΑΥΤΟΥ.

Ὄρθρε, τί νῦν, δυςέραστε, βραδὺς περὶ κόσμον ἑλίσσῃ
 ἄλλος ἐπεὶ Δημοῦς θάλπεθ' ὑπὸ χλανίδι;
ἀλλ' ὅτε τὰν ῥαδινὰν κόλποις ἔχον, ὠκὺς ἐπέστης,
 ὡς βάλλων ἐπ' ἐμοὶ φῶς ἐπιχαιρέκακον.

## 174. ΤΟΥ ΑΥΤΟΥ.

Εὕδεις, Ζηνοφίλα, τρυφερὸν θάλος· εἴθ' ἐπὶ σοὶ νῦν
 ἄπτερος εἰςήειν ὕπνος ἐπὶ βλεφάροις,
ὡς ἐπὶ σοὶ μηδ' οὗτος, ὁ καὶ Διὸς ὄμματα θέλγων,
 φοιτήσαι, κάτεχον δ' αὐτὸς ἐγώ σε μόνος.

## 175. ΤΟΥ ΑΥΤΟΥ.

Οἶδ', ὅτι μοι κενὸς ὅρκος, ἐπεί σέ γε τὴν φιλάσωτον
 μηνύει μυρόπνους ἀρτιβρεχὴς πλόκαμος.
μηνύει ἄγρυπνον μὲν ἰδοὺ βεβαρημένον ὄμμα,
 καὶ σφιγκτὸς στεφάνων ἀμφὶ κόμαισι μίτος.
ἔσκυλται δ' ἀκόλαστα πεφυρμένος ἄρτι κίκιννος,
 πάντα δ' ὑπ' ἀκρήτου γυῖα σαλευτὰ φορεῖς.
ἔῤῥε, γύναι πάγκοινε, καλεῖ σε γὰρ ἡ φιλόκωμος
 πηκτίς, καὶ κροτάλων χειροτυπὴς πάταγος.

## 176. ΤΟΥ ΑΥΤΟΥ.

Δεινὸς Ἔρως, δεινός. τί δὲ τὸ πλέον, ἢν πάλιν εἴπω,
 καὶ πάλιν, οἰμώζων πολλάκι, δεινὸς Ἔρως;
ἦ γὰρ ὁ παῖς τούτοισι γελᾷ, καὶ πυκνὰ κακισθεὶς
 ἥδεται· ἢν δ' εἴπω λοίδορα, καὶ τρέφεται.
θαῦμα δέ μοι, πῶς ἆρα διὰ γλαυκοῖο φανεῖσα
 κύματος, ἐξ ὑγροῦ, Κύπρι, σὺ πῦρ τέτοκας.

## 177. ΤΟΥ ΑΥΤΟΥ.

Κηρυσσω τὸν Ἔρωτα, τὸν ἄγριον· ἄρτι γὰρ ἄρτι
ὀρθρινὸς ἐκ κοίτας ᾤχετ' ἀποπτάμενος.
ἔστι δ' ὁ παῖς γλυκύδακρυς, ἀείλαλος, ὠκύς, ἀθαμβής,
σιμὰ γελῶν, πτερόεις νῶτα, φαρετροφόρος.
πατρὸς δ' οὐκέτ' ἔχω φράζειν τίνος· οὔτε γὰρ Αἰθήρ,
οὐ Χθών φησι τεκεῖν τὸν θρασύν, οὐ Πέλαγος.
πάντη γὰρ καὶ πᾶσιν ἀπέχθεται. ἀλλ' ἐσορᾶτε
μή που νῦν ψυχαῖς ἄλλα τίθησι λίνα.
καίτοι κεῖνος, ἰδού, περὶ φωλεόν. οὔ με λέληθας,
τοξότα, Ζηνοφίλας ὄμμασι κρυπτόμενος.

## 178. ΤΟΥ ΑΥΤΟΥ.

Πωλείσθω, καὶ ματρὸς ἔτ' ἐν κόλποισι καθεύδων·
πωλείσθω. τί δ' ἐμοὶ τὸ θρασὺ τοῦτο τρέφειν;
καὶ γὰρ σιμὸν ἔφυ καὶ ὑπόπτερον· ἄκρα δ' ὄνυξιν
κνίζει· καὶ κλαῖον πολλὰ μεταξὺ γελᾷ.
πρὸς δ' ἔτι λοιπὸν ἄτρεπτον, ἀείλαλον, ὀξὺ δεδορκός,
ἄγριον οὐδ' αὐτῇ μητρὶ φίλῃ τιθασόν·
πάντα τέρας. τοίγαρ πεπράσεται. εἴ τις ἀπόπλους
ἔμπορος ὠνεῖσθαι παῖδα θέλει, προςίτω.
καίτοι λίσσετ', ἰδού, δεδακρυμένος. οὔ σ' ἔτι πωλῶ·
θάρσει· Ζηνοφίλᾳ σύντροφος ὧδε μένε.

## 179. ΤΟΥ ΑΥΤΟΥ.

Ναὶ τὰν Κύπριν, Ἔρως, φλέξω τὰ σὰ πάντα πυρώσας,
τόξα τε καὶ Σκυθικὴν ἰοδόκον φαρέτρην.
φλέξω, ναί. τί μάταια γελᾷς, καὶ σιμὰ σεσηρὼς
μυχθίζεις; τάχα που σαρδάνιον γελάσεις.

ἦ γάρ σευ τὰ ποδηγὰ Πόθων ὠκύπτερα κόψας,
  χαλκόδετον σφιγξω σοῖς περὶ ποσσὶ πέδην.
καίτοι Καδμεῖον κράτος οἴσομεν, εἴ σε πάροικον
  ψυχῇ συζεύξω, λύγκα παρ' αἰπολίοις.
ἀλλ' ἴθι δυςνίκητε, λαβὼν δ' ἔπι κοῦφα πέδιλα
  ἐκπέτασον ταχινὰς εἰς ἑτέρους πτέρυγας.

## 180. ΤΟΥ ΑΥΤΟΥ.

Τί ξένον, εἰ βροτολοιγὸς Ἔρως τὰ πυρίπνοα τόξα
  βάλλει, καὶ λαμυροῖς ὄμμασι πικρὰ γελᾷ;
οὐ μάτηρ στέργει μὲν Ἄρη, γαμέτις δὲ τέτυκται
  Ἁφαίστου, κοινὰ καὶ πυρὶ καὶ ξίφεσιν;
ματρὸς δ' οὐ μάτηρ ἀνέμων μάστιξι Θάλασσα
  τραχὺ βοᾷ; γενέτας δ' οὔτε τις, οὔτε τινός.
τοὔνεκεν Ἁφαίστου μὲν ἔχεις φλόγα, κύμασι δ' ὀργὰν
  στέρξεν ἴσαν, Ἄρεως δ' αἱματόφυρτα βέλη.

## 181. ΑΣΚΛΗΠΙΑΔΟΥ.

Τῶν καρίων ἡμῖν λάβε * κωλάκας· ἀλλὰ πόθ' ἥξει,
  καὶ πέντε στεφάνους, τῶν ῥοδίνων * τε τύπαξ.
οὐ φῄς κέρματ' ἔχειν; διολώλαμεν. οὐ τροχιεῖ τις
  τὸν Λαπίθην; λῃστήν, οὐ θεράποντ' ἔχομεν.
οὐκ ἀδικεῖς; οὐδέν; — φέρε τὸν λόγον. ἐλθὲ λαβοῦσα,
  Φρύνη, τὰς ψήφους. ὢ μεγάλου κινάδους.
πέντ' οἶνος δραχμῶν· ἄλλος δύο . . . .
  * ὦτα λέγεις. σκόμβροις θέσμυκες χάδονες. *
αὔριον αὐτὰ καλῶς λογιούμεθα· νῦν δὲ πρὸς Αἴσχραν
  τὴν μυρόπωλιν ἰών, πέντε λάβ' ἀργυρέας.
εἰπὲ δὲ σημεῖον, Βακχῶν ὅτι πέντ' ἐφίλησεν
  ἑξῆς, ὧν κλίνη μάρτυς ἐπεγράφετο.

## V ΕΡΩΤΙΚΑ.

### 182. ΜΕΛΕΑΓΡΟΥ.

Ἄγγειλον τάδε, Δορκάς· ἰδοὺ πάλι δεύτερον αὐτῇ
καὶ τρίτον ἄγγειλον, Δορκάς, ἅπαντα· τρέχε.
μηκέτι μέλλε, πέτου — βραχύ μοι, βραχύ, Δορκάς ἐπίσχες.
Δορκάς, ποῖ σπεύδεις, πρίν σε τὰ πάντα μαθεῖν
πρόσθες δ' οἷς εἴρηκα πάλαι — μᾶλλον δ' ἔτι ληρῶ
μηδὲν ὅλως εἴπῃς — ἀλλ' ὅτι — πάντα λέγε·
μὴ φείδου * τὰ πάντα λέγε * — καίτοι τί σέ, Δορκάς,
ἐκπέμπω, σὺν σοὶ καὐτός, ἰδού, προάγων.

### 183. ΠΟΣΕΙΔΙΠΠΟΥ.

Τέσσαρες οἱ πίνοντες, ἐρωμένη ἔρχεθ' ἑκάστῳ·
ὀκτὼ γιγνομένοις ἓν Χίον οὐχ ἱκανόν.
παιδάριον, βαδίσας πρὸς Ἀρίστιον, εἰπὲ τὸ πρῶτον
ἡμιδεὲς πέμψαι· χοῦς γὰρ ἔνεισι δύο
ἀσφαλέως· οἶμαι δ' ὅτι καὶ πλέον. ἀλλὰ τρόχαζε·
ὥρας γὰρ πέμπτης πάντες ἀθροιζόμεθα.

### 184. ΜΕΛΕΑΓΡΟΥ.

Ἔγνων, οὔ μ' ἔλαθες· τί θεούς; οὐ γάρ με λέληθας·
ἔγνων· μηκέτι νῦν ὄμνυε· πάντ' ἔμαθον·
ταῦτ' ἦν, ταῦτ', ἐπίορκε; μόνη σὺ πάλιν, μόνη ὑπνοῖς;
ὦ τόλμης; καὶ νῦν, νῦν ἔτι φησί, μόνη.
οὐχ ὁ περίβλεπτος * ἔκλαιον; κἂν μή .... τί δ' ἀπειλῶ;
ἔῤῥε, κακὸν κοίτης θηρίον, ἔῤῥε τάχος.
καίτοι σοι δώσω τερπνὴν χάριν· οἶδ' ὅτι βούλει
κεῖνον ὁρᾶν· αὐτοῦ δέσμιος ὧδε μένε.

G 2

Hosted by Google

## 185. ΑΣΚΛΗΠΙΑΔΟΥ.

Εἰς ἀγορὰν βαδίσας, Δημήτριε, τρεῖς παρ' Ἀμύντου
 γλαυκίσκους αἴτει, καὶ δέκα φυκίδια,
καὶ κυφὰς καρῖδας (ἀριθμήσει δέ σοι αὐτός)
 εἴκοσι καὶ τέτορας δεῦρο λαβὼν ἄπιθι.
καὶ παρὰ Θαυβορίου ῥοδίνους ἓξ πρόςλαβε . . .
 καὶ Τρυφέραν ταχέως ἐν παρόδῳ κάλεσον.

## 186. ΠΟΣΕΙΔΙΠΠΟΥ.

Μή με δόκει πιθανοῖς ἀπατᾷν δάκρυσσι, Φιλαινί,
 οἶδα, φιλεῖς γὰρ ὅλως οὐδένα μεῖζον ἐμοῦ,
τοῦτον ὅσον παρ' ἐμοὶ κέκλισαι χρόνον· εἰ δ' ἕτερός σε
 εἶχε, φιλεῖν ἂν ἔφην μεῖζον ἐκεῖνον ἐμοῦ.

## 187. ΜΕΛΕΑΓΡΟΥ.

Εἰπὲ Λυκαινίδι Δορκάς· ἴδ' ὡς ἐπίκτητα φιλοῦσα
 ἥλως· οὐ κρύπτει πλαστὸν ἔρωτα χρόνος.

## 188. ΛΕΩΝΙΔΟΥ.

Οὐκ ἀδικέω τὸν Ἔρωτα. γλυκύς· μαρτύρομαι αὐτὴν
 Κύπριν· βέβλημαι δ' ἐκ δολίου κέραος,
καὶ πᾶς τεφροῦμαι· θερμὸν δ' ἐπὶ θερμῷ ἰάλλει
 ἄτρακτον, λωφᾷ δ' οὐδ' ὅσον ἰοβολῶν.
* χὠ θνητὸς τὸν ἀλιτρὸν ἐσώκει· θνητὸς ὁ δαίμων·
 * τίσομαι· ἐγκλήμων δ' ἔσσομ' ἀλεξόμενος.

## 189. ΑΣΚΛΗΠΙΑΔΟΥ.

Νὺξ μακρὴ καὶ χεῖμα, μέσην δ' ἐπὶ Πλειάδα δύνει,
 κἀγὼ πὰρ προθύροις νείσσομαι ὑόμενος,
τρωθεὶς τῆς δολίης * κείνης πόθῳ· οὐ γὰρ ἔρωτα
 Κύπρις, ἀνιηρὸν δ' ἐκ πυρὸς ἧκε βέλος.

Hosted by Google

## 190. ΜΕΛΕΑΓΡΟΥ.

Κῦμα τὸ πικρὸν Ἔρωτος, ἀκοίμητοί τε πνέοντες
Ζῆλοι, καὶ κώμων χειμέριον πέλαγος·
ποῖ φέρομαι; πάντη δὲ φρενῶν οἴακες ἀφεῖνται.
ἦ πάλι τὴν τρυφερὴν Σκύλλαν ἐποψόμεθα;

## 191. ΤΟΥ ΑΥΤΟΥ.

Ἄστρα, καὶ ἡ φιλέρωσι καλὸν φαίνουσα Σελήνη,
καὶ Νὺξ, καὶ κώμων σύμπλανον ὀργάνιον,
ἆρά γε τὴν φιλάσωτον ἔτ' ἐν κοίταισιν ἀθρήσω
ἄγρυπνον, λύχνῳ πολλ' * ἀποδαομένην;
ἤ τιν' ἔχει σύγκοιτον; ἐπὶ προθύροισι μαράνας
δάκρυσιν ἐκδήσω τοὺς ἱκέτας στεφάνους,
ἓν τόδ' ἐπιγράψας· Κύπρι, σοὶ Μελέαγρος, ὁ μύστης
σῶν κώμων, στοργῆς σκῦλα τάδ' ἐκρέμασεν.

## 192. ΜΕΛΕΑΓΡΟΥ.

Γυμνὴν ἢν ἐςίδῃς ΚΑΛΛΙΣΤΙΟΝ, ὦ ξένε, φήσεις·
ἤλλακται διπλοῦν γράμμα Συρηκοσίων.

## 193. ΔΙΟΣΚΟΡΙΔΟΥ.

Ἡ τρυφερή μ' ἤγρευσε Κλεὼ τὰ γαλάκτιν', Ἄδωνι,
τῇ σῇ κοψαμένη στήθεα παννυχίδι.
εἰ δώσει κἀμοὶ ταύτην χάριν, ἢν ἀποπνεύσω,
μὴ πρόφασις, σύμπλουν σύν με λαβὼν ἀγέτω.

## 194. ΠΟΣΕΙΔΙΠΠΟΥ. ἢ ΑΣΚΛΗΠΙΑΔΟΥ.

Αὐτοὶ τὴν ἁπαλὴν Εἰρήνιον εἶδον Ἔρωτες,
Κύπριδος ἐκ χρυσέων ἐρχόμενοι θαλάμων,
ἐκ τριχὸς ἄχρι ποδῶν ἱερὸν θάλος, οἷά τε λύγδου

γλυπτὴν, παρθενίων βριθομένην χαρίτων.
καὶ πολλοὺς τότε χερσὶν ἐπ᾽ ἠϊθέοισιν ὀϊστοὺς
τόξου πορφυρέης ἧκαν ἀφ᾽ ἁρπεδόνης.

## 195. ΜΕΛΕΑΓΡΟΥ.

Αἱ τρισσαὶ Χάριτες τρισσὸν στεφάνωμα * συνεύνᾳ
Ζηνοφίλᾳ, τρισσᾶς σύμβολα καλλοσύνας·
ἁ μὲν ἐπὶ χρωτὸς θεμένα πόθον, ἁ δ᾽ ἐπὶ μορφᾶς
ἵμερον, ἁ δὲ λόγοις τὸ γλυκύμυθον ἔπος.
τρισσάκις εὐδαίμων, ἇς καὶ Κύπρις ὥπλισεν εὐνάν,
καὶ Πειθὼ μύθους, καὶ γλυκὺ κάλλος Ἔρως.

## 196. ΤΟΥ ΑΥΤΟΥ.

Ζηνοφίλᾳ κάλλος μὲν Ἔρως, σύγκοιτα δὲ φίλτρα
Κύπρις ἔδωκεν ἔχειν, αἱ Χάριτες δὲ χάριν.

## 197. ΤΟΥ ΑΥΤΟΥ.

Ναὶ μὰ τὸν εὐπλόκαμον Τιμοῦς φιλέρωτα κίκιννον,
ναὶ μυρόπνουν Δημοῦς χρῶτα τὸν ὑπναπάτην,
ναὶ πάλιν Ἰλιάδος φίλα παίγνια, ναὶ φιλάγρυπνον
λύχνον ἐμῶν κώμων πολλὰ πιόντα μέλη,
βαιὸν ἔχω τό γε λειφθέν, Ἔρως, ἐπὶ χείλεσι πνεῦμα·
εἰ δ᾽ ἐθέλεις καὶ τοῦτ᾽, εἰπέ, καὶ ἐκπτύσομαι.

## 198. ΤΟΥ ΑΥΤΟΥ.

Οὐ πλόκαμον Τιμοῦς, οὐ σάνδαλον Ἡλιοδώρας,
οὐ τὸ μυρόῤῥαντον Τιμαρίου πρόθυρον,
οὐ τρυφερὸν μείδημα βοώπιδος Ἀντικλείας,
οὐ τοὺς ἀρτιθαλεῖς Δωροθέας στεφάνους·
οὐκέτι σοὶ φαρέτρη [πρ..ω..εν] πτερόεντας ὀϊστους
κρύπτει, Ἔρως· ἐν ἐμοὶ πάντα γάρ ἐστι βέλη.

Hosted by Google

### 199. ΗΔΥΛΟΥ.

Οἶνος καὶ προπόσεις κατεκοίμισαν Ἀγλαονίκην
αἱ δόλιαι, καὶ ἔρως ἡδὺς ὁ Νικαγόρεω,
ἧς πάρα Κύπριδι ταῦτα μύροις ἔτι πάντα μυδῶντα
κεῖνται, παρθενίων ὑγρὰ λάφυρα πόθων,
σάνδαλα, καὶ μαλακαί, μαστῶν ἐκδύματα, μίτραι,
ὕπνου καὶ σκυλμῶν τῶν τότε μαρτύρια.

### 200. ΑΔΗΛΟΝ.

Ὁ κρόκος, οἵ τε μύροισιν ἔτι πνείοντες Ἀλεξοῦς
σὺν μίτραις κισσοῦ κυάνεοι στέφανοι
τῷ γλυκερῷ καὶ θῆλυ κατιλλώπτοντι Πριήπῳ
κεῖνται τῆς ἱερῆς ξείνια παννυχίδος.

### 201. ΑΔΗΛΟΝ.

Ηγρύπνησε Λεοντὶς ἕως πρὸς καλὸν ἑῷον
ἀστέρα, τῷ χρυσέῳ τερπομένη Σθενίῳ,
ἧς πάρα Κύπριδι τοῦτο τὸ σὺν Μούσαισι μεληθὲν
βάρβιτον ἐκ κείνης κεῖτ᾽ ἔτι παννυχίδος.

### 202. ΑΣΚΛΗΠΙΑΔΟΥ ἢ ΠΟΣΕΙΔΙΠΠΟΥ.

Πορφυρέην μάστιγα, καὶ ἡνία σιγαλόεντα
Πλαγγὼν εὐίππων θῆκεν ἐπὶ προθύρων,
νικήσασα κέλητι Φιλαινίδα τὴν πολύχαρμον,
ἑσπερινῶν πώλων ἄρτι φρυασσομένων.
Κύπρι φίλη, σὺ δὲ τῇδε πόροις νημερτέα νίκης
δόξαν, ἀείμνηστον τήνδ᾽ ἐπιθεῖσα χάριν.

### 203. ΑΣΚΛΗΠΙΑΔΟΥ.

Λυσιδίκη σοί, Κύπρι, τὸν ἱππαστῆρα μύωπα,
χρύσεον εὐκνήμου κέντρον ἔθηκε ποδός,

Hosted by Google

ᾧ πολὺν ὕπτιον ἵππον ἐγύμνασεν, οὐ δέ ποτ' αὐτῆς
μητρὸς ἐφοινίχθη κοῦφα τινασσομένης·
ἦν γὰρ ἀκέντητος τελεοδρόμος· οὕνεκεν ὅπλον
σοὶ κατὰ μεσσοπύλης χρύσεον ἐκρέμασεν.

## 204. ΜΕΛΕΑΓΡΟΥ.

Οὐκέτι Τιμάριον, τὸ πρὶν γλαφυροῖο κέλητος
πῆγμα, φέρει πλωτὸν Κύπριδος εἰρεσίην·
ἀλλ' ἐπὶ μὲν νώτοιο μετάφρενον, ὡς κέρας ἱστῷ,
κυρτοῦται, πολιὸς δ' ἐκλέλυται πρότονος.
ἱστία δ' αἰωρητὰ χαλᾷ σπαδονίσματα μαστῶν,
ἐκ δὲ σάλου στρεπτὰς γαστρὸς ἔχει ῥυτίδας.
νέρθε δὲ πάνθ' ὑπέραντλα νεώς, κοίλη δὲ θάλασσα
πλημμυρεῖ, γόνασιν δ' ἔντρομός ἐστι σάλος·
δύστανός τοι ζωὸς ἔτ' ὢν Ἀχερουσίδα λίμνην
πλεύσετ' ἄνωθ' ἐπιβὰς γραὸς ἐπ' εἰκοσόρῳ.

## 205. ΑΔΗΛΟΝ.

Ἴυγξ ἡ Νικοῦς, ἡ καὶ διαπόντιον ἕλκειν
ἄνδρα, καὶ ἐκ θαλάμων παῖδας ἐπισταμένη,
χρυσῷ * ποικίλλουσα, διαυγέος ἐξ ἀμεθύστου
γλυπτή, σοὶ κεῖται, Κύπρι, φίλον κτέανον,
πορφυρέης ἀμνοῦ μαλακῇ τριχὶ μέσσα δεθεῖσα,
τῆς Λαρισσαίης ξείνια φαρμακίδος.

## 206. ΛΕΩΝΙΔΟΥ.

Μηλὼ καὶ Σατύρη τανυήλικες, Ἀντιγενείδεω
παῖδες, καὶ Μουσέων εὔκολοι ἐργάτιδες·
Μηλὼ μὲν Μούσαις Πιμπληΐσι τοὺς ταχυχειλεῖς
αὐλοὺς καὶ ταύτην πύξινον αὐλοδόκην·

Hosted by Google

ἡ φίλερως Σατύρη δὲ τὸν ἕσπερον οἰνοποτήρων
σύγκωμον, κηρῷ τευξαμένη, δόνακα,
ἡδὺν συριστῆρα, σὺν ᾧ πανεπόρφνιος ἠῶ
ηὔγασεν αὐλείοις οὐ κοτέουσα θύραις.

### 207. ΑΣΚΛΗΠΙΑΔΟΥ.

Αἱ Σάμιαι Βιττὼ καὶ Νάννιον εἰς Ἀφροδίτης
φοιτᾶν τοῖς αὐτῆς οὐκ ἐθέλουσι νόμοις·
ἰς δ' ἕτερ' αὐτομολοῦσιν, ἃ μὴ καλά· δεσπότι Κύπρι,
μίσει τὰς κοίτης τῆς παρὰ σοὶ φυγάδας.

### 208. ΜΕΛΕΑΓΡΟΥ.

Οὔ μοι παιδομανὴς κραδία· τί δὲ τερπνόν, Ἔρωτες,
ἀνδροβατεῖν, εἰ μὴ δούς τι λαβεῖν ἐθέλοι;
ἁ χεὶρ γὰρ τὰν χεῖρα· καλὰ μένειν παράκοιτις
* εἶν πᾶς ἄρσην ἀρσενικαῖς λαβίσιν.

### 209. ΠΟΣΕΙΔΙΠΠΟΥ ἢ ΑΣΚΛΗΠΙΑΔΟΥ.

Ἐν Παφίῃ Κυθέρεια, παρ' ἠϊόν' εἶδε Κλέανδρος
Νικοῦς ἐν χαροποῖς κύμασι νηχομένης.
καιομένους δ' ὑπ' Ἔρωτος ἐνὶ φρεσὶν ἄνθρακας ὡ'νὴρ
ξηροὺς ἐκ νοτερῆς παιδὸς ἐπεσπάσατο.
χὠ μὲν ἐναυάγει γαίης ἔπι· τὴν δέ, θαλάσσης
ψαύουσαν, πρηεῖς εἴχοσαν αἰγιαλοί.
νῦν δ' ἴσος ἀμφοτέροις φιλίης πόθος· οὐκ ἀτελεῖς γὰρ
εὐχαί, τὰς κείνης εὔξατ' ἐπ' ἠϊόνος.

### 210. ΑΣΚΛΗΠΙΑΔΟΥ.

Τῷ θαλλῷ Διδύμη με συνήρπασεν· ὤ μοι, ἐγὼ δὲ
τήκομαι, ὡς κηρὸς πὰρ πυρί, κάλλος ὁρῶν.
εἰ δὲ μέλαινα, τί τοῦτο; καὶ ἄνθρακες· ἀλλ' ὅτε κείνους
θάλψωμεν, λάμπουσ' ὡς ῥόδεαι κάλυκες.

## 211. ΠΟΣΕΙΔΙΠΠΟΥ.

Δάκρυα καὶ κῶμοι, τί μ᾽ ἐγείρετε, πρὶν πόδας ἆραι
ἐκ πυρός, εἰς ἑτέρην Κύπριδος ἀνθρακιήν;
λήγω δ᾽ οὔ ποτ᾽ ἔρωτος· ἀεὶ δέ μοι ἐξ Ἀφροδίτης
ἄλγος ὁ μὴ κρίνων κοινὸν ἄγοντι πόθος.

## 212. ΜΕΛΕΑΓΡΟΥ.

Αἰεί μοι δύνει μὲν ἐν οὔασιν ἦχος Ἔρωτος,
ὄμμα δὲ σῖγα Πόθοις τὸ γλυκὺ δάκρυ φέρει.
οὐδ᾽ ἡ νύξ, οὐ φέγγος ἐκοίμισεν, ἀλλ᾽ ὑπὸ φίλτρων
ἤδη πού κραδίᾳ γνωστὸς ἔνεστι τύπος.
ὦ πτανοί, μὴ καί ποτ᾽ ἐφίπτασθαι μέν, Ἔρωτες,
οἴδατ᾽, ἀποπτῆναι δ᾽ οὐδ᾽ ὅσον ἰσχύετε;

## 213. ΠΟΣΕΙΔΙΠΠΟΥ.

Πυθιάς, εἰ μὲν ἔχεις τιν᾽, ἀπέρχομαι· εἰ δὲ καθεύδεις
ὧδε μόνη, μικρόν, πρὸς Διός, ἐκκάλεσαι·
εἰπὲ δὲ σημεῖον, μεθύων ὅτι καὶ διακλωπῶν
ἦλθεν, Ἔρωτι θρασεῖ χρώμενος ἡγεμόνι.

## 214. ΜΕΛΕΑΓΡΟΥ.

Σφαιριστὰν τὸν Ἔρωτα τρέφω· σοὶ δ᾽, Ἡλιοδώρα,
βάλλει τὰν ἐν ἐμοὶ παλλομέναν κραδίαν.
ἀλλ᾽ ἄγε συμπαίκταν δέξαι Πόθον· εἰ δ᾽ ἀπὸ σεῦ με
ῥίψαις, οὐκ οἴσω τὰν ἀπάλαιστρον ὕβριν.

## 215. ΤΟΥ ΑΥΤΟΥ.

Λίσσομ᾽, Ἔρως, τὸν ἄγρυπνον ἐμοὶ πόθον Ἡλιοδώρας
κοίμισον, αἰδεσθεὶς Μοῦσαν ἐμὴν ἱκέτιν.
καὶ γὰρ δὴ τὰ σὰ τόξα, τὰ μὴ δεδιδαγμένα βάλλειν
ἄλλον, ἀεὶ δ᾽ ἐπ᾽ ἐμοὶ πτηνὰ χέοντα βέλη,

Hosted by Google

εἰ καί με κτείναις, λείψω φωνὴν προϊέντα
γράμματ᾽· Ἔρωτος ὅρα, ξεῖνε, μιαιφονίην.

216. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Εἰ φιλέεις, μὴ πάμπαν ὑποκλασθέντα χαλάσσῃς
θυμὸν ὀλισθηρῆς ἔμπλεον ἱκεσίης.
ἀλλά τι καὶ φρονέοις στεγανώτερον, ὅσσον ἐρύσσαι
ὀφρύας, ὅσσον ἰδεῖν βλέμματι φειδομένῳ.
ἔργον γάρ τι γυναιξὶν ὑπερφιάλους ἀθερίζειν,
καὶ κατακαγχάζειν τῶν ἄγαν οἰκτροτάτων.
κεῖνος δ᾽ ἐστὶν ἄριστος ἐρωτικός, ὃς τάδε μίξει
οἶκτον ἔχων ὀλίγῃ ξυνὸν ἀγηνορίῃ.

217. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Χρύσεος ἀψαύστοιο διέτμαγεν ἅμμα κορείας
Ζεύς, διαδὺς Δανάας χαλκελάτους θαλάμους.
φαμὶ λέγειν τὸν μῦθον ἐγὼ τάδε· „χάλκεα νικᾷ
τείχεα καὶ δεσμοὺς χρυσὸς ὁ πανδαμάτωρ.“
χρυσὸς ὅλους ῥυτῆρας, ὅλας κληῖδας ἐλέγχει,
χρυσὸς ἐπιγνάπτει τὰς σοβαροβλεφάρους,
καὶ Δανάας ἐλύγωσεν ὅδε φρένα. μή τις ἐραστὰς
λισσέσθω Παφίαν, ἀργύριον παρέχων.

218. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Τὸν σοβαρὸν Πολέμωνα, τὸν ἐν θυμέλῃσι Μενάνδρου
κείραντα Γλυκέρας τῆς ἀλόχου πλοκάμους,
ὁπλότερος Πολέμων μιμήσατο, καὶ τὰ Ῥοδάνθης
βόστρυχα παντόλμοις χερσὶν ἐληΐσατο,
καὶ τραγικοῖς ἀχέεσσι τὸ κωμικὸν ἔργον ἀμείψας
μάστιξεν ῥαδινῆς ἅψεα θηλυτέρης.

*ζηλομανὲς τὸ κόλασμα· τί γὰρ τόσον ἤλιτε κούρη,*
*εἴ με κατοικτείρειν ἤθελε τειρόμενον;*
*σχέτλιος, ἀμφοτέρους δὲ διέτμαγε, μέχρι καὶ αὐτοὶ*
*βλέμματος ἐνστήσας αἴθοπα βασκανίην.*
*ἀλλ' ἔμπης τελέθει ΜΙΣΟΥΜΕΝΟΣ· αὐτὰρ ἔγωγε*
*ΔΥΣΚΟΛΟΣ, οὐχ ὁρόων ΤΗΝ ΠΕΡΙΚΕΙ*
*ΡΟΜΕΝΗΝ.*

## 219. *ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.*

*Κλέψωμεν, Ῥοδόπη, τὰ φιλήματα, τήν τ' ἐρατεινὴν*
*καὶ περιδήριτον Κύπριδος ἐργασίην.*
*ἡδὺ λαθεῖν, φυλάκων τε παναγρέα κανθὸν ἀλύξαι*
*φώρια δ' ἀμφαδίων λέκτρα μελιχρότερα.*

## 220. *ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.*

*Εἰ καὶ νῦν πολιή σε κατεύνασε, καὶ τὸ θαλυκρὸν*
*κεῖνο κατημβλύνθη κέντρον ἐρωμανίης,*
*ὤφελες, ὦ Κλεόβουλε, πόθους νεότητος ἐπιγνούς,*
*νῦν καὶ ἐποικτείρειν ὁπλοτέρων ὀδύνας,*
*μηδ' ἐπὶ τοῖς ξυνοῖς κοτέειν μέγα, μηδὲ κομάων*
*τὴν ῥαδινὴν κούρην πάμπαν ἀπαγλαΐσαι.*
*ΑΝΤΙΠΑΤΡΟΣ τῇ παιδὶ πάρος μεμέλησο ταλαίνῃ*
*καὶ νῦν ἐξαπίνης ΑΝΤΙΠΑΛΟΣ γέγονας.*

## 221. *ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.*

*Μέχρι τίνος φλογόεσσαν ὑποκλέπτοντες ὀπωπὴν*
*φώριον ἀλλήλων βλέμμα τιτυσκόμεθα;*
*λεκτέον ἀμφαδίην μελεδήματα· κἢν τις ἐρύξῃ*
*μαλθακὰ λυσιπόνου πλέγματα συζυγίης,*
*φάρμακον ἀμφοτέροις ξίφος ἔσσεται· ἥδιον ἡμῖν*
*ξυνὸν ἀεὶ μεθέπειν ἢ βίον ἢ θάνατον.*

Hosted by Google

## 222. ΑΓΑΘΙΟΥ.

*Εἰς Ἀριάδνην κιθαριστρίδα.*

Εἴ ποτε μὲν κιθάρης ἐπαφήσατο πλῆκτρον ἑλοῦσα
κούρη, Τερψιχόρης ἀντεμέλιζε μίτοις·
εἴ ποτε δὲ τραγικῷ ῥοιζήματι ῥήξατο φωνήν,
αὐτῆς Μελπομένης βόμβον ἀπεπλάσατο.
εἰ δὲ καὶ ἀγλαΐης κρίσις ἵστατο, μᾶλλον ἂν αὐτὴ
Κύπρις ἐνικήθη, κἂν ἐδίκαζε Πάρις.
σιγῇ ἐφ᾽ ἡμείων, ἵνα μὴ Διόνυσος ἀκούσας
τῶν Ἀριαδνείων ζῆλον ἔχοι λεχέων.

## 223. ΜΑΚΗΔΟΝΙΟΥ.

Φωσφόρε, μὴ τὸν Ἔρωτα βιάζεο, μηδὲ διδάσκου,
Ἄρεϊ γειτονέων, νηλεὲς ἦτορ ἔχειν.
ὡς δε πάρος Κλυμένης δρόων Φαέθοντα μελάθρῳ
οὐ δρόμον ὠκυπόδην εἶχες ἀπ᾽ ἀντολίης,
οὕτω μοι περὶ νύκτα, μόγις ποθέοντι φανεῖσαν,
ἔρχεο δηθύνων, ὡς παρὰ Κιμμερίοις.

## 224. ΤΟΥ ΑΥΤΟΥ.

Λῆξον Ἔρως κραδίης τε καὶ ἥπατος· εἰ δ᾽ ἐπιθυμεῖς
βάλλειν, ἄλλο τί μου τῶν μελέων μετάβα.

## 225. ΤΟΥ ΑΥΤΟΥ.

Ἕλκος ἔχω τὸν ἔρωτα· ῥέει δέ μοι ἕλκεος ἰχώρ,
δάκρυον, ὠτειλῆς οὔποτε τερσομένης.
εἰμὶ καὶ ἐκ κακότητος ἀμήχανος, οὐδὲ Μαχάων
ἤπιά μοι πάσσει φάρμακα δευομένῳ.
Τήλεφός εἰμι, κόρη, σὺ δὲ γίνεο πιστὸς Ἀχιλλεύς·
κάλλεϊ σῷ παῦσον τὸν πόθον, ὡς ἔβαλες.

Hosted by Google

226. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Ὀφθαλμοί, τέο μέχρις ἀφύσσετε νέκταρ Ἐρώτων,
κάλλεος ἀκρήτου ζωροπόται θρασέες;
τῆλε διαθρέξωμεν ὅπη σθένος· ἐν δὲ γαλήνῃ
νηφάλια σπείσω Κύπριδι Μειλιχίῃ.
εἰ δ' ἄρα που καὶ κεῖθι κατάσχετος ἔσσομαι οἴστρῳ,
γίνεσθε κρυεροῖς δάκρυσι μυδαλέοι,
ἔνδικον ὀτλήσοντες ἀεὶ πόνον· ἐξ ὑμέων γάρ,
φεῦ, πυρὸς ἐς τόσσην ἤλθομεν ἐργασίην.

227. ΜΑΚΗΔΟΝΙΟΥ ΥΠΑΤΟΥ.

Ἡμερίδας τρυγόωσιν ἐτήσιον, οὐδέ τις αὐτῶν
τοὺς ἕλικας, κόπτων βότρυν, ἀποστρέφεται.
ἀλλά σε τὴν ῥοδόπηχυν, ἐμῆς ἀνάθημα μερίμνης,
ὑγρὸν ἐνιπλέξας ἅμματι δεσμὸν ἔχω,
καὶ τρυγόω τὸν ἔρωτα· καὶ οὐ θέρος, οὐκ ἔαρ ἄλλο
οἶδα μένειν, ὅτι μοι πᾶσα γέμεις χαρίτων.
ὧδε καὶ ἡβήσειας ὅλον χρόνον· εἰ δέ τις ἔλθῃ
λοξὸς ἕλιξ ῥυτίδων, τλήσομαι ὡς φιλέων.

228. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Εἰπὲ τίνι πλέξεις ἔτι βόστρυχον, ἢ τίνι χεῖρας
φαιδρύνεις, ὀνύχων ἀμφιτεμὼν ἀκίδα;
ἐς τί δὲ κοσμήσεις ἁλιανθέϊ φάρεα κόχλῳ,
μηκέτι τῆς καλῆς ἐγγὺς ἰὼν Ῥοδόπης;
ὄμμασιν οἷς Ῥοδόπην οὐ δέρκομαι, οὐδὲ φαεινῆς
φέγγος ἰδεῖν ἐθέλω χρύσεον Ἠριπόλης.

229. ΜΑΚΗΔΟΝΙΟΥ ΥΠΑΤΟΥ.

Τὴν Νιόβην κλαίουσαν ἰδών ποτε βουκόλος ἀνὴρ
θάμβεεν, εἰ λείβειν δάκρυον οἶδε λίθος.

αὐτὰρ ἐμὲ στενάχοντα τόσης κατὰ νυκτὸς ὀμίχλην
    ἔμπνοος Εὐΐππης οὐκ ἐλέαιρε λίθος.
αἴτιος ἀμφοτέροισιν ἔρως ὀχετηγὸς ἀνίης,
    τῇ Νιόβῃ τεκέων, αὐτὰρ ἐμοὶ παθέων.

## 230. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Χρυσῆς εἰρύσσασα μίαν τρίχα Δωρὶς ἐθείρης,
    οἷα δορυκτήτους δῆσεν ἐμεῦ παλάμας.
αὐτὰρ ἐγὼ τὸ πρὶν μὲν ἐκάγχασα, δεσμὰ τινάξαι
    Δωρίδος ἱμερτῆς εὐμαρὲς οἰόμενος·
ὡς δὲ διαῤῥῆξαι σθένος οὐκ ἔχον, ἔστενον ἤδη,
    οἷά τε χαλκείῃ σφιγκτὸς ἀλυκτοπέδῃ.
καὶ νῦν ὁ τρισάποτμος ἀπὸ τριχὸς ἠέρτημαι,
    δυσπότις ἔνθ᾽ ἐρύσῃ, πυκνὰ μεθελκόμενος.

## 231. ΜΑΚΗΔΟΝΙΟΥ ΥΠΑΤΟΥ.

Τὸ στόμα ταῖς Χαρίτεσσι, προσώπατα δ᾽ ἄνθεσι βάλλει,
    ὄμματα τῇ Παφίῃ, τὴν χέρα τῇ κιθάρῃ·
συλεύεις βλεφάρων φάος ὄμμασιν, οὔας ἀοιδῇ·
    πάντοθεν ἀγρεύεις τλήμονας ἠϊθέους.

## 232. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Ἱππομένην φιλέουσα νόον προσέρεισα Λεάνδρῳ·
    ἐν δὲ Λεανδρείοις χείλεσι πηγνυμένη
εἰκόνα τὴν Ξάνθοιο φέρω φρεσί· πλεξαμένη δὲ
    Ξάνθον, ἐς Ἱππομένην νόστιμον ἦτορ ἄγω.
πάντα τὸν ἐν παλάμῃσιν ἀναίνομαι· ἄλλοτε δ᾽ ἄλλον
    αἰὲν ἀμοιβαίοις πήχεσι δεχνυμένη,
ἀφνειὴν Κυθέρειαν ὑπέρχομαι. εἰ δέ τις ἡμῖν
    μέμφεται, ἐν πενίῃ μιμνέτω οἰογάμῳ.

233. ΜΑΚΗΔΟΝΙΟΥ ΥΠΑΤΟΥ.

*Αὔριον ἀθρήσω σε. τὸ δ' οὔ ποτε γίνεται ἡμῖν,*
*ἠθάδος ἀμβολίης αἰὲν ἀεξομένης.*
*ταῦτά μοι ἱμείροντι χαρίζεαι· ἄλλα δ' ἐς ἄλλους*
*δῶρα φέρεις, ἐμέθεν πίστιν ἀπειπαμένη.*
*ὄψομαι ἑσπερίη σε. τί δ' ἕσπερός ἐστι γυναικῶν;*
*γῆρας ἀμετρήτῳ πληθόμενον ῥυτίδι.*

234. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

*Ὁ πρὶν ἀμαλθάκτοισιν ὑπὸ φρεσὶν ἡδὺν ἐν ἥβῃ*
*οἰστροφόρου Παφίης θεσμὸν ἀπειπάμενος,*
*γυιοβόροις βελέεσσιν ἀνέμβατος ὁ πρὶν Ἐρώτων,*
*αὐχένα σοὶ κλίνω, Κύπρι, μεσαιπόλιος.*
*δέξο με καγχαλόωσα, σοφὴν ὅτι Παλλάδα νικᾷς*
*νῦν πλέον, ἢ τὸ πάρος μήλῳ ἐφ' Ἑσπερίδων.*

235. ΜΑΚΗΔΟΝΙΟΥ ΥΠΑΤΟΥ.

*Ἦλθες ἐμοὶ ποθέοντι παρ' ἐλπίδα· τὴν δ' ἐνὶ θυμῷ*
*ἐξεσάλαξας ὅλην θάμβεϊ φαντασίην,*
*καὶ τρομέω, κραδίη τε βυθῷ πελεμίζεται οἴστρῳ,*
*ψυχῆς πνιγομένης κύματι κυπριδίῳ.*
*ἀλλ' ἐμὲ τὸν ναυηγὸν ἐπ' ἠπείροιο φανέντα*
*σῶε, τεῶν λιμένων ἔνδοθι δεξαμένη.*

236. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

*Ναὶ τάχα Ταντάλεης Ἀχερόντια πήματα ποινῆς*
*ἡμετέρων ἀχέων ἐστὶν ἐλαφρότερα.*
*οὐ γὰρ ἰδὼν σέο κάλλος, ἀπείργετο χείλεα μῖξαι*
*χείλεϊ σῷ, ῥοδέων ἁβροτέρῳ καλύκων,*
*Τάνταλος ἀκριτόδακρυς· ὑπερτέλλοντα δὲ πέτρον*
*δείδιεν· ἀλλὰ θανεῖν δεύτερον οὐ δύναται.*

Hosted by Google

αὐτὰρ ἐγὼ ζωὸς μὲν ἐὼν κατατήκομαι οἴστρῳ,
ἐκ δ' ὀλιγοδρανίης καὶ μόρον ἐγγὺς ἔχω.

237. ΑΓΑΘΙΟΥ ΜΥΡΙΝΑΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Πᾶσαν ἐγὼ τὴν νύκτα κινύρομαι· εὖτε δ' ἐπέλθῃ
ὄρθρος ἐλινῦσαι μικρὰ χαριζόμενος,
ἀμφιπεριτρύζουσι χελιδόνες, ἐς δέ με δάκρυ
βάλλουσιν, γλυκερὸν κῶμα παρωσάμεναι.
Ὄμματα δὲ σταλάοντα φυλάσσεται· ἡ δὲ Ῥοδάνθης
αὖθις ἐμοῖς στέρνοις φροντὶς ἀναστρέφεται.
ὦ φθονεραὶ παύσασθε λαλητρίδες· οὐ γὰρ ἔγωγε
τὴν Φιλωμηλείην γλῶσσαν ἀπεθρισάμην.
ἀλλ' Ἴτυλον κλαίοιτε κατ' οὔρεα, καὶ γοάοιτε
εἰς ἔποπος κραναὴν αὖλιν ἐφεζόμεναι,
βαιὸν ἵνα κνώσσοιμεν· ἴσως δέ τις ἥξει ὄνειρος,
ὅς με Ῥοδανθείοις πήχεσιν ἀμφιβάλοι.

238. ΜΑΚΗΔΟΝΙΟΥ ΥΠΑΤΟΥ.

Τὸ ξίφος ἐκ κολεοῖο τί σύρεται; οὐ μὰ σέ, κούρη,
οὐχ ἵνα τι πρήξω Κύπριδος ἀλλότριον,
ἀλλ' ἵνα σοι τὸν Ἄρηα, καὶ ἀζαλέον περ ἐόντα,
δείξω τῇ μαλακῇ Κύπριδι πειθόμενον.
οὗτος ἐμοὶ ποθέοντι συνέμπορος, οὐδὲ κατόπτρου
δεύομαι, ἐν δ' αὐτῷ δέρκομαι αὐτὸν ἐγώ·
καὶ, καλὸς ὡς ἐν ἔρωτι. σὺ δ' ἢν ἀπ' ἐμεῖο * λαθῆναι,
τὸ ξίφος ἡμετέρην δύσεται ἐς λαγόνα.

239. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Εσβέσθη φλογεροῖο πυρὸς μένος, οὐκέτι κάμνω·
ἀλλὰ καταθνήσκω ψυχόμενος, Παφίη.

ἤδη γὰρ μετὰ σάρκα δι᾿ ὀστέα καὶ φρένας ἕρπει
    παμφάγον ἀσθμαίνων οὗτος ὁ πικρὸς Ἔρως.
καὶ φλὸξ ἐν τελεταῖς, ὅτε θύματα πάντα λαφύξῃ,
    φορβῆς ἠπανίῃ ψύχεται αὐτομάτως.

## 240. ΜΑΚΗΔΟΝΙΟΥ.

Τῷ χρυσῷ τὸν ἔρωτα μετέρχομαι· οὐ γὰρ ἀρότρῳ
    ἔργα μελισσάων γίνεται ἢ σκαπάνῃ·
ἀλλ᾿ ἔαρι δροσερῷ· μέλιτός γε μὲν Ἀφρογενείης
    ὁ χρυσὸς τελέθει ποικίλος ἐργατίνης.

## 241. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

ΣΩ'ΖΕΟ' σοι μέλλων ἐνέπειν, παλίνορσον ἰωὴν
    ἂψ ἀνασειράζω, καὶ πάλιν ἄγχι μένω·
σὴν γὰρ ἐγὼ δασπλῆτα διάστασιν οἷά τε πικρὴν
    νύκτα καταπτήσσω τὴν Ἀχεροντιάδα·
ἤματι γὰρ σέο φέγγος ὁμοῖιον· ἀλλὰ τὸ μέν που
    ἄφθογγον· σὺ δέ μοι καὶ τὸ λάλημα φέρεις
κεῖνο, τὸ Σειρήνων γλυκερώτερον, ᾧ ἔπι πᾶσαι
    εἰσὶν ἐμῆς ψυχῆς ἐλπίδες ἐκκρεμέες.

## 242. ΕΡΑΤΟΣΘΕΝΟΥΣ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Ὡς εἶδον Μελίτην, ὠχρός μ᾿ ἕλε· καὶ γὰρ ἀκοίτῃ
    κείνη ἐφωμάρτει· τοῖα δ᾿ ἔλεξα τρέμων·
Τοῦ σοῦ ἀνακροῦσαι δύναμαι πυλεῶνος ὀχῆας,
    δικλίδος ἡμετέρης τὴν βάλανον χαλάσας,
καὶ δισσῶν προθύρων πλαδαρὴν κρηπῖδα περῆσαι,
    ἄκρον ἐπιβλῆτος μεσσόθι πηξάμενος;
ἡ δὲ λέγει γελάσασα, καὶ ἀνέρα λοξὸν ἰδοῦσα·
    Σῶν προθύρων ἀπέχου, μὴ σκεῦὴν ὀλέσῃς.

## 243. ΜΑΚΗΔΟΝΙΟΥ.

Τὴν φιλοπουλυγέλωτα κόρην ἐπὶ νυκτὸς ὀνείρου
εἶχον, ἐπισφίγξας πήχεσιν ἡμετέροις.
πείθετό μοι ξύμπαντα, καὶ οὐκ ἀλέγιζεν ἐμεῖο
κύπριδι παντοίῃ σώματος ἁπτομένου,
ἀλλὰ βαρύζηλός τις Ἔρως καὶ νύκτα λοχήσας
ἐξέχεεν φιλίην, ὕπνον ἀποσκεδάσας.
ὧδέ μοι οὐδ᾽ αὐτοῖσιν ἐν ὑπναλέοισιν ὀνείροις
ἄφθονός ἐστιν Ἔρως κέρδεος ἡδυγάμου.

## 244. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Μακρὰ φιλεῖ Γαλάτεια καὶ ἔμψοφα· μαλθακὰ Δημώ·
Δωρὶς ὀδακτάζει. τίς πλέον ἐξερέθει;
οὔατα μὴ κρίνωσι φιλήματα· γευσάμενοι δὲ
τριχθαδίων στομάτων, ψῆφον ἐποισόμεθα.
ἐπλάγχθης κραδίη· τὰ φιλήματα μαλθακὰ Δημοῦς
ἔγνως, καὶ δροσερῶν ἡδὺ μέλι στομάτων.
μίμν᾽ ἐπὶ τοῖς· ἀδέκαστον ἔχει στέφος. εἰ δέ τις ἄλλη
τέρπεται, ἐκ Δημοῦς ἡμέας οὐκ ἐρύσει.

## 245. ΜΑΚΗΔΟΝΙΟΥ.

Κιχλίζεις, χρεμέτισμα γάμου προκέλευθον ἱεῖσα,
ἥσυχά μοι νεύεις· πάντα μάτην ἐρέθεις.
ὤμοσα τὴν δυσέρωτα κόρην, τρισὶν ὤμοσα πέτραις,
μήποτε μειλιχίοις ὄμμασιν εἰσιδέειν.
παῖζε μόνη τὸ φίλημα· μάτην πόππυζε σεαυτῇ,
χείλεσι γυμνοτάτοις, οὔτινι μισγομένοις.
αὐτὰρ ἐγὼν ἑτέρην ὁδὸν ἔρχομαι· εἰσὶ γὰρ ἄλλαι
κρέσσονες εὐλέκτρου Κύπριδος ἐργάτιδες.

## 246. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Μαλθακὰ μὲν Σαπφοῦς τὰ φιλήματα, μαλθακὰ γυίων
πλέγματα χιονέων, μαλθακὰ πάντα μέλη.
ψυχὴ δ' ἐξ ἀδάμαντος ἀπειθέος· ἄχρι γὰρ οἴων
ἔστιν ἔρως στομάτων· τἄλλα δὲ παρθενίης.
καὶ τίς ὑποτλαίη; τάχα τις τάχα τοῦτο ταλάσσας
δίψαν Ταντιαλέην τλήσεται εὐμαρέως.

## 247. ΜΑΚΗΔΟΝΙΟΥ ΥΠΑΤΟΥ.

Παρμενὶς οὐκ ἔργῳ· τὸ μὲν οὔνομα καλὸν ἀκούσας
ᾠϊσάμην· σὺ δέ μοι πικροτέρη θανάτου.
καὶ φεύγεις φιλέοντα, καὶ οὐ φιλέοντα διώκεις,
ὄφρα πάλιν κεῖνον καὶ φιλέοντα φύγῃς.
κεντρομανὲς δ' ἄγκιστρον ἔφυ στόμα, καί με δακόντα
εὐθὺς ἔχει ῥοδέου χείλεος ἐκκρεμέα.

## 248. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Ὦ παλάμη πάντολμε, σὺ τὸν παγχρύσεον ἔτλης
ἀπρὶξ δραξαμένη βόστρυχον αὐερύσαι.
ἔτλης. οὐκ ἐμάλαξε τεὸν θράσος αἴλινος αὐδή,
σκύλμα κόμης, αὐχὴν μαλθακὰ κεκλιμένος.
νῦν θαμινοῖς πατάγοισι μάτην τὸ μέτωπον ἀράσσεις·
οὐκέτι γὰρ μαζοῖς σὸν θέναρ ἐμπελάσει.
μή, λίτομαι, δέσποινα, τόσην μὴ λάμβανε ποινήν·
μᾶλλον ἐγὼ τλαίην φάσγανον ἀσπασίως.

## 249. ΕΙΡΗΝΑΙΟΥ ΡΕΦΕΡΕΝΔΑΡΙΟΥ.

Ὦ σοβαρὴ Ῥοδόπη, Παφίης εἴξασα βελέμνοις
καὶ τὸν ὑπερφίαλον κόμπον ἀπωσαμένη,
ἀγκὰς ἑλοῦσά μ' ἔχεις παρὰ σὸν λέχος· ἐν δ' ἄρα δεσμοῖς
κεῖμαι, ἐλευθερίης οὐκ ἐπιδευόμενος.

Hosted by Google

οὕτω γὰρ ψυχή τε καὶ ἔκχυτα σώματα φωτῶν
    συμφέρεται, φιλίης ῥεύμασι μιγνύμενα.

250. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Ἡδύ, φίλοι, μείδημα τὸ Λαΐδος· ἡδὺ καὶ αὐτῶν
    ἠπιοδινήτων δακρυχέει βλεφάρων
χθιζά μοι ἀπροφάσιστον ἐπέστενεν, ἐγκλιδὸν ὤμῳ
    ἡμετέρῳ κεφαλὴν δηρὸν ἐρεισαμένη·
μυρομένην δ' ἐφίλησα· τὰ δ' ὡς δροσερῆς ἀπὸ πηγῆς
    δάκρυα μιγνυμένων πίπτε κατὰ στομάτων.
εἶπε δ' ἀνειρομένῳ· Τίνος εἵνεκα δάκρυα λείβεις;
    Δείδια μή με λίπῃς· ἐστὲ γὰρ ὁρκαπάται.

251. ΕΙΡΗΝΑΙΟΥ ΡΕΦΕΡΕΝΔΑΡΙΟΥ.

Ὄμματα δινεύεις κρυφίων ἰνδάλματα πυρσῶν,
    χείλεα δ' ἀκροβαφῆ λοξὰ παρεκτανύεις,
καὶ πολὺ κιχλίζουσα σοβεῖς εὐβόστρυχον αἴγλην,
    ἐκχυμένας δ' ὀρόω τὰς σοβαρὰς παλάμας.
ἀλλ' οὐ σῆς κραδίης ὑψαύχενος ὤκλασεν ὄγκος·
    οὔπω ἐθηλύνθης, οὐδὲ μαραινομένη.

252. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Ῥίψωμεν, χαρίεσσα, τὰ φάρεα· γυμνὰ δὲ γυμνοῖς
    ἐμπελάσαι γυίοις γυῖα περιπλοκάδην·
μηδὲν ἔοι τὸ μεταξύ· Σεμιράμιδος γὰρ ἐκεῖνο
    τεῖχος ἐμοὶ δοκέει λεπτὸν ὕφασμα σέθεν.
στήθεα δ' ἐζεύχθω, τά τε χείλεα· τἆλλα δὲ σιγῇ
    κρυπτέον· ἐχθαίρω τὴν ἀθυροστομίην.

253. ΕΙΡΗΝΑΙΟΥ ΡΕΦΕΡΕΝΔΑΡΙΟΥ.

Τίπτε πέδον, Χρυσίλλα, κάτω νεύουσα δοκεύεις,
    καὶ ζώνην παλάμαις οἷά περ ἀκρολυτεῖς;

*αἰδὼς νόσφι πέλει τῆς Κύπριδος· εἰ δ' ἄρα σιγᾷς,*
*νεύματι τὴν Παφίην δεῖξον ὑπερχομένη.*

## 254. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

*Ὤμοσα μιμνάζειν σέο τηλόθεν, ἀργέτι κούρη,*
*ἄχρι δυωδεκάτης, ὢ πόποι, ἠριπόλης·*
*οὐ δ' ἔτλην ὁ τάλας· τὸ γὰρ αὔριον ἄμμι φαάνθη*
*τηλοτέρω μήνης, ναὶ μὰ σέ, δωδεκάτης.*
*ἀλλὰ θεοὺς ἱκέτευε, φίλη, μὴ ταῦτα χαράξαι*
*ὅρκια ποιναίης νῶτον ὑπὲρ σελίδος·*
*θέλγε δὲ σαῖς χαρίτεσσιν ἐμὴν φρένα· μὴ δέ με μάστιξ,*
*πότνα, κατασμύξῃ καὶ σέο καὶ μακάρων.*

## 255. ΤΟΥ ΑΥΤΟΥ.

*Εἶδον ἐγὼ ποθέοντας· ὑπ' ἀτλήτοιο δὲ λύσσης*
*δηρὸν ἐν ἀλλήλοις χείλεα πηξάμενοι,*
*οὐ κόρον εἶχον ἔρωτος ἀφειδέος· ἱέμενοι δέ,*
*εἰ θέμις, ἀλλήλων δύμεναι ἐς κραδίην,*
*ἀμφασίης ὅσον ὅσσον ὑπεπρήϋνον ἀνάγκην,*
*ἀλλήλων μαλακοῖς φάρεσιν ἑσσάμενοι.*
*καί ῥ' ὁ μὲν ἦν Ἀχιλῆϊ πανείκελος, οἷος ἐκεῖνος*
*τῶν Λυκομηδείων ἔνδον ἔην θαλάμων·*
*κούρη δ' ἀργυφέης ἐπιγουνίδος ἄχρι χιτῶνα*
*ζωσαμένη, Φοίβης εἶδος ἀπεπλάσατο.*
*καὶ πάλιν ἠρήρειστο τὰ χείλεα, γυιοβόρον γὰρ*
*εἶχον ἀλωφήτου λιμὸν ἐρωμανίης.*
*ῥεῖά τις ἡμερίδος στελέχη δύο σύμπλοκα λύσει,*
*στρεπτά, πολυχρονίῳ πλέγματι συμφυέα,*
*ἢ κείνους φιλέοντας, ὑπ' ἀντιπόροισί τ' ἀγοστοῖς*
*ὑγρὰ περιπλέγδην ἅψεα δησαμένους.*

Hosted by Google

τρὶς μάκαρ, ὃς τοίοισι, φίλη, δεσμοῖσιν ἑλίχθη·
τρὶς μάκαρ· ἀλλ' ἡμεῖς ἄνδιχα καιόμεθα.

## 256. ΤΟΥ ΑΥΤΟΥ.

Δικλίδας ἀμφετίναξεν ἐμοῖς Γαλάτεια προσώποις
ἕσπερος, ὑβριστὴν μῦθον ἐπευξαμένη,
„Ὕβρις ἔρωτας ἔλυσε.“ μάτην ὅδε μῦθος ἀλᾶται.
ὕβρις ἐμὴν ἐρέθει μᾶλλον ἐρωμανίην.
ὤμοσα γὰρ λυκάβαντα μένειν ἀπάνευθεν ἐκείνης·
ὢ πόποι· ἀλλ' ἱκέτης πρώϊος εὐθὺς ἔβην.

## 257. ΠΑΛΛΑΔΑ.

Νῦν καταγιγνώσκω καὶ τοῦ Διὸς ὡς ἀνεράστου,
μὴ μεταβαλλομένου τῆς σοβαρᾶς ἕνεκα·
οὔτε γὰρ Εὐρώπης, οὐ τῆς Δανάης περὶ κάλλος,
οὔθ' ἁπαλῆς Λήδης ἐστ' ἀπολειπομένη.
εἰ μὴ τὰς πόρνας παραπέμπεται· οἶδα γὰρ αὐτὸν
τῶν βασιλευουσῶν παρθενικῶν φθορέα.

## 258. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤ.

Πρόκριτός ἐστι, Φίλιννα, τεὴ ῥυτίς, ἢ ὀπὸς ἥβης
πάσης· ἱμείρω δ' ἀμφὶς ἔχειν παλάμαις
μᾶλλον ἐγὼ σέο μῆλα καρηβαρέοντα κορύμβοις,
ἢ μαζὸν νεαρῆς ὄρθιον ἡλικίης.
σὸν γὰρ ἔτι φθινόπωρον ὑπέρτερον εἴαρος ἄλλης,
χεῖμα σὸν ἀλλοτρίου θερμότερον θέρεος.

## 259. ΤΟΥ ΑΥΤΟΥ.

Ὄμματα σεῦ βαρύθουσι, πόθου πνείοντα, Χαρικλοῖ
οἷά περ ἐκ λέκτρων ἄρτι διεγρομένης·

ἔσκυλται δὲ κόμη, ῥοδέης δ' ἀμάρυγμα παρειῆς
    ὦχρος ἔχει λευκός, καὶ δέμας ἐκλέλυται.
κεὶ μὲν παννυχίῃσιν ὁμιλήσασα παλαίστραις
    ταῦτα φέρεις, ὄλβου παντὸς ὑπερπέταται,
ὅς σὲ περιπλέγδην ἔχε πήχεσιν· εἰ δέ σε τήκει
    θερμὸς ἔρως, εἴης εἰς ἐμὲ τηκομένη.

## 260. ΤΟΥ ΑΥΤΟΥ.

Κεκρύφαλοι σφίγγουσι τεὴν τρίχα; τήκομαι οἴστρῳ
    Ῥείης πυργοφόρου δείκελον εἰσορόων.
ἀσκεπές ἐστι κάρηνον; ἐγὼ ξανθίσμασι χαίτης
    ἔκχυτον ἐκ στέρνων ἐξεσόβησα νόον.
ἀργενναῖς ὀθόνησι κατήορα βόστρυχα κεύθεις;
    οὐδὲν ἐλαφροτέρη φλὸξ κατέχει κραδίην.
μορφὴν τριχθαδίην Χαρίτων τριὰς ἀμφιπολεύει·
    πᾶσα δέ μοι μορφὴ πῦρ ἴδιον προχέει.

## 261. ΑΓΑΘΙΟΥ ΣΧΟΛ.

Εἰμὶ μὲν οὐ φιλόοινος· ὅταν δ' ἐθέλῃς με μεθύσσαι
    πρῶτα σὺ γευομένη πρόσφερε, καὶ δέχομαι.
εἰ γὰρ ἐπιψαύσεις τοῖς χείλεσιν, οὐκέτι νήφειν
    εὐμαρές, οὐδὲ φυγεῖν τὸν γλυκὺν οἰνοχόον·
πορθμεύει γάρ ἔμοιγε κύλιξ παρὰ σοῦ τὸ φίλημα,
    καί μοι ἀπαγγέλλει τὴν χάριν ἣν ἔλαβεν.

## 262. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤ.

Φεῦ φεῦ, καὶ τὸ λάλημα τὸ μείλιχον ὁ φθόνος εἴργει,
    βλέμμα τε λαθριδίως φθεγγομένων βλεφάρων·
ἱστάμενοι δ' ἄγχιστα τεθήπαμεν ὄμμα γεραιῆς,
    οἷα πολύγληνον βουκόλον Ἰναχίης.

Hosted by Google

Ἵστασο, καὶ σκοπίαζε, μάτην δὲ σὸν ἦτορ ἀμύσσοι·
οὐ γὰρ ἐπὶ ψυχῆς ὄμμα τεὸν τανύσεις.

263. ΑΓΑΘΙΟΥ ΣΧΟΛ.

Μήποτε λύχνε μύκητα φέροις, μηδ᾽ ὄμβρον ἐγείροις,
μὴ τὸν ἐμὸν παύσῃς νυμφίον ἐρχόμενον.
αἰεὶ σὺ φθονέεις τῇ Κύπριδι, καὶ γὰρ ὅθ᾽ Ἡρὼ
ἥρμοσε Λειάνδρῳ... θυμέ, τὸ λοιπὸν ἔα.
Ἡφαίστου τελέθεις, καὶ πείθομαι, ὅττι χαλέπτων
Κύπριδα, θωπεύεις δεσποτικὴν ὀδύνην.

264. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤ.

Βόστρυχον ὠμογέροντα τί μέμφεαι, ὄμματά θ᾽ ὑγρὰ
δάκρυσιν; ὑμετέρων παίγνια ταῦτα πόθων·
φροντίδες ἀπρήκτοιο πόθου τάδε, ταῦτα βελέμνων
σύμβολα, καὶ δολιχῆς ἔργα νυχεγρεσίης.
καὶ γάρ που λαγόνεσσι ῥυτὶς παναώριος ἤδη,
καὶ λαγαρὸν δειρῇ δέρμα περικρέμαται.
ὁππόσον ἡβάσκει φλογὸς ἄνθεα, τόσσον ἐμεῖο
ἄψεα γηράσκει φροντίδι γυιοβόρῳ.
ἀλλὰ κατοικτείρασα δίδου χάριν· αὐτίκα γάρ μοι
χρὼς ἀναθηλήσει κρατὶ μελαινομένῳ.

265. ΚΟΜΗΤΑ ΧΑΡΤΟΥΛΑΡΙΟΥ.

Ὄμματα Φυλλὶς ἔπεμπε κατὰ πλόον· ὅρκος ἀλήτης
πλάζετο, Δημοφόων δ᾽ ἦεν ἄπιστος ἀνήρ.
νῦν δέ, φίλη, πιστὸς μὲν ἐγὼ παρὰ θῖνα θαλάσσης
Δημοφόων· σὺ δὲ πῶς, Φυλλίς, ἄπιστος ἔφυς;

266. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤ.

Ἀνέρα λυσσητῆρι κυνὸς βεβολημένον ἰῷ
ὕδασι θηρείην εἰκόνα φασὶ βλέπειν.

λυσσώων τάχα πικρὸν Ἔρως ἐνέπηξεν ὀδόντα
εἰς ἐμέ, καὶ μανίαις θυμὸν ἐληΐσατο.
σὴν γάρ ἐμοὶ καὶ πόντος ἐπήρατον εἰκόνα φαίνει,
καὶ ποταμῶν δῖναι, καὶ δέπας οἰνοχόων.

## 267. ΑΓΑΘΙΟΥ ΣΧΟΛ.

Τί στενάχεις; φιλέω. τίνα; παρθένον. ἦ ῥά γε καλήν;
καλὴν ἡμετέροις ὄμμασι φαινομένην.
ποῦ δέ μιν εἰσενόησας; ἐκεῖ ποτὶ δεῖπνον ἐπελθὼν
ξυνῇ κεκλιμένην ἔδρακον ἐν στιβάδι.
ἐλπίζεις δὲ τυχεῖν; ναὶ ναὶ φίλος· ἀμφαδίην δὲ
οὐ ζητῶ φιλίην, ἀλλ' ὑποκλεπτομένην.
τὸν νόμιμον μᾶλλον φεύγεις γάμον· ἀτρεκὲς ἔγνων
ὅττι γε τῶν κτεάνων πουλὺ τὸ λειπόμενον.
ἔγνως. οὐ φιλέεις, ἐψεύσαο· πῶς δύναται γὰρ
ψυχὴ ἐρωμανέειν ὀρθὰ λογιζομένη;

## 268. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤ.

Μηκέτι τις πτήξειε πόθου βέλος· ἰοδόκην γὰρ
εἰς ἐμὲ λάβρος Ἔρως ἐξεκένωσεν ὅλην.
μὴ πτερύγων τρομέοι τις ἐπήλυσιν· ἐξότε γάρ μοι
λὰξ ἐπιβὰς στέρνοις πικρὸν ἔπηξε πόδα,
ἀστεμφής, ἀδόνητος ἐνέζεται, οὐδὲ μετέστη,
εἰς ἐμὲ συζυγίην κειράμενος πτερύγων.

## 269. ΑΓΑΘΙΟΥ ΣΧΟΛ.

Δισσῶν θηλυτέρων μοῦνός ποτε μέσσος ἐκείμην,
τῆς μὲν ἐφιμείρων, τῇ δὲ χαριζόμενος.
εἷλκε δέ μ' ἡ φιλέουσα· πάλιν δ' ἐγώ, οἷά τε τις φώρ,
χείλεϊ φειδομένῳ τὴν ἑτέρην ἐφίλουν,

ζῆλον ὑποκλέπτων τῆς γείτονος, ἧς τὸν ἔλεγχον
καὶ τὰς λυσιπόθους ἔτρεμον ἀγγελίας.
ὀχθήσας δ᾽ ἄρ᾽ ἔειπον· ἐμοὶ τάχα καὶ τὸ φιλεῖσθαι
ὡς τὸ φιλεῖν χαλεπόν, δισσὰ κολαζομένῳ.

## 270. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤ.

Οὔτε ῥόδον στεφάνων ἐπιδεύεται, οὔτε σὺ πέπλων,
οὔτε λιθοβλήτων, πότνια, κεκρυφάλων.
μάργαρα σῆς χροιῆς ἀπολείπεται, οὐδὲ κομίζει
χρυσὸς ἀπεκτήτου σῆς τριχὸς ἀγλαΐην·
Ἰνδῴη δ᾽ ὑάκινθος ἔχει χάριν αἴθοπος αἴγλης,
ἀλλὰ τεῶν λογάδων πολλὸν ἀφαυροτέρην.
χείλεα δὲ δροσόεντα, καὶ ἡ μελίφυρτος ἐκείνη
ἤθεος ἁρμονίη, κεστὸς ἔφυ Παφίης.
τούτοις πᾶσιν ἐγὼ καταδάμναμαι· ὄμμασι μούνοις
θέλγομαι, οἷς ἐλπὶς μείλιχος ἐνδιάει.

## 271. ΜΑΚΗΔΟΝΙΟΥ ΥΠΑΤΙΚΟΥ.

Τὴν ποτε βακχεύουσαν ἐν εἴδεϊ θηλυτεράων,
τὴν χρυσοκροτάλῳ σειομένην σπατάλῃ,
γῆρας ἔχει καὶ νοῦσος ἀμείλιχος· οἱ δὲ φιληταί,
οἵ ποτε τριλλίστως ἀντίον ἐρχόμενοι,
νῦν μέγα πεφρίκασι· τὸ δ᾽ αὐξοσέληνον ἐκεῖνο
ἐξέλιπεν, συνόδου μηκέτι γινομένης.

## 272. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤ.

Μαζοὺς χερσὶν ἔχω, στόματι στόμα, καὶ περὶ δειρὴν
ἄσχετα λυσσώων βόσκομαι ἀργυφέην.
οὔπω δ᾽ ἀφρογένειαν ὅλην ἕλον· ἀλλ᾽ ἔτι κάμνω,
παρθένον ἀμφιέπων, λέκτρον ἀναινομένην.

Hosted by Google

ἥμισυ γὰρ Παφίῃ, τὸ δ' ἄρ' ἥμισυ δῶκεν Ἀθήνῃ·
αὐτὰρ ἐγὼ μέσσος τήκομαι ἀμφοτέρων.

## 273. ΑΓΑΘΙΟΥ ΣΧΟΛ.

Ἡ πάρος ἀγλαΐῃσι μετάρσιος, ἡ πλοκαμῖδας
σειομένη πλεκτάς, καὶ σοβαρευομένη,
ἡ μεγαλαυχήσασα καθ' ἡμετέρης μελεδώνης,
γήραϊ ῥικνώδης τὴν πρὶν ἀφῆκε χάριν.
μαζὸς ὑπεκλίνθη, πέσον ὀφρύες, ὄμμα τέτηκται,
χείλεα βαμβαίνει φθέγματι γηραλέῳ.
τὴν πολιὴν καλέω Νέμεσιν Πόθου, ὅττι δικάζει
ἔννομα, ταῖς σοβαραῖς θᾶσσον ἐπερχομένη.

## 274. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤ.

Τὴν πρὶν ἐνεσφρήγισσεν Ἔρως θρασὺς εἰκόνα μορφῆ
ἡμετέρης θερμῷ βένθεϊ σῆς κραδίης,
φεῦ φεῦ, νῦν ἀδόκητος ἀπέπτυσας· αὐτὰρ ἐγώ τοι
γραπτὸν ἔχω ψυχῇ σῆς τύπον ἀγλαΐης.
τοῦτον καὶ Φαέθοντι καὶ Ἄϊδι, βάρβαρε, δείξω,
Κρῆσσαν ἐπισπέρχων εἰς σὲ δικασπολίην.

## 275. ΤΟΥ ΑΥΤΟΥ.

Δειελινῷ χαρίεσσα Μενεκρατὶς ἔκχυτος ὕπνῳ
κεῖτο περὶ κροτάφους πῆχυν ἑλιξαμένη.
τολμήσας δ' ἐπέβην λεχέων ὕπερ· ὡς δὲ κελεύθου
ἥμισυ κυπριδίης ἤνυον ἀσπασίως,
ἡ παῖς ἐξ ὕπνοιο διέγρετο, χερσὶ δὲ λευκαῖς
κράατος ἡμετέρου πᾶσαν ἔτιλλε κόμην·
μαρναμένης δὲ τὸ λοιπὸν ἀνύσσαμεν ἔργον ἔρωτος·
ἡ δ' ὑποπιμπλαμένη δάκρυσιν εἶπε τάδε·

Hosted by Google

Σχέτλιε, νῦν μὲν ἔρεξας ὅ τοι φίλον, ᾧ ἔπι πουλὺν
πολλάκι σῆς παλάμης χρυσὸς ἀπωμοσάμην·
οἰχόμενος δ᾽ ἄλλην ὑποκόλπιον εὐθὺς ἑλίξεις·
ἐστὲ γὰρ ἀπλήστου κύπριδος ἐργατίναι.

## 276. ΑΓΑΘΙΟΥ ΣΧΟΛ.

Σοὶ τόδε τὸ κρήδεμνον, ἐμὴ μνήστειρα, κομίζω,
χρυσεοπηνήτῳ λαμπόμενον 'γραφίδι.
βάλλε δὲ σοῖς πλοκάμοισιν· ἐφεσσαμένη δ᾽ ὑπὲρ ὤμων
στήθεϊ παλλεύκῳ τήνδε δὸς ἀμπεχόνην.
ναὶ ναὶ στήθεϊ μᾶλλον, ὅπως ἐπιμάζιον εἴη
ἀμφιπεριπλέγδην εἰς σὲ κεδαννύμενον.
καὶ τόδε μὲν φορέοις ἅτε παρθένος· ἀλλὰ καὶ εὐνὴν
λεύσσοις, καὶ τεκέων εὔσταχυν ἀνθοσύνην,
ὄφρα σοι ἐκτελέσαιμι καὶ ἀργυφέην ἀναδέσμην,
καὶ λιθοκολλήτων πλέγματα κεκρυφάλων.

## 277. ΕΡΑΤΟΣΘΕΝΟΥΣ ΣΧΟΛ.

Ἄρσενας ἄλλος ἔχοι· φιλέειν δ᾽ ἐγὼ οἶδα γυναῖκας,
ἐς χρονίην φιλίην οἷα φυλασσομένας.
οὐ καλὸν ἡβητῆρες· ἀπεχθαίρω γὰρ ἐκείνην
τὴν τρίχα, τὴν φθονερήν, τὴν ταχὺ φυομένην.

## 278. ΑΓΑΘΙΟΥ ΣΧΟΛ.

Αὐτή μοι Κυθέρεια καὶ ἱμερόεντες Ἔρωτες
τήξουσιν κενεὴν ἀχθόμενοι κραδίην,
ἄρσενας εἰ σπεύσω φιλέειν ποτέ. μήτε τυχήσω,
μήτ᾽ ἐπολισθήσω μείζοσιν ἀμπλακίαις.
ἅρκια θηλυτέρων ἀλιτήματα, κεῖνα κομίσσω,
καλλείψω δὲ νέους ἄφροσι Πιτταλάκῳ.

Hosted by Google

## 279. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤ.

Ληθύνει Κλεοφάντις· ὁ δὲ τρίτος ἄρχεται ἤδη
λύχνος ὑποκλάζειν ἦκα μαραινόμενος.
αἴθε δὲ καὶ κραδίης πυρσὸς συναπέσβετο λύχνῳ,
μηδέ μ' ὑπ' ἀγρύπνοις δηρὸν ἔκαιε πόθοις.
ἆ πόσα τὴν Κυθέρειαν ἐπώμοσεν ἕσπερος ἥξειν·
ἀλλ' οὔτ' ἀνθρώπων φείδεται οὔτε θεῶν.

## 280. ΑΓΑΘΙΟΥ ΣΧΟΛ.

Ἦ ῥά γε καὶ σύ, Φίλιννα, φέρεις πόθον, ἦ ῥα καὶ αὐτὴ
κάμνεις, αὐαλέοις ὄμμασι τηκομένη;
ἢ σὺ μὲν ὕπνον ἔχεις γλυκερώτατον, ἡμετέρης δὲ
φροντίδος οὔτε λόγος γίνεται, οὔτ' ἀριθμός;
εὑρήσεις τάχ' ὅμοια, τεὴν δ', ἀμέγαρτε, παρειὴν
ἀθρήσω θαμινοῖς δάκρυσι τεγγομένην.
Κύπρις γὰρ τὰ μὲν ἄλλα παλίγκοτος· ἓν δέ τι καλὸν
ἔλλαχεν, ἐχθαίρειν τὰς σοβαρευομένας.

## 281. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤ.

Χθιζά μοι Ἑρμώνασσα φιλακρήτους μετὰ κώμους
στέμμασιν αὐλείας ἀμφιπλέκοντι θύρας
ἐκ κυλίκων ἐπέχευεν ὕδωρ· ἀμάθυνε δὲ χαίτην,
ἣν μόλις ἐς τρισσὴν πλέξαμεν ἀμφιλύκην.
ἐφλέχθην δ' ἔτι μᾶλλον ὑφ' ὕδατος· ἐκ γὰρ ἐκείνης
λάθριον εἶχε κύλιξ πῦρ γλυκερῶν στομάτων.

## 282. ΑΓΑΘΙΟΥ ΣΧΟΛ.

Ἡ ῥαδινὴ Μελίτη ταναοῦ ἐπὶ γήραος οὐδῷ
τὴν ἀπὸ τῆς ἥβης οὐκ ἀπέθηκε χάριν.
ἀλλ' ἔτι μαρμαίρουσι παρηΐδες, ὄμμα δὲ θέλγειν
οὐ λάθε· τῶν δ' ἐτέων ἡ δεκὰς οὐκ ὀλίγη.

μίμνει καὶ τὸ φρύαγμα τὸ παιδικόν· ἐνθάδε δ᾽ ἔγνων
ὅττι φύσιν νικᾶν ὁ χρόνος οὐ δύναται.

283. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤ.

Δάκρυά μοι σπένδουσαν ἐπήρατον οἰκτρὰ Θεανὼ
εἶχον ὑπὲρ λέκτρων πάννυχον ἡμετέρων·
ἐξότε γὰρ πρὸς Ὄλυμπον ἀνέδραμεν ἕσπερος ἀστήρ,
μέμφετο μελλούσης ἄγγελον ἠριπόλης.
οὐδὲν ἐφημερίοις καταθύμιον. εἴ τις Ἐρώτων
λάτρις, νύκτας ἔχειν ὤφελε Κιμμερίων.

284. ΡΟΥΦΙΝΟΥ ΔΟΜ.

Πάντα σέθεν φιλέω· μοῦνον δὲ σὸν ἄκριτον ὄμμα
ἐχθαίρω, στυγεροῖς ἀνδράσι τερπόμενον.

285. ΑΓΑΘΙΟΥ ΣΧΟΛ.

Εἰργομένη φιλέειν με κατὰ στόμα δῖα Ῥοδάνθη
ζώνην παρθενικὴν ἐξετάνυσσε μέσην,
καὶ κείνην φιλέεσκεν· ἐγὼ δέ τις ὡς ὀχετηγὸς
ἀρχὴν εἰς ἑτέρην εἷλκον ἔρωτος ὕδωρ,
αὐερύων τὸ φίλημα· περὶ ζωστῆρα δὲ κούρης
μάστακι ποππύζων, τηλόθεν ἀντεφίλουν.
ἦν δὲ πόνου καὶ τοῦτο παραίφασις· ἡ γλυκερὴ γὰρ
ζώνη πορθμὸς ἔην χείλεος ἀμφοτέρου.

286. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤ.

Φράζεό μοι, Κλεοφάντις, ὅση χάρις, ὁππότε δοιοὺς
λάβρον ἐπαιγίζων ἶσος ἔρως κλονέει.
ποῖος ἄρης, ἢ τάρβος ἀπείριτον, ἠὲ τίς αἰδὼς
τούςδε διακρίνει, πλέγματα βαλλομένους,

εἴη μοι μελέεσσι τὰ Λήμνιος ἥρμοσεν ἄκμων
δεσμά, καὶ Ἡφαίστου πᾶσα δολοῤῥαφίη·
μοῦνον ἐγώ, χαρίεσσα, τεὸν δέμας ἀγκὰς ἑλίξας
θελγοίμην ἐπὶ σοῖς ἄψεσι βοσκόμενος.
δὴ τότε καὶ ξεῖνός με καὶ ἐνδάπιος καὶ ὁδίτης,
πότνα, καὶ ἀρητήρ, χἠ παράκοιτις ἴδοι.

## 287. ΑΓΑΘΙΟΥ ΣΧΟΛ.

Σπεύδων εἰ φιλέει με μαθεῖν εὐῶπις Ἐρευθώ,
πείραζον κραδίην πλάσματι κερδαλέῳ·
βήσομαι ἐς ξείνην τινὰ που χθόνα· μίμνε δὲ κούρη
ἀρτίπος, ἡμετέρου μνῆστιν ἔχουσα πόθου.
ἡ δὲ μέγα στονάχησε καὶ ἥλατο, καὶ τὸ πρόσωπον
πλῆξε, καὶ εὐπλέκτου βότρυν ἔρηξε κόμης,
καί με μένειν ἱκέτευσεν· ἐγὼ δέ τις ὡς βραδυπειθὴς
ὄμματι θρυπτομένῳ συγκατένευσα μόνον·
ὄλβιος ἐς πόθον εἰμί· τὸ γὰρ μενέαινον ἀνύσσαι
πάντων, εἰς μεγάλην τοῦτο δέδωκα χάριν.

## 288. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤ.

Ἐξότε μοι πίνοντι συνεψιάουσα Χαρικλὼ
λάθρη τοὺς ἰδίους ἀμφέβαλε στεφάνους,
πῦρ ὀλοὸν δάπτει με· τὸ γὰρ στέφος, ὡς δοκέω, τι
εἶχεν, ὃ καὶ Γλαύκην φλέξε Κρεοντιάδα.

## 289. ΑΓΑΘΙΟΥ ΣΧΟΛ.

Ἡ γραῦς ἡ τρικόρωνος, ἡ ἡμετέρους διὰ μόχθους
μοίρης ἀμβολίην πολλάκι δεξαμένη,
ἄγριον ἦτορ ἔχει, καὶ θέλγεται οὔτ' ἐπὶ χρυσῷ,
οὔτε ζωροτέρῳ μείζονι κισσυβίῳ.

τὴν κούρην δ᾽ αἰεὶ περιδέρκεται· εἰ δέ ποτ᾽ αὐτὴν
    ἀθρήσει κρυφίοις ὄμμασι ῥεμβομένην,
ἃ μέγα τολμήεσσα, ῥαπίσμασιν ἀμφὶ πρόσωπα
    πλήσσει τὴν ἁπαλὴν οἰκτρὰ κινυρομένην.
εἰ δ᾽ ἐτεὸν τὸν Ἄδωνιν ἐφίλαο, Περσεφόνεια,
    οἴκτειρον ξυνῆς ἄλγεα τηκεδόνος.
ἔστω δ᾽ ἀμφοτέροισι χάρις μία· τῆς δὲ γεραιῆς
    ῥύεο τὴν κούρην, πρίν τι κακὸν παθέειν.

## 290. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤ.

Ὄμμα πολυπτοίητον ὑποκλέπτουσα τεκούσης,
    συζυγίην μήλων δῶκεν ἐμοὶ ῥοδέων
θηλυτέρη χαρίεσσα. μάγον τάχα πυρσὸν ἐρώτων
    λαθριδίως μήλοις μίξεν ἐρευθομένοις·
εἰμὶ γὰρ ὁ τλήμων φλογὶ σύμπλοκος· ἀντὶ δὲ μαζῶν
    ὢ πόποι, ἀπρήκτοις μῆλα φέρω παλάμαις.

## 291. ΤΟΥ ΑΥΤΟΥ.

Εἰ μὲν ἐμοί, χαρίεσσα, τεῶν τάδε σύμβολα μαζῶν
    ὤπασας, ὀλβίζω τὴν χάριν ὡς μεγάλην·
εἰ δ᾽ ἐπὶ τοῖς μίμνεις, ἀδικεῖς, ὅτι λάβρον ἀνῆψας
    πυρσόν, ἀποσβέσσαι τοῦτον ἀναινομένη.
Τήλεφον ὁ τρώσας καὶ ἀκέσσατο· μὴ σύ γε κούρη
    εἰς ἐμὲ δυσμενέων γίνεο πικροτέρη.

## 292. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤ.

πέριξ τῆς πόλεως διάγοντος διὰ τὰ λύσιμα τῶν νόμων
ὑπομνηστικὸν πεμφθὲν πρὸς Παῦλον Σιλεντιάριον.

Ἐνθάδε μὲν χλοάουσα τεθηλότι βῶλος ὀράμνῳ
    φυλλάδος εὐκάρπου πᾶσαν ἔδειξε χάριν·

ἐνθάδε δὲ κλάζουσιν ὑπὸ σκιεραῖς κυπαρίσσοις
ὄρνιθες δροσερῶν μητέρες ὀρταλίχων·
καὶ λιγυρὸν βομβεῦσιν ἀκανθίδες· ἡ δ' ὀλολυγών
τρύζει, τρηχαλέαις ἐνδιάουσα βάτοις.
ἀλλὰ τί μοι τῶν ἦδος, ἐπεὶ σέο μῦθον ἀκούειν
ἤθελον, ἢ κιθάρης κρούσματα Δηλιάδος;
καί μοι δισσὸς ἔρως περικίδναται· εἰσοράᾳν γὰρ
καὶ σὲ μάκαρ ποθέω, καὶ γλυκερὴν δάμαλιν,
ἧς με περισμύχουσι μεληδόνες. ἀλλά με θεσμοὶ
εἴργουσιν ῥαδινῆς τηλόθι δορκαλίδος.

## 293. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ

ἀντίγραφον ἐπὶ τῇ αὐτῇ ὑποθέσει πρὸς τὸν φίλον Ἀγαθίαν

Θεσμὸν Ἔρως οὐκ οἶδε βιημάχος, οὐδέ τις ἄλλη
ἀνέρα νοσφίζει πρῆξις ἐρωμανίης.
εἰ δέ σε θεσμοπόλοιο μεληδόνος ἔργον ἐρύκει,
οὐκ ἄρα σοῖς στέρνοις λάβρος ἔνεστιν ἔρως.
ποῖος ἔρως, ὅτε βαιὸς ἁλὸς πόρος οἶδε μερίζειν
σὸν χρόα παρθενικῆς τηλόθεν ὑμετέρης;
νηχόμενος Λείανδρος ὅσον κράτος ἐστὶν ἐρώτων
δείκνυεν, ἐννυχίου κύματος οὐκ ἀλέγων·
σοὶ δέ, φίλος, παρέασι καὶ ὁλκάδες· ἀλλὰ θαμίζεις
μᾶλλον Ἀθηναίῃ, Κύπριν ἀπωσάμενος.
θεσμοὺς Παλλὰς ἔχει, Παφίη πόθον. εἰπέ, τίς ἀνὴρ
εἰν ἑνὶ θητεύσει Παλλάδι καὶ Παφίῃ;

## 294. ΑΓΑΘΙΟΥ ΣΧΟΛ.

Ἡ γραῦς ἡ φθονερὴ παρεκέκλιτο γείτονι κούρῃ
δόχμιον ἐν λέκτρῳ νῶτον ἐρεισαμένη,

*προβλὴς ὥς τις ἔπαλξις ἀνέμβατος· οἷα δὲ πύργος*
*ἔσκεπε τὴν κούρην ἁπλοῒς ἐκταδίη.*
*καὶ σοβαρὴ θεράπαινα πύλας σφίγξασα μελάθρου*
*κεῖτο χαλικρήτῳ νάματι βριθομένη.*
*ἔμπης οὔ μ᾿ ἐφόβησαν· ἐπεὶ στρεπτῆρα θυρέτρου*
*χερσὶν ἀδουπήτοις βαιὸν ἀειράμενος*
*φρυκτοὺς αἰθαλόεντας ἐμῆς ῥιπίσμασι λώπης*
*ἔσβεσα, καὶ διαδὺς λέχριος ἐν θαλάμῳ*
*τὴν φύλακα κνώσσουσαν ὑπέκφυγον· ἦκα δὲ λέκτρου*
*νέρθεν ὑπὸ σχοίνοις γαστέρι συρόμενος,*
*ὠρθούμην κατὰ βαιόν, ὅπῃ βατὸν ἔπλετο τεῖχος·*
*ἄγχι δὲ τῆς κούρης στέρνον ἐρεισάμενος,*
*μαζοὺς μὲν κατέεσκον· ὑπεθρύφθην δὲ προσώπῳ*
*μάστακα πιαίνων χείλεος εὐαφίῃ.*
*ἦν δ᾿ ἄρα μοι τὰ λάφυρα καλὸν στόμα, καὶ τὸ φίλημα*
*σύμβολον ἐννυχίης εἶχον ἀεθλοσύνης.*
*οὔπω δ᾿ ἐξαλάπαξα φίλης πύργωμα κορείης·*
*ἔλλ᾿ ἔτ᾿ ἀδηρίτῳ σφίγγεται ἀμβολίῃ.*
*ἔμπης ἢν ἑτέροιο μόθου στήσωμεν ἀγῶνα,*
*ναὶ τάχα πορθήσω τείχεα παρθενίης,*
*οὐ δ᾿ ἔτι με σχήσουσιν ἐπάλξιες· ἢν δὲ τυχήσω,*
*στέμματα σοὶ πλέξω, Κύπρι τροπαιοφόρε.*

### 295. *ΛΕΟΝΤΙΟΥ.*

*Ψαῦε μελισταγέων στομάτων, δέπας· εὗρες, ἄμελγε·*
*οὐ φθονέω· τὴν σὴν δ᾿ ἤθελον αἶσαν ἔχειν.*

### 296. *ΑΓΑΘΙΟΥ ΣΧΟΛ.*

*Ἐξότε τηλεφίλου πλαταγήματος ἠχέτα βόμβος*
*γαστέρα μαντῴου μάξατο κισσυβίου,*

ἔγνων ὡς φιλέεις με· τὸ δ' ἀτρεκὲς αὐτίκα πείσεις
εὐνῆς ἡμετέρης πάννυχος ἁπτομένη.
τοῦτό σε γὰρ δείξει παναληθέα· τοὺς δὲ μεθυστὰς
καλλείψω λατάγων παίγμασι τερπομένους.

## 297. ΤΟΥ ΑΥΤΟΥ.

Ἠϊθέοις οὐκ ἔστι τόσος πόνος, ὁππόσος ἡμῖν
ταῖς ἀταλοψύχοις ἔχραε θηλυτέραις.
τοῖς μὲν γὰρ παρέασιν ὁμήλικες, οἷς τὰ μερίμνης
ἄλγεα μυθεῦνται φθέγματι θαρσαλέῳ,
παίγνιά τ' ἀμφιέπουσι παρήγορα, καὶ κατ' ἀγυιὰς
πλάζονται γραφίδων χρώμασι ῥεμβόμενοι·
ἡμῖν δ' οὐδὲ φάος λεύσσειν θέμις, ἀλλὰ μελάθροις
κρυπτόμεθα, ζοφεραῖς φροντίσι τηκόμεναι.

## 298. ΙΟΥΛΙΑΝΟΥ ΑΠΟ ΥΠΑΡΧΩΝ ΑΙΓΥΠΤΟΥ.

Ἱμερτὴ Μαρίη μεγαλίζεται· ἀλλὰ μετέλθοις
κείνης, πότνα Δίκη, κόμπον ἀγηνορίης·
μὴ θανάτῳ, βασίλεια· τὸ δ' ἔμπαλιν, ἐς τρίχας ἥξοι
γήραος, ἐς ῥυτίδας σκληρὸν ἵκοιτο ῥέθος·
τίσειαν πολιαὶ τάδε δάκρυα· κάλλος ὑπόσχοι
ψυχῆς ἀμπλακίην, αἴτιον ἀμπλακίης.

## 299. ΑΓΑΘΙΟΥ ΣΧΟΛ.

„Μηδὲν ἄγαν," σοφὸς εἶπεν· ἐγὼ δέ τις ὡς ἐπέραστος,
ὡς καλός, ἠέρθην ταῖς μεγαλοφροσύναις,
καὶ ψυχὴν δοκέεσκον ὅλην ἐπὶ χερσὶν ἐμεῖο
κεῖσθαι τῆς κούρης, τῆς τάχα κερδαλέης·
ἡ δ' ὑπερηέρθη, σοβαρὴν θ' ὑπερέσχεθεν ὀφρύν,
ὥσπερ τοῖς προτέροις ἤθεσι μεμφομένη.

Hosted by Google

καὶ νῦν ὁ βλοσυρωπός, ὁ χάλκεος, ὁ βραδυπειθής,
ὁ πρὶν ἀερσιπότης, ἤριπον ἐξαπίνης·
πάντα δ᾽ ἔναλλα γένοντο· πεσὼν δ᾽ ἐπὶ γούνασι κούρη;
ἴαχον· ἱλήκοις, ἤλιτεν ἡ νεότης.

## 300. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤ.

Ὁ θρασύς, ὑψαύχην τε, καὶ ὀφρύας εἰς ἓν ἀγείρων
κεῖται παρθενικῆς παίγνιον ἀδρανέος·
ὁ πρὶν ὑπερβασίη δοκέων τὴν παῖδα χαλέπτειν,
αὐτὸς ὑποδμηθεὶς ἐλπίδος ἐκτὸς ἔβη.
καί ῥ᾽ ὁ μὲν ἱκεσίοισι πεσὼν θηλύνεται οἴκτοις·
ἡ δὲ κατ᾽ ὀφθαλμῶν ἄρσενα μῆνιν ἔχει.
παρθένε θυμολέαινα, καὶ εἰ χόλον ἔνδικον αἴθες,
σβέσσον ἀγηνορίην, ἐγγὺς ἴδ᾽ ἐς Νέμεσιν.

## 301. ΤΟΥ ΑΥΤΟΥ.

Εἰ καὶ τηλοτέρω Μερόης τεὸν ἴχνος ἐρείσεις,
πτηνὸς Ἔρως, πτηνὸν κεῖσέ με ὥςτε φέρειν.
εἰ καὶ ἐς ἀντολίην πρὸς ὁμόχροον ἵξεαι Ἠῶ,
πεζὸς ἀμετρήτοις ἕψομαι ἐν σταδίοις.
εἰ δέ τι σοὶ στέλλω βύθιον γέρας, ἵλαθι, κούρη,
εἰς σὲ θαλασσαίη τοῦτο φέρει Παφίη,
κάλλεϊ νικηθεῖσα τεοῦ χροὸς ἱμερόεντος,
τὸ πρὶν ἐπ᾽ ἀγλαΐῃ θάρσος ἀπωσαμένη.

## 302. ΑΓΑΘΙΟΥ ΣΧΟΛ.

Ποίην τις πρὸς ἔρωτας ἴοι τρίβον; ἐν μὲν ἀγυιαῖς
μαχλάδος οἰμώξεις χρυσομανεῖ σπατάλῃ.
εἰ δ᾽ ἐπὶ παρθενικῆς πελάσοις λέχος, ἐς γάμον ἥξεις
ἔννομον, ἢ ποινὰς τὰς περὶ τῶν φθορέων.

Hosted by Google

κουριδίαις δὲ γυναιξὶν ἀτερπέα κύπριν ἐγείρειν
τίς κεν ὑποτλαίη, πρὸς χρέος ἑλκόμενος;
μοίχια λέκτρα κάκιστα, καὶ ἔκτοθεν εἰσὶν ἐρώτων,
ὧν μέτα παιδομανὴς κείσθω ἀλιτροσύνη.
χήρη δ', ἡ μὲν ἄκοσμος ἔχει πάνδημον ἐραστήν,
καὶ πάντα φρονέει δήνεα μαχλοσύνης·
ἡ δὲ σαοφρονέουσα μόλις φιλότητι μιγεῖσα
δέχνυται ἀστόργου κέντρα παλιμβολίης,
καὶ στυγέει τὸ τελεσθέν· ἔχουσα δὲ λείψανον αἰδοῦς
ἄψ ἐπὶ λυσιγάμους χάζεται ἀγγελίας·
ἢν δὲ μιγῇς ἰδίῃ θεραπαινίδι, τλῆθι καὶ αὐτὸς
δοῦλος ἐναλλάγδην δμωΐδι γινόμενος·
εἰ δὲ καὶ ὀθνείῃ, τότε σοι νόμος αἶσχος ἀνάψει,
ὕβριν ἀνιχνεύων δώματος ἀλλοτρίου.
πάντ' ἄρα Διογένης ἔφυγεν τάδε, τὸν δ' Ὑμέναιον
ἤειδεν παλάμῃ, Λαΐδος οὐ χατέων.

303. ΑΔΗΛΟΝ.

Κλαγγῆς πέμπεται ἦχος ἐς οὔατα, καὶ θόρυβος δὲ
ἄσπετος ἐν τριόδοις· οὐκ ἀλέγεις, Παφίη;
ἐνθάδε γὰρ σέο κοῦρον ὁδοιπορέοντα κατέσχον
ὅσσοι ἐνὶ κραδίῃ πυρσὸν ἔχουσι πόθου.

304. ΑΔΗΛΟΝ.

Ὄμφαξ οὐκ ἐπένευσας· ὅτ' ἦς σταφυλή, παρεπέμψω.
μὴ φθονέσῃς δοῦναι κἂν βραχὺ τῆς σταφίδος.

305. ΑΔΗΛΟΝ.

Κούρη τίς μ' ἐφίλησεν ὑφέσπερα χείλεσιν ὑγροῖς.
νέκταρ ἔην τὸ φίλημα· τὸ γὰρ στόμα νέκταρος ἔπνει·
καὶ μεθύω τὸ φίλημα, πολὺν τὸν ἔρωτα πεπωκώς.

Hosted by Google

## 306. ΦΙΛΟΔΗΜΟΥ.

*Δακρύεις, ἐλεεινὰ λαλεῖς, περίεργα θεωρεῖς,*
*ζηλοτυπεῖς, ἅπτῃ πολλάκι, πυκνὰ φιλεῖς.*
*ταῦτα μέν ἐστιν ἐρῶντος· ὅταν δ' εἴπω· παράκειμαι.*
*καὶ σὺ μένεις — ἁπλῶς οὐδὲν ἐρῶντος ἔχεις.*

## 307. ΑΝΤΙΦΙΛΟΥ.

*Χεῦμα μὲν Εὐρώταο Λακωνικόν· ἁ δ' ἀκάλυπτος,*
*Λήδα· χὠ κύκνῳ κρυπτόμενος, Κρονίδας.*
*οἳ δέ με τὸν δυςέρωτα καταίθετε, καὶ τί γένωμαι*
*ὄρνεον; εἰ γὰρ Ζεὺς κύκνος, ἐγὼ κόρυδος.*

## 308. ΤΟΥ ΑΥΤΟΥ ἢ μᾶλλον ΦΙΛΟΔΗΜΟΥ.

*Ἡ κομψή, μεῖνόν με· τί σοι καλὸν οὔνομα; ποῦ σε*
*ἔστιν ἰδεῖν; ὃ θέλεις δώσομεν· οὐδὲ λαλεῖς.*
*ποῦ γίνῃ; πέμψω μετὰ σοῦ τινά. μή τις ἔχει σε;*
*ὦ σοβαρή, ὑγίαιν'. οὐδ' ὑ γ ί α ι ν ε λέγεις;*
*καὶ πάλι, καὶ πάλι σοὶ προςελεύσομαι· οἶδα μαλάσσειν*
*καὶ σοῦ σκληροτέρας· νῦν δ' ὑγίαινε, γύναι.*

## 309. ΔΙΟΦΑΝΟΥΣ ΜΥΡΙΝΑΙΟΥ.

*Φιλήτης ὁ Ἔρως καλοῖτ' ἂν ὄντως·*
*ἀγρυπνεῖ, θρασύς ἐστιν, ἐκδιδύσκει.*

# VI.

# ΕΠΙΓΡΑΜΜΑΤΑ
## ΑΝΑΘΗΜΑΤΙΚΑ.

### 1. ΠΛΑΤΩΝΟΣ.

Ἡ σοβαρὸν γελάσασα καθ' Ἑλλάδος, ἡ τὸν ἐραστῶν
ἑσμὸν ἐνὶ προθύροις Λαῒς ἔχουσα νέων,
τῇ Παφίῃ τὸ κάτοπτρον· ἐπεὶ τοίη μὲν ὁρᾶσθαι
οὐκ ἐθέλω· οἵη δ' ἦν πάρος οὐ δύναμαι.

### 2. ΣΙΜΩΝΙΔΟΥ.

Τόξα τάδε πτολέμοιο πεπαυμένα δακρυόεντος
νηῷ Ἀθηναίης κεῖται ὑπωρόφια,
πολλάκι δὴ στονόεντα κατὰ κλόνον ἐν δαῒ φωτῶν
Περσῶν ἱππομάχων αἵματι λουσάμενα.

### 3. ΔΙΟΝΥΣΙΟΥ.

Ἡράκλεες, Τρηχῖνα πολύλλιθον, ὅς τε καὶ Οἴτην
καὶ βαθὺν εὐδένδρου πρῶνα πατεῖς Φολόης,
τοῦτό σοι ἀγροτέρης Διονύσιος αὐτὸς ἐλαίης
χλωρὸν ἀπὸ δρεπάνῳ θῆκε ταμὼν ῥόπαλον.

### 4. ΛΕΩΝΙΔΟΥ.

Εὔκαμπές ἄγκιστρον, καὶ δούρατα δουλιχόεντα,
χώρμειήν, καὶ τὰς ἰχθυδόκους σπυρίδας,

Hosted by Google

καὶ τοῦτον νηκτοῖσιν ἐπ' ἰχθύσι τεχνασθέντα
κύρτον, ἁλιπλάγκτων εὕρεμα δικτυβόλων,
τρηχὺν τε τριόδοντα, Ποσειδαώνιον ἔγχος,
καὶ τοὺς ἐξ ἀκάτων διχθαδίους ἐρέτας,
ὁ γριπεὺς Διόφαντος ἀνάκτορι θήκατο τέχνας,
ὡς θεμις, ἀρχαίας λείψανα τεχνοσύνας.

5. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Δούνακας ἀκροδέτους, καὶ τὴν ἁλινηχέα κώπην,
γυρῶν τ' ἀγκίστρων λαιμοδακεῖς ἀκίδας,
καὶ λίνον ἀκρομόλιβδον, ἀπαγγελτῆρά τε κύρτου
φελλόν, καὶ δισσὰς σχοινοτενεῖς σπυρίδας,
καὶ τὸν ἐγερσιφαῆ πυρὸς ἔγκυον ἔμφλογα πέτρον,
ἄγκυράν τε, νεῶν πλαζομένων παγίδα,
Πείσων ὁ γριπεὺς Ἑρμῇ πόρεν, ἔντρομος ἤδη
δεξιτερήν, πολλοῖς ἀχθόμενος καμάτοις.

6. ΑΔΕΣΠΟΤΟΝ.

εἰς τὸν ἐν Πυθοῖ λέβητα.

Ἀμφιτρύων μ' ἀνέθηκεν ἐὼν ἀπὸ Τηλεβοάων.

7. ΑΛΛΟ.

Σκαιὸς πυγμαχέων με ἑκηβόλῳ Ἀπόλλωνι
νικήσας ἀνέθηκε τεῒν περικαλλὲς ἄγαλμα.

8. ΑΛΛΟ.

Λαοδάμας τρίποδ' αὐτὸν ἐϋσκόπῳ Ἀπόλλωνι
μουναρχέων ἀνέθηκε τεῒν περικαλλὲς ἄγαλμα.

9. ΜΝΑΣΑΛΚΟΥ.

Σοὶ μὲν καμπύλα τόξα, καὶ ἰοχέαιρα φαρέτρα,
δῶρα παρὰ Προμάχου, Φοῖβε, τάδε κρέμαται·

ἰοὺς δὲ πτερόεντας ἀνὰ κλόνον ἄνδρες ἔχουσιν
ἐν κραδίαις, ὀλοὰ ξείνια δυςμενέων.

## 10. ΑΝΤΙΠΑΤΡΟΥ.

Τριτογενές, Σώτειρα, Διὸς φυγοδέμνιε κούρα,
Παλλάς, ἀπειροτόκου δεσπότι παρθενίης,
βωμόν τοι κεραοῦχον ἐδείματο τόνδε Σέλευκος,
Φοιβείαν ἰαχὰν φθεγγομένου στόματος.

## 11. ΣΑΤΥΡΙΟΥ.

Θηρευτὴς δολιχὸν τόδε δίκτυον ἄνθετο Δᾶμις·
Πίγρης δ᾽ ὀρνίθων λεπτόμιτον νεφέλην,
τριγλοφόρους δὲ χιτῶνας ὁ νυκτερέτης θέτο Κλείτωρ
τῷ Πανί, τρισσῶν ἐργασίην καμάτων.
ἵλαος εὐσεβέεσσιν ἀδελφειοῖς ἐπίνευσον
πτηνά, καὶ ἀγροτέρων κέρδεα, καὶ νεπόδων.

## 12. ΙΟΥΛΙΑΝΟΥ ΑΙΓΥΠΤΙΟΥ ΑΠΟ ΥΠΑΡΧΩΝ.

Γνωτῶν τρισσατίων ἐκ τρισσατίης λίνα θήρης
δέχνυσο, Πάν· Πίγρης σοὶ γὰρ ἀπὸ πτερύγων
ταῦτα φέρει· θηρῶν, Δᾶμις· Κλείτωρ δέ, θαλάσσης.
καί σφι δὸς εὐαγρεῖν ἠέρα, γαῖαν, ὕδωρ.

## 13. ΛΕΩΝΙΔΟΥ.

Οἱ τρισσοι τοι ταῦτα τὰ δίκτυα θῆκαν ὅμαιμοι,
ἀγρότα Πάν, ἄλλης ἄλλος ἀπ᾽ ἀγρεσίης.
ὧν ἀπὸ μὲν πτανῶν Πίγρης τάδε· ταῦτα δὲ Δᾶμις,
τετραπόδων· Κλείτωρ δ᾽ ὁ τρίτος, εἰναλίων.
ἀνθ᾽ ὧν τῷ μὲν πέμπε δι᾽ ἠέρος εὔστοχον ἄγρην·
τῷ δέ, διὰ δρυμῶν· τῷ δέ, δι᾽ ἠϊόνων.

Hosted by Google

## 14. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Πανὶ τάδ᾽ αὔθαιμοι τρισσοὶ θέσαν ἄρμενα τέχνας·
Δᾶμις μὲν θηρῶν ἄρκυν ὀρειονόμων·
Κλείτωρ δὲ πλωτῶν τάδε δίκτυα· τῶν δὲ πετηνῶν
ἄῤῥηκτον Πίγρης τάνδε δεραιοπέδαν.
τὸν μὲν γὰρ ξυλόχων, τὸν δ᾽ ἠέρος, ὃν δ᾽ ἀπὸ λίμνας
οὔ ποτε σὺν κενεοῖς οἶκος ἔδεκτο λίνοις.

## 15. ΤΟΥ ΑΥΤΟΥ οἱ δὲ ΖΩΣΙΜΟΥ.

Εἰναλίων Κλείτωρ τάδε δίκτυα, τετραπόδων δὲ
Δᾶμις, καὶ Πίγρης θῆκεν ὑπηερίων
Πανί, κασιγνήτων ἱερὴ τριάς· ἀλλὰ σὺ θήρην
ἠέρι, κὴν πόντῳ, κὴν χθονὶ τοῖσδε νέμε.

## 16. ΑΡΧΙΟΥ.

Σοὶ τάδε, Πὰν σκοπιῆτα, παναίολα δῶρα σύναιμοι
τρίζυγες ἐκ τρισσῆς θέντο λινοστασίης.
δίκτυα μὲν Δᾶμις θηρῶν· Πίγρης δέ, πετηνῶν
λαιμοπέδας· Κλείτωρ δ᾽, εἰναλίφοιτα λίνα·
ὧν τὸν μὲν καὶ ἐςαῦθις ἐν ἠέρι, τὸν δ᾽ ἔτι θείης
εὔστοχον ἐν πόντῳ, τὸν δὲ κατὰ δρυόχους.

## 17. ΛΟΥΚΙΑΝΟΥ.

Αἱ τρισσαί τοι ταῦτα τὰ παίγνια θῆκαν ἑταῖραι,
Κύπρι μάκαιρ᾽, ἄλλης ἄλλη ἀπ᾽ ἐργασίης.
ὧν ἀπὸ μὲν πυγῆς Εὐφρὼ τάδε· ταῦτα δὲ Κλειώ,
ὡς θέμις· ἡ τριτάτη δ᾽ Ἀτθὶς ἀπ᾽ οὐρανίων.
ἀνθ᾽ ὧν τῇ μὲν πέμπε τὰ παιδικά; δεσπότι, κέρδη·
τῇ δὲ τὰ θηλείης· τῇ δὲ τὰ μηδετέρης.

## 18. ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ΥΠΑΡΧΩΝ ΑΙΓΥΠΤ.

Λαῒς ἀμαλδυνθεῖσα χρόνῳ περικαλλέα μορφήν,
γηραλέων στυγέει μαρτυρίην ῥυτίδων·
ἔνθεν πικρὸν ἔλεγχον ἀπεχθήρασα κατόπτρου,
ἄνθετο δεσποίνῃ τῆς πάρος ἀγλαΐης.
ἀλλὰ σύ μοι, Κυθέρεια, δέχου νεότητος ἑταῖρον
δίσκον, ἐπεὶ μορφὴ σὴ χρόνον οὐ τρομέει.

## 19. ΤΟΥ ΑΥΤΟΥ.

Κάλλος μὲν, Κυθέρεια, χαρίζεαι· ἀλλὰ μαραίνει
ὁ χρόνος ἑρπύζων σήν, βασίλεια, χάριν.
δώρου δ' ὑμετέροιο παραπταμένου με, Κυθήρη,
δέχνυσο καὶ δώρου, πότνια, μαρτυρίην.

## 20. ΤΟΥ ΑΥΤΟΥ.

Ἑλλάδα νικήσασαν ὑπέρβιον ἀσπίδα Μήδων
Λαῒς θῆκεν ἑῷ κάλλεϊ ληϊδίην·
μουνῳ ἐνικήθη δ' ὑπὸ γήραϊ, καὶ τὸν ἔλεγχον
ἄνθετό σοί, Παφίη, τὸν νεότητι φίλον·
ἧς γὰρ ἰδεῖν στυγέει πολιῆς παναληθέα μορφήν,
τῆσδε συνεχθαίρει καὶ σκιόεντα τύπον.

## 21. ΑΔΕΣΠΟΤΟΝ.

Σκάπτειραν κήποιο φιλυδρήλοιο δίκελλαν,
καὶ δρεπάνην καυλῶν * ἄσκυλον ἐκτομίδα,
τήν τ' ἐπινωτίδιον βροχετῶν ῥακόεσσαν ἀρωγόν,
καὶ τὰς ἀῤῥήκτους ἐμβάδας ὠμοβοεῖς,
τόν τε δι' εὐτρήτοιο πέδου δύνοντα κατ' ἰθὺ
ἀρτιφυοῦς κράμβης πάσσαλον ἐμβολέα,

καὶ σκάφος ἐξ ὀχετῶν πρασιὴν διψεῦσαν ἐγείρειν
αὐχμηροῖο θέρευς οὔ ποτε παυσάμενον,
σοὶ τῷ κηπουρῷ Ποτάμων ἀνέθηκε, Πρίηπε,
κτησάμενος ταύτης ὄλβον ἀπ' ἐργασίης.

22. ΑΔΗΛΟΝ [οἱ δὲ ΖΩΝΑ.]

Ἀρτιχανῆ ῥοιάν τε, καὶ ἀρτίχνουν τόδε μῆλον,
καὶ ῥυτιδόφλοιον σῦκον ἐπομφάλιον,
πορφύρεόν τε βότρυν μεθυπίδακα, πυκνοῤῥᾶγα,
καὶ κάρυον χλωρῆς ἀντίδορον λεπίδος,
ἀγροιώτῃ τῷδε μονοστόρθυγγι Πριήπῳ
θῆκεν ὁ καρποφύλαξ, δενδριακὴν θυσίην.

23. ΑΛΛΟ.

Ἑρμεία, σήραγγος ἁλίκτυπον ὃς τόδε ναίεις
εὐστιβὲς αἰθυίαις ἰχθυβόλοισι λέπας,
δέξο σαγηναίοιο λίνου τετριμμένον ἅλμῃ
λείψανον, αὐχμηρόν, ξανθὲν ἐπ' ἠϊόνων,
γριπούς τε, πλωτῶν τε πάγην, περιδινέα κύρτον,
καὶ φελλὸν κρυφίων σῆμα λαχόντα βόλων.
καὶ βαθὺν ἱππείης πεπεδημένον ἅμματι χαίτης,
οὐκ ἄτερ ἀρκίστρων, λιμνοφυῆ δόνακα.

24. ΑΛΛΟ.

Δαίμονι τῇ Συρίῃ τὸ μάτην τριβὲν Ἡλιόδωρος
δίκτυον ἐν νηοῦ τοῦδ' ἔθετο προπύλοις.
ἁγνὸν ἀπ' ἰχθυβόλου θήρας τόδε· πολλὰ δ' ἐν αὐτῷ
φυκί' ἀπ' εὐόρμων εἵλκυσεν αἰγιαλῶν.

25. ΙΟΥΛΙΑΝΟΥ ΑΠΟ ΥΠΑΡΧ. ΑΙΓ.

Κεκμηὼς χρονίῃ πεπονηκότα δίκτυα θήρῃ
ἄνθετο ταῖς Νύμφαις ταῦτα γέρων Κινύρης

οὐ γὰρ ἔτι τρομερῇ παλάμῃ πεδιηγέα κόλπον
εἶχεν ἀκοντίζειν οἰγομένοιο λίνου.
εἰ δ᾽ ὀλίγου δώρου τελέθει δόσις, οὐ τόδε, Νύμφαι,
μέμψις, ἐπεὶ Κινύρου ταῦθ᾽ ὅλος ἔσκε βίος.

## 26. ΤΟΥ ΑΥΤΟΥ.

Ταῖς Νύμφαις Κινύρης τόδε δίκτυον· οὐ γὰρ ἀείρει
γῆρας ἀκοντιστὴν μόχθον ἐκηβολίης.
ἰχθύες, ἀλλὰ νέμοισθε γεγηθότες, ὅττι θαλάσσῃ
δῶκεν ἔχειν Κινύρου γῆρας ἐλευθερίην.

## 27. ΘΕΑΙΤΗΤΟΥ ΣΧΟΛ.

Ἰχθυβόλον πολυωπὲς ἀπ᾽ εὐθήρου λίνον ἄγρης,
τῶν τ᾽ ἀγκιστροδέτων συζυγίην δονάκων,
καὶ πιστὸν βυθίων παγίδων σημάντορα φελλόν,
καὶ λίθον ἀντιτύπῳ κρούσματι πυρσοτόκον,
ἄγκυράν τ᾽ ἐπὶ τοῖς ἐχενηΐδα, δεσμὸν ἀέλλης,
στρεπτῶν τ᾽ ἀγκίστρων ἰχθυπαγῆ στόματα,
δαίμοσιν ἀγροδότῃσι θαλασσοπόρος πόρε Βαίτων
γήραϊ νουσοφόρῳ βριθομένης παλάμης.

## 28. ΙΟΥΛΙΑΝΟΥ ΑΠΟ ΥΠΑΡΧ. ΑΙΓ.

Καμπτομένους δόνακας,κώπην θ᾽ ἅμα,νηὸς ἱμάσθλην,
γυρῶν τ᾽ ἀγκίστρων καμπυλόεσσαν ἴτυν,
εὐκόλπου τε λίνοιο περίπλοα κύκλα μολίβδῳ,
καὶ φελλοὺς κύρτων μάρτυρας εἰναλίων,
ζεῦγός τ᾽ εὐπλεκέων σπυρίδων, καὶ μητέρα πυρσῶν
τήνδε λίθον, νηῶν θ᾽ ἕδρανον ἀσταθέων
ἄγκυραν, γριπεύς, Ἐριούνιε, σοὶ τάδε Βαίτων
δῶρα φέρει, τρομεροῦ γήραος ἀντιάσας.

Hosted by Google

## 29. ΤΟΥ ΑΥΤΟΥ.

Ἑρμείῃ Βαίτων ἁλινηχέος ὄργανα τέχνης
ἄνθετο, δειμαίνων γήραος ἀδρανίην·
ἄγκυραν, γυρόν τε λίθον, σπυρίδας θ᾽ ἅμα φελλῷ,
ἄγκιστρον, κώπην, καὶ λίνα, καὶ δόνακας.

## 30. ΜΑΚΗΔΟΝΙΟΥ ΥΠΑΤΟΥ.

Δίκτυον ἀκρομόλιβδον Ἀμύντιχος ἀμφὶ τριαίνῃ
δῆσε γέρων, ἁλίων παυσάμενος καμάτων,
ἐς δὲ Ποσειδάωνα καὶ ἁλμυρὸν οἶδμα θαλάσσης
εἶπεν, ἀποσπένδων δάκρυον ἐκ βλεφάρων·
Οἶσθα, μάκαρ, κέκμηκα· κακοῦ δ᾽ ἐπὶ γήραος ἡμῖν
ἄλλυτος ἡβάσκει γυιοτακὴς πενίη.
θρέψον ἔτι σπαῖρον τὸ γερόντιον, ἀλλ᾽ ἀπὸ γαίης,
ὡς ἐθέλεις, μεδέων καὶ χθονὶ καὶ πελάγει.

## 31. ΑΔΗΛΟΝ οἱ δὲ ΝΙΚΑΡΧΟΥ.

Αἰγιβάτῃ τόδε Πανί, καὶ εὐκάρπῳ Διονύσῳ,
καὶ Δηοῖ Χθονίῃ ξυνὸν ἔθηκα γέρας.
αἰτέομαι δ᾽ αὐτοὺς καλὰ πώεα, καὶ καλὸν οἶνον,
καὶ καλὸν ἀμῆσαι καρπὸν ἀπ᾽ ἀσταχύων.

## 32. ΑΓΑΘΙΟΥ ΣΧΟΛ.

Λικραίρῳ δικέρωτα, δασυκνάμῳ δασυχαίταν,
ἴξαλον εὐσκάρθμῳ, λόχμιον ὑλοβάτᾳ,
Πανὶ φιλοσκοπέλῳ λάσιον παρὰ πρῶνα Χαρικλῆς
κνακὸν ὑπηνήταν τόνδ᾽ ἀνέθηκε τράγον.

## 33. ΜΑΙΚΙΟΥ.

Αἰγιαλῖτα Πρίηπε, σαγηνευτῆρες ἔθηκαν
δῶρα παρ᾽ ἀκταίης σοὶ τάδ᾽ ἐπωφελίης,

θύννων εὐκλώστοιο λίνου βυσσώμασι ῥόμβον
φράξαντες, γλαυκαῖς ἐν παρόδοις πελάγευς,
φηγίνεον κρητῆρα, καὶ αὐτούργητον ἐρείκης
βάθρον, ἰδ' ὑαλέην οἰνοδόκον κύλικα,
ὡς ἂν ὑπ' ὀρχησμῶν λελυγισμένον ἔγκοπον ἴχνος
ἀμπαύσῃς, ξηρὴν δίψαν ἐλαυνόμενος.

34. ΡΙΑΝΟΥ.

Τὸ ῥόπαλον τῷ Πανὶ καὶ ἰοβόλον Πολύαινος
τόξον, καὶ κάπρου τούςδε καθᾶψε πόδας,
καὶ ταύταν γωρυτόν, ἐπαυχένιόν τε κυνάγχαν
θῆκεν ὀρειάρχᾳ δῶρα συαγρεσίης.
ἀλλ', ὦ Πὰν σκοπιῆτα, καὶ εἰς ὀπίσω Πολύαινον
εὔαγρον πέμποις υἱέα Σιμύλεω.

35. ΛΕΩΝΙΔΟΥ.

Τοῦτο χιμαιροβάτᾳ Τελέσων αἰγώνυχι Πανὶ
τὸ σκύλος ἀγρείης τεῖνε κατὰ πλατάνου,
καὶ τὰν ῥαιβόκρανον ἐϋστόρθυγγα κορύναν,
ᾇ πάρος αἱμωποὺς ἐστυφέλιξε λύκους,
γαυλούς τε γλαγοπῆγας, ἀγωγαῖόν τε κυνάγχαν,
καὶ τὰν εὐρίνων λαιμοπέδαν σκυλάκων.

36. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛ.

Δράγματά σοι χώρου μικραύλακος, ὦ φιλόπυρε
Δηοῖ, Σωσικλέης θῆκεν ἀρουροπόνος,
εὔσταχυν ἀμήσας τὸν νῦν σπόρον· ἀλλὰ καὶ αὖτις
ἐκ καλαμητομίης ἀμβλὺ φέροι δρέπανον.

37. ΑΔΗΛΟΝ.

Γήραϊ δὴ καὶ τόνδε κεκυφότα φηγινὸν ὄζον
οὔρεσιν ἀγρῶται βουκόλοι ἐξέταμον

Πανὶ δέ μιν ξέσσαντες ὁδῷ ἔπι καλὸν ἄθυρμα
κάτθεσαν, ὡραίων ῥύτορι βουκολίων.

## 38. ΦΙΛΙΠΠΟΥ.

Δίκτυά σοι μολίβῳ στεφανούμενα, δυσιθάλασσα,
καὶ κώπην, ἅλμης τὴν μεθύουσαν ἔτι,
κητοφόνον τε τρίαιναν, ἐν ὕδασι καρτερὸν ἔγχος,
καὶ τὸν ἀεὶ φελλοῖς κύρτον ἐλεγχόμενον,
ἄγκυράν τε νεῶν στιβαρὴν χέρα, καὶ φιλοναύτην
σπέρμα πυρὸς σώζειν πέτρον ἐπιστάμενον,
ἀρχιθάλασσε Πόσειδον, Ἀμύντιχος ὕστατα δῶρα
θῆκατ' ἐπεὶ μογερῆς παύσαθ' ἁλιπλανίης.

## 39. ΑΡΧΙΟΥ.

Αἱ τρισσαί, Σατύρη τε, καὶ Ἡράκλεια, καὶ Εὐφρώ,
θυγατέρες Ξούθου καὶ Μελίτης, Σάμιαι·
ἁ μέν, ἀραχναίοιο μίτου πολυδίνεα λάτριν,
ἄτρακτον, δολιχᾶς οὐκ ἄτερ ἁλακάτας·
ἁ δέ, πολυσπαθέων μελεδήμονα κερκίδα πέπλων
εὔθροον· ἁ τριτάτα δ' εἰροχαρῆ τάλαρον.
οἷς ἔσχον χερνῆτα βίον δηναιόν, Ἀθάνα
πότνια, ταῦθ' αἱ σαὶ σοὶ θέσαν ἐργάτιδες.

## 40. ΜΑΚΗΔΟΝΙΟΥ.

Τὼ βόε μοι, σῖτον δὲ τετεύχατον, ἵλαθι Δηοῖ·
δέχνυσο δ' ἐκ μάζης, οὐκ ἀπὸ βουκολίων·
δὸς δὲ βόε ζώειν ἐτύμω, καὶ πλῆσον ἀρούρας
δράγματος, ὀλβίστην ἀντιδιδοῦσα χάριν.
σῷ γὰρ ἀρουροπόνῳ φιλαλήθεϊ τέτρατος ἤδη
ὀκτάδος ἐνδεκάτης ἐστὶ φίλος λυκάβας,

οὐδέποτ' ἀμήσαντι Κορινθικόν, οὔ ποτε πικρᾶς
τῆς ἀφιλοσταχύου γευσαμένῳ πενίης

41. ΑΓΑΘΙΟΥ ΣΧΟΛ.

Χαλκὸν ἀροτρητῆρ', κλασιβώλακα, νειοτόμῆα,
καὶ τὴν ταυροδέτιν βύρσαν ὑπαυχενίην,
καὶ βούπληκτρον ἄκαιναν, ἐχετλήεντά τε γόμφον
Δηοῖ Καλλιμένης ἄνθετο γειοπόνος,
τμήξας εὐαρότου ῥάχιν ὀργάδος· εἰ δ' ἐπινεύσεις
τὸν στάχυν ἀμῆσαι, καὶ δρεπάνην κομίσω.

42. ΑΔΕΣΠΟΤΟΝ.

Ἀλκιμένης ὁ πενιχρὸς ἐπὶ σμικρῷ τινι κήπῳ
τοῦ φιλοκαρποφόρου γευσάμενος θέρεος,
ἰσχάδα καὶ μῆλον καὶ ὕδωρ γέρα Πανὶ κομίζων,
εἶπε· σύ μοι βιότου τῶν ἀγαθῶν ταμίας,
ὧν τὰ μὲν ἐκ κήποιο, τὰ δ' ὑμετέρης ἀπὸ πέτρης
δέξο, καὶ ἀντιδιδοὺς δὸς πλέον ὧν ἔλαβες.

43. ΠΛΑΤΩΝΟΣ.

Τὸν Νυμφῶν θεράποντα, φιλόμβριον, ὑγρὸν ἀοιδόν,
τὸν λιβάσιν κούφαις τερπόμενον βάτραχον
χαλκῷ μορφώσας τις ὁδοιπόρος, εὖχος ἔθηκεν,
καύματος ἐχθροτάτην δίψαν ἀκεσσάμενος.
πλαζομένῳ γὰρ ἔδειξεν ὕδωρ, εὔκαιρον ἀείσας
κοιλάδος ἐκ δροσερῆς ἀμφιβίῳ στόματι·
φωνὴν δ' ἡγήτειραν ὁδοιπόρος οὐκ ἀπολείπων
[εὗρε πόσιν γλυκερῶν ὧν ἐπόθη ναμάτων.]

44. ΑΔΗΛΟΝ οἱ δὲ ΛΕΩΝΙΔΟΥ ΤΑΡ.

Γλευκοπόταις Σατύροισι, καὶ ἀμπελοφύτορι Βάκχῳ
Ἡρῶναξ πρώτης δράγματα φυταλιῆς,

τρισσῶν οἰνοπέδων τρισσοὺς ἱερώσατο τούςδε,
ἐμπλήσας οἴνου πρωτοχύτοιο, κάδους·
ὧν ἡμεῖς σπείσαντες, ὅσον θέμις, οἴνοπι Βάκχῳ
καὶ Σατύροις, Σατύρων πλείονα πιόμεθα.

## 45. ΑΔΗΛΟΝ.

Ὀξέσι λαχνήεντα δέμας κέντροισιν ἐχῖνον
ῥαγολόγον, γλυκερῶν σίντορα θειλοπέδων,
σφαιρηδὸν σταφυλῇσιν ἐπιτροχάοντα δοκεύσας,
Κώμαυλος Βρομίῳ ζωὸν ἀνεκρέμασεν.

## 46. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Τὰν πρὶν Ἐνυαλίοιο καὶ Εἰράνας ὑποφᾶτιν,
μέλπουσαν κλαγγὰν βάρβαρον ἐκ στομάτων,
χαλκοπαγῆ σάλπιγγα, γέρας Φερένικος Ἀθάνᾳ,
λήξας καὶ πολέμου καὶ θυμέλας, ἔθετο.

## 47. ΤΟΥ ΑΥΤΟΥ.

Κερκίδα τὴν φιλαοιδὸν Ἀθηναίῃ θέτο Βιττὼ
ἄνθεμα, λιμηρῆς ἅρμενον ἐργασίης,
εἶπε δέ· Χαῖρε θεά, καὶ τήνδ᾽ ἔχε· χήρη ἐγὼ γὰρ
τέσσαρας εἰς ἐτέων ἐρχομένη δεκάδας,
ἀρνεῦμαι τὰ σὰ δῶρα· τὰ δ᾽ ἔμπαλι, Κύπριδος ἔργων
ἅπτομαι· ὥρης γὰρ κρεῖσσον ὁρῶ τὸ θέλειν.

## 48. ΑΔΗΛΟΝ.

Κερκίδα τὴν φιλοεργὸν Ἀθηναίῃ θέτο Βιττὼ
ἄνθεμα, λιμηρῆς ἅρμενον ἐργασίης,
πάντας ἀποστύξασα γυνὴ τότε τοὺς ἐν ἐρίθοις
μόχθους, καὶ στυγερὰς φροντίδας ἱστοπόνων.

εἶπε δ' Ἀθηναίῃ· τῶν Κύπριδος ἅψομαι ἔργων,
τὴν Πάριδος κατὰ σοῦ ψῆφον ἐνεγκαμένη.

49. ΑΛΛΟ.

Ἀνάθημα Διομήδους.

Χάλκεός εἰμι τρίπους· Πυθοῖ δ' ἀνάκειμαι ἄγαλμα,
καί μ' ἐπὶ Πατρόκλῳ θῆκεν πόδας ὠκὺς Ἀχιλλεύς·
Τυδείδης δ' ἀνέθηκε βοὴν ἀγαθὸς Διομήδης,
νικάσας ἵπποισιν ἐπὶ πλατὺν Ἑλλήσποντον.

50. ΣΙΜΩΝΙΔΟΥ.

Τόνδε ποθ' Ἕλλανες ῥώμῃ χερός, ἔργῳ Ἄρηος
εὐτόλμῳ ψυχᾶς λάματι πειθόμενοι,
Πέρσας ἐξελάσαντες, ἐλεύθερον Ἑλλάδι κόσμον
ἱδρύσαντο Διὸς βωμὸν Ἐλευθερίου

51. ΑΔΗΛΟΝ.

Μῆτερ ἐμή, γαίη Φρυγίων, θρέπτειρα λεόντων,
Δίνδυμον ᾗ μύσταις οὐκ ἀπάτητον ὄρος,
σοὶ τάδε θῆλυς Ἄλεξις ἑῆς οἰστρήματα λύσσης
ἄνθετο, χαλκοτύπου παυσάμενος μανίης,
κύμβαλά τ' ὀξύφθογγα, βαρυφθόγγων τ' ἀλαλητὸν
αὐλῶν, οὓς μόσχου λοξὸν ἔκαμψε κέρας,
τυμπανά τ' ἠχήεντα, καὶ αἵματι φοινιχθέντα
φάσγανα, καὶ ξανθάς, τὰς πρὶν ἔσεισε, κόμας.
ἵλαος, ὦ δέσποινα, τὸν ἐν νεότητι μανέντα,
γηραλέον προτέρης παῦσον ἀγρειοσύνης.

52. ΣΙΜΩΝΙΔΟΥ.

Οὕτω τοι μελία ταναὰ ποτὶ κίονα μακρὸν
ἧσο, Πανομφαίῳ Ζηνὶ μένουσ' ἱερά·

ἤδη γὰρ χαλκός τε γέρων, αὐτή τε τέτρυσαι
    πυκνὰ κραδαινομένα δηΐῳ ἐν πολέμῳ.

## 53. ΒΑΚΧΥΛΙΔΟΥ.

Εὔδημος τὸν νηὸν ἐπ' ἀγροῦ τόνδ' ἀνέθηκεν
    τῷ πάντων ἀνέμων πιοτάτῳ Ζεφύρῳ.
εὐξαμένῳ γάρ οἱ ἦλθε βοαθόος, ὄφρα τάχιστα
    λικμήσῃ πεπόνων καρπὸν ἀπ' ἀσταχύων.

## 54. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤ.

Τὸν χαλκοῦν τέττιγα Λυκωρέϊ Λοκρὸς ἀνάπτει
    Εὔνομος, ἀθλοσύνας μνᾶμα φιλοστεφάνου.
ἦν γὰρ ἀγὼν φόρμιγγος· ὁ δ' ἀντίος ἵστατο Πάρθης·
    ἀλλ' ὅκα δὴ πλάκτρῳ Λοκρὶς ἔκρεξε χέλυς,
βραγχὰν τετριγυῖα λύρας ἀπεκόμπασε χορδά·
    πρὶν δὲ μέλος σκάζειν εὔποδος ἁρμονίας,
ἁβρὸν ἐπιτρύζων κιθάρας ὕπερ ἕζετο τέττιξ,
    καὶ τὸν ἀποιχομένου φθόγγον ὑπῆλθε μίτου·
τὰν δὲ πάρος λαλαγεῦσαν ἐν ἄλσεσιν ἀγρότιν ἀχὼ
    πρὸς νόμον ἁμετέρας τρέψε λυροκτυπίας.
τῷ δέ, μάκαρ Λητῷε, τεῷ τέττιγι γεραίρει,
    χάλκεον ἱδρύσας ᾠδὸν ὑπὲρ κιθάρας.

## 55. ΙΩΑΝΝΟΥ ΤΟΥ ΒΑΡΒΟΚΑΛΛΟΥ.

Πειθοῖ καὶ Παφίᾳ πακτὰν καὶ κηρία σίμβλων
    τᾶς καλυκοστεφάνου νυμφίος Εὐρυνόμας
Ἑρμοφίλας ἀνέθηκεν ὁ βωκόλος· ἀλλὰ δέχεσθε
    ἀντ' αὐτᾶς πακτάν, ἀντ' ἐμέθεν τὸ μέλι.

## 56. ΜΑΚΗΔΟΝΙΟΥ ΥΠΑΤ.

Κισσοκόμαν Βρομίῳ Σάτυρον σεσαλαγμένον οἴνῳ
    ἀμπελοεργὸς ἀνὴρ ἄνθετο Δηναγόρας.

Hosted by Google

τῷ δὲ καρηβαρέοντι, δορήν, τρίχα, κισσόν, ὀπώρην,
πάντα λέγοις μεθύειν, πάντα συνεκλέλυται·
καὶ φύσιν ἀφθόγγοισι τύποις μιμήσατο τέχνη,
ὕλης ἀντιλέγειν μηδὲν ἀνασχομένης.

## 57. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤ.

Σοὶ τόδε, πενταίχμοισι ποδῶν ὡπλισμένον ἀκμαῖς,
ἀκροχανές, φοινῷ κρατὶ συνεξερύσας,
ἄνθετο δέρμα λέοντος ὑπὲρ πίτυν, αἰγιπόδη Πάν,
Τεῦκρος Ἄραψ, καὐτὰν ἀγρότιν αἰγανέαν.
αἰχμῇ δ' ἡμιβρῶτι τύποι μίμνουσιν ὀδόντων,
ᾇ ἔπι βρυχητὰν θὴρ ἐκένωσε χόλον.
Ὑδριάδες Νύμφαι δὲ σὺν ὑλονόμοισι χορείαν
στᾶσαν, ἐπεὶ καὐτὰς πολλάκις ἐξεφόβει.

## 58. ΙΣΙΔΩΡΟΥ ΣΧΟΛΑΣΤ. ΒΟΛΒΥΘΙΩΤΟΥ.

Λέκτρα μάτην μίμνοντα, καὶ ἀπρήκτου σκέπας εὐνῆς
ἄνθετο σοί, Μήνη, σὸς φίλος Ἐνδυμίων,
λιδόμενος· πολιὴ γὰρ ὅλου κρατέουσα καρήνου
οὐ σώζει προτέρης ἴχνιον ἀγλαΐης.

## 59. ΑΓΑΘΙΟΥ ΣΧΟΛ.

Τῇ Παφίῃ στεφάνους, τῇ Παλλάδι τὴν πλοκαμῖδα,
Ἀρτέμιδι ζώνην ἄνθετο Καλλιρόη.
εὕρετο γὰρ μνηστῆρα τὸν ἤθελε, καὶ λάχεν ἥβην
σώφρονα, καὶ τεκέων ἄρσεν ἔτικτε γένος.

## 60. ΠΑΛΛΑΔΑ.

Ἀντὶ βοός, χρυσέου τ' ἀναθήματος Ἴσιδι τούςδε
θῆκαιυ τοὺς λιπαροὺς Παμφίλιον πλοκάμους.

Hosted by Google

ἡ δὲ θεὸς τούτοις γάνυται πλέον, ἤπερ Ἀπόλλων
χρυσῷ, ὃν ἐκ Λυδῶν Κροῖσος ἔπεμψε θεῷ.

61. ΤΟΥ ΑΥΤΟΥ.

Ὦ ξυρὸν οὐράνιον, ξυρὸν ὄλβιον, ᾧ πλοκαμῖδας
κειραμένη πλεκτάς, ἄνθετο Παμφίλιον,
οὔ σέ τις ἀνθρώπων χαλκεύσατο· πὰρ δὲ καμίνῳ
Ἡφαίστου, χρυσέην σφῦραν ἀειραμένη
ἡ λιπαροκρήδεμνος, ἵν᾽ εἴπωμεν καθ᾽ Ὅμηρον,
χερσί σε ταῖς ἰδίαις ἐξεπόνησε Χάρις.

62. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Κυκλοτερῆ μόλιβον, σελίδων σημάντορα πλευρῆς,
καὶ σμίλαν δονάκων ἀκροβελῶν γλυφίδα,
καὶ κανονῖδ᾽ ὑπάτην, καὶ τὴν παρὰ θῖνα κίσηριν,
αὐχμηρὸν πόντου τρηματόεντα λίθον,
Καλλιμένης Μούσαις, ἀποπαυσάμενος καμάτοιο,
θῆκεν, ἐπεὶ γήρᾳ κανθὸς ἐπεσκέπετο.

63. ΔΑΜΟΧΑΡΙΔΟΣ.

Γραμματόκῳ πλήθοντα μελάσματι κυκλομόλιβδον
καὶ κανόνα γραφίδων ἰθυτάτων φύλακα,
καὶ γραφικοῖο δοχεῖο κελαινοτάτοιο ῥεέθρου,
ἄκρα τε μεσσοτόμους εὐγλυφέας καλάμους,
τρηχαλέην τε λίθον, δονάκων εὐθηγέα κόσμον,
ἔνθα περιτριβέων ὀξὺ χάραγμα πέλει,
καὶ γλύφανον καλάμου, πλατέος γλωχῖνα σιδήρου,
ὅπλα σοὶ ἐμπορίης ἄνθετο τῆς ἰδίης
κεκμηὼς Μενέδημος ὑπ᾽ ἀχλύος ὄμμα παλαιόν,
Ἑρμεία· σὺ δ᾽ ἀεὶ φέρβε σὸν ἐργατίνην.

## 64. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤ.

*Γυρὸν κυανέης μόλιβον σημάντορα γραμμῆς,*
*καὶ σκληρῶν ἀκόνην τρηχαλέην καλάμων,*
*καὶ πλατὺν ὀξυντῆρα μεσοσχιδέων δονακήων,*
*καὶ κανόνα γραμμῆς ἰθυπόρου ταμίην,*
*καὶ χρόνιον γλυπτοῖσι μέλαν πεφυλαγμένον ἄντροις,*
*καὶ γλυφίδας καλάμων ἄκρα μελαινομένων*
*Ἑρμείῃ Φιλόδημος, ἐπεὶ χρόνῳ ἐκκρεμὲς ἤδη*
*ἦλθε κατ᾽ ὀφθαλμῶν ῥυσὸν ἐπισκύνιον.*

## 65. ΤΟΥ ΑΥΤΟΥ.

*Τὸν τροχόεντα μόλιβδον, ὃς ἀτραπὸν οἶδε χαράσσειν*
*ὀρθὰ παραξύων ἰθυτενῆ κανόνα,*
*καὶ χάλυβα σκληρὸν καλαμηφάγον, ἀλλὰ καὶ αὐτὸν*
*ἡγεμόνα γραμμῆς ἀπλανέος κανόνα,*
*καὶ λίθον ὀκριόεντα, δόναξ ὅθι δισσὸν ὀδόντα*
*θήγεται ἀμβλυνθεὶς ἐκ δολιχογραφίης,*
*καὶ βυθίην Τρίτωνος ἁλιπλάγκτοιο χαμεύνην,*
*σπόγγον, ἀκεστορίην πλαζομένης γραφίδος,*
*καὶ κίστην πολύωπα μελανδόκον, εἰν ἑνὶ πάντα*
*εὐγραφέος τέχνης ὄργανα ῥυομένην,*
*Ἑρμῇ Καλλιμένης, τρομερὴν ὑπὸ γήραος ὄκνῳ*
*χεῖρα καθαρμόζων ἐκ δολιχῶν καμάτων.*

## 66. ΤΟΥ ΑΥΤΟΥ.

*Ἄβροχον ἀπλανέος μόλιβον γραπτῆρα κελεύθου,*
*ἧς ἔπι ῥιζοῦται γράμματος ἁρμονίη,*
*καὶ κανόνα τροχαλοῖο κυβερνητῆρα μολίβδου,*
*καὶ λίθακα τρητὴν σπόγγῳ ἐειδομένην,*

καὶ μέλανος σταθεροῖο δοχήιον, ἀλλὰ καὶ αὐτῶν
εὐγραφέων καλάμων ἀκροβαφεῖς ἀκίδας,
σπόγγον, ἁλὸς βλάστημα, χυτῆς λειμῶνα θαλάσσης,
καὶ χαλκὸν δονάκων τέκτονα λεπταλέων
ἐνθάδε Καλλιμένης φιλομειδέσιν ἄνθετο Μούσαις,
γήραϊ κεκμηὼς ὄμματα καὶ παλάμην.

## 67. ΙΟΥΛΙΑΝΟΥ ΑΠΟ ΥΠΑΡΧ. ΑΙΓΥΠΤ.

Ἀκλινέας γραφίδεσσιν ἀπιθύνοντα πορείας
τόνδε μόλιβδον ἄγων, καὶ μολίβου κανόνα
σύνδρομον ἡνιοχῆα, πολυτρήτου τ᾽ ἀπὸ πέτρης
λᾶαν, ὃς ἀμβλεῖαν θῆγε γένυν καλάμου,
σὺν δ᾽ αὐτοῖς καλάμοισι μέλαν, μυστήρια φωνῆς
ἀνδρομέης, σμίλης τ᾽ ὀξυτόμον κοπίδα,
Ἑρμείῃ Φιλόδημος, ἐπεὶ χρόνος ὄμματος αὐγὴν
ἀμβλύνας παλάμῃ δῶκεν ἐλευθερίην.

## 68. ΤΟΥ ΑΥΤΟΥ.

Αὔλακας ἰθυπόρων γραφίδων κύκλοισι χαράσσων
ἄνθεμα σοὶ τροχόεις οὗτος ἐμὸς μόλιβος,
καὶ μολίβῳ χρωστῆρι κανὼν τύπον ὀρθὸν ὀπάζων,
καὶ λίθος εὐσχιδέων θηγαλέη καλάμων,
σὺν καλάμοις ἄγγος τε μελανδόκον, οἷσι φυλάσσει
αἰὼν ἐσσομένοις γῆρυν ἀποιχομένων·
δέχνυσο καὶ γλυπτῆρα σιδήρεον, ᾧ θρασὺς Ἄρης
σὺν Μούσαις ἰδίην δῶκε διακτορίην,
Ἑρμείη, σὰ γὰρ ὅπλα· σὺ δ᾽ ἀδρανέος Φιλοδήμου
ἴθυνε ζωὴν λειπομένοιο βίου.

## 69. ΜΑΚΗΔΟΝΙΟΥ ΥΠΑΤ.

Νῆα Ποσειδάωνι πολύπλανος ἄνθετο Κράντας,
ἔμπεδον ἐς νηοῦ πέζαν ἐρεισάμενος,

αὔρης οὐκ ἀλέγουσαν ἐπὶ χθονός, ἧς ἔπι Κράντας
εὐρὺς ἀνακλινθεὶς ἄτρομον ὕπνον ἔχει.

## 70. ΤΟΥ ΑΥΤΟΥ.

Νῆα σοί, ὦ πόντου βασιλεῦ καὶ κοίρανε γαίης,
ἀντίθεμαι Κράντας, μηκέτι τεγγομένην,
νῆα, πολυπλανέων ἀνέμων πτερόν, ἧς ἔπι δειλὸς
πολλάκις ᾠϊσάμην εἰςελάαν Ἀΐδῃ·
πάντα δ' ἀπειπάμενος, φόβον, ἐλπίδα, πόντον, ἀέλλας,
πιστὸν ὑπὲρ γαίης ἴχνιον ἡδρασάμην.

## 71. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤ.

Σοὶ τὰ λιποστεφάνων διατίλματα μυρία φύλλων,
σοὶ τὰ νοοπλήκτου κλαστὰ κύπελλα μέθης,
βόστρυχα σοὶ μύροισι δεδευμένα, τῇδε κονίῃ
σκῦλα ποθοβλήτου κεῖται Ἀναξαγόρα,
σοὶ τάδε, Λαΐς, ἅπαντα· παρὰ προθύροις γὰρ ὁ δειλὸς
τοῖσδε, σὺν ἀκρήβαις πολλάκι παννυχίσας,
οὐκ ἔπος, οὐ χαρίεσσαν ὑπόσχεσιν, οὐδὲ μελιχρῆς
ἐλπίδος ὑβριστὴν μῦθον ἐπεσπάσατο.
φεῦ φεῦ, γυιοτακὴς δὲ λιπὼν τάδε σύμβολα κώμων,
μέμφεται ἀστρέπτου κάλλεϊ θηλυτέρης.

## 72. ΑΓΑΘΙΟΥ ΣΧΟΛ.

Εἶδον ἐγὼ τὸν πτῶκα καθήμενον ἐγγὺς ὀπώρης
βακχιάδος, πουλὺν βότρυν ἀμεργόμενον·
ἀγρονόμῳ δ' ἀγόρευσα, καὶ ἔδρακεν· ἀπροϊδὴς δὲ
ἐγκέφαλον πλήξας ἐξεκύλισε λίθῳ.
εἶπε δὲ καὶ χαίρων ὁ γεωπόνος· ἆ τάχα Βάκχῳ
λοιβῆς καὶ θυέων μικτὸν ἔδωκα γέρας.

## 73. ΜΑΚΗΔΟΝΙΟΥ ΥΠΑΤ.

*Δάφνις ὁ συρικτὰς τρομερῷ περὶ γήραϊ κάμνων,*
*χειρὸς ἀεργηλᾶς τάνδε βαρυνομένας*
*Πανὶ φιλαγραύλῳ νομίαν ἀνέθηκε κορύναν,*
*γήραϊ ποιμενίων παυσάμενος καμάτων.*
*εἰςέτι γὰρ σύριγγι μελίσδομαι, εἰςέτι φωνὰ*
*ἄτρομος ἐν τρομερῷ σώματι ναιετάει.*
*ἀλλὰ λύκοις σίντῃσιν ἀν᾽ οὔρεα μή τις ἐμεῖο*
*αἰπόλος ἀγγείλῃ γήραος ἀδρανίην.*

## 74. ΑΓΑΘΙΟΥ ΣΧΟΛ.

*Βασσαρὶς Εὐρυνόμη σκοπελοδρόμος, ἥ ποτε ταύρων*
*πολλὰ τανυκραίρων στέρνα χαραξαμένη,*
*ἡ μέγα καγχάζουσα λεοντοφόνοις ἐπὶ νίκαις,*
*παίγνιον ἀτλήτου θηρὸς ἔχουσα κάρη,*
*ἱλήκοις Διόνυσε, τεῆς ἀμέλησα χορείης,*
*Κύπριδι βακχεύειν μᾶλλον ἐπειγομένη.*
*θῆκα δὲ σοὶ τάδε ῥόπτρα, παραῤῥίψασα δὲ κισσὸν*
*χεῖρα περισφίγξω χρυσοδέτῳ σπατάλῃ.*

## 75. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤ.

*Ἄνδροκλος ὤπολλον, τόδε σοὶ κέρας, ᾧ ἔπι πουλὺν*
*θῆρα βαλών, ἄγρας εὔσκοπον εἶχε τύχην.*
*οὔποτε γὰρ πλαγκτὸς γυρᾶς ἐξᾶλτο κεραίας*
*ἰὸς ἐπ᾽ ἠλεμάτῳ χειρὸς ἐκηβολίᾳ.*
*ὁσσάκι γὰρ τόξοιο πανάγρετος ἴαχε νευρά,*
*τοσσάκις ἦν ἀγρεὺς ἠέρος ἢ ξυλόχου.*
*ἀνθ᾽ ὧν σοὶ τόδε, Φοῖβε, τὸ Λύκτιον ὅπλον ἀγινεῖ,*
*χρυσείαις πλέξας μείλιον ἀμφιδέαις.*

Hosted by Google

## 76. ΑΓΑΘΙΟΥ ΣΧΟΛ.

Σὸς πόσις Ἀγχίσης, τοῦ εἵνεκα πολλάκι, Κύπρι,
 τὸ πρὶν ἐς Ἰδαίην ἔτρεχες ἠϊόνα,
νῦν μόλις εὗρε μέλαιναν ἀπὸ κροτάφων τρίχα κόψαι,
 θῆκε δὲ σοὶ προτέρης λείψανον ἡλικίης.
ἀλλὰ θεά, δύνασαι γάρ, ἢ ἡβητῆρά με τεῦξον,
 ἢ καὶ τὴν πολιὴν ὡς νεότητα δέχου.

## 77. ΕΡΑΤΟΣΘΕΝΟΥΣ ΣΧΟΛΑΣΤ.

Οἰνοπότας Ξενοφῶν κενεὸν πίθον ἄνθετο, Βάκχε·
 δέχνυσο δ' εὐμενέως· ἄλλο γὰρ οὐδὲν ἔχει.

## 78. ΤΟΥ ΑΥΤΟΥ.

Τὼς τρητὼς δόνακας, τὸ νάκος τόδε, τάν τε κορύναν
 ἄνθεσο Πανὶ φίλῳ, Δάφνι γυναικοφίλα.
ὦ Πάν, δέχνυσο δῶρα τὰ Δάφνιδος· ἶσα γὰρ αὐτῷ
 καὶ μολπὰν φιλέεις, καὶ δύςερως τελέθεις.

## 79. ΑΓΑΘΙΟΥ ΣΧΟΛ.

Ἄσπορα, Πὰν λοφιῆτα, τάδε Στρατόνικος ἀροτρεὺς
 ἀντ' εὐεργεσίης ἄνθετό σοι τεμένη.
βόσκε δ', ἔφη, χαίρων τὰ σὰ ποίμνια, καὶ σέο χώρην
 δέρκεο, τὴν χαλκῷ μηκέτι τεμνομένην.
αἴσιον εὑρήσεις τὸ ἐπαύλιον· ἐνθάδε γάρ σοι
 Ἠχὼ τερπομένη καὶ γάμον ἐκτελέσει.

## 80. ΤΟΥ ΑΥΤΟΥ.

Δαφνιακῶν βίβλων * Ἀγαθηϊὰς ἐννεάς εἰμι·
 ἀλλά μ' ὁ τεκτήνας ἄνθετο σοί, Παφίη.
οὐ γὰρ Πιερίδεσσι τόσον μέλω, ὅσσον Ἔρωτι,
 ὄργια τοσσατίων ἀμφιέπουσα πόθων.

Hosted by Google

αἰτεῖ δ' ἀντὶ πόνων, ἵνα οἱ διὰ σεῖο παρείη
ἤ τινα μὴ φιλέειν, ἢ ταχὺ πειθομένην.

## 81. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤ.

Ἀσπίδα ταυρείην, ἔρυμα χροός, ἀντιβίων τε
πολλάκις ἐγχείην γευσαμένην χολάδων,
καὶ τὸν ἀλεξιβέλεμνον ἀπὸ στέρνοιο χιτῶνα,
καὶ κόρυν ἱππείαις θριξὶ δασυνομένην.
ἄνθετο Λυσίμαχος γέρας Ἄρεϊ, γηραλέον νῦν
ἀντὶ πανοπλίης βάκτρον ἀμειψάμενος.

## 82. ΤΟΥ ΑΥΤΟΥ.

Αὐλοὺς Πανὶ Μελίσκος· ὁ δ' ἔννεπε μὴ γέρας αἴρειν
τούτοις· ἐκ καλάμων οἶστρον ἐπεσπασάμην.

## 83. ΜΑΚΗΔΟΝΙΟΥ ΥΠΑΤΟΥ.

Τὴν κιθάρην Εὔμολπος ἐπὶ τριπόδων ποτὲ Φοίβῳ
ἄνθετο, γηραλέην χεῖρ' ἐπιμεμφόμενος,
εἶπε δέ· μὴ ψαύσαιμι λύρης ἔτι, μηδ' ἐθελήσω
τῆς πάρος ἁρμονίης ἐμμελέτημα φέρειν.
ἠϊθέοις μελέτω κιθάρης μίτος· ἀντὶ δὲ πλήκτρου,
σκηπανίῳ τρομερὰς χεῖρας ἐρεισάμεθα.

## 84. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤ.

Ζηνὶ τόδ' ὀμφάλιον σάκεος τρύφος, ᾧ ἔπι λαιὰν
ἔσχεν ἀριστεύων, ἄνθετο Νικαγόρας·
πᾶν δὲ τὸ λοιπὸν ἄκοντες, ἰσήριθμός τε χαλάζῃ
χερμάς, καὶ ξιφέων ἐξεκόλαψε γένυς.
ἀλλὰ καὶ ἀμφίδρυπτον ἐὸν τόδε χειρὶ μεναίχμᾳ
σώζετο Νικαγόρᾳ, σῶζε δὲ Νικαγόραν.
θεσμὸν τὸν Σπάρτας μενεφύλοπιν ἀμφὶ βοείᾳ
τῇδέ τις ἀθρήσει πάντα φυλασσόμενον.

Hosted by Google

## 85. ΠΑΛΛΑΔΑ.

ἀνάθημα πεπαιγμένον.

Τὸν θώ, καὶ τὰς κνή, τάν τ᾽ ἀσπίδα, καὶ δόρυ, καὶ κρᾶ
Γορδιοπριλάριος ἄνθετο Τιμοθέῳ.

## 86. ΕΥΤΟΛΜΙΟΥ ΣΧΟΛ. ΙΛΛΟΥΣΤΡ.

εἰς τὸ παιχθὲν ὑπὸ Παλλαδᾶ.

Κνημῖδας, θώρηκα, σάκος, κόρυν, ἔγχος Ἀθήνῃ
Ῥοῦφος Μεμμιάδης Γέλλιος ἐκρέμασεν.

## 87. ΑΔΗΛΟΝ.

Ἄνθετο σοὶ κορύνην καὶ νεβρίδας ἡμέτερος Πάν,
Εὔϊε, καλλείψας σὸν χορὸν ἐκ Παφίης.
Ἠχὼ γὰρ φιλέει, καὶ πλάζεται· ἀλλὰ σύ, Βάκχε,
ἵλαθι τῷ ξυνὴν ἀμφιέποντι τύχην.

## 88. ΑΝΤΙΦΑΝΟΥΣ ΜΑΚΕΔΟΝΟΣ.

Αὐτή σοὶ Κυθέρεια τὸν ἱμερόεντ᾽ ἀπὸ μαστῶν,
Ἰνώ, λυσαμένη κεστὸν ἔδωκεν ἔχειν,
ὡς ἂν θελξινόοισιν ἀεὶ φίλτροισι δαμάζῃς
ἀνέρας· ἐχρήσω δ᾽ εἰς ἐμὲ πᾶσι μόνον.

## 89. ΜΑΙΚΙΟΥ ΚΟΙΝΤΟΥ.

Ἀκταίης νησῖδος ἁλιξάντοισι, Πρίηπε,
χοιράσι, καὶ τρηχεῖ τερπόμενε σκοπέλῳ,
σοὶ Πάρις ὀστρακόδερμον ὑπ᾽ εὐθήροισι δαμέντα
ὁ γριπεὺς καλάμοις κάραβον ἐκρέμασεν,
σάρκα μὲν ἔμπυρον αὐτὸς ὑφ᾽ ἡμίβρωτον ὀδόντα
θεὶς μάκαρ, αὐτὸ δὲ σοὶ τοῦτο πόρε σκύβαλον·
τῷ σὺ δίδου μὴ πολλά, δι᾽ εὐάγρου δὲ λίνοιο,
δαῖμον, ὑλακτούσης νηδύος ἡσυχίην.

Hosted by Google

## 90. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Ἄγκυραν ἐμβρύοικον, ἐρυσινηΐδα,
κώπας τε δισσὰς τὰς ἀπωσικυμάτους,
καὶ δικτύοις μόλιβδον ἠψιδωμένον,
κύρτους τε φελλοῖς τοὺς ἐπεσφραγισμένους,
καὶ πῖλον ἀμφίκρηνον ὑδασιστεγῆ,
λίθον τε ναύταις ἑσπέρης * πυρητόκον,
ἁλὸς τύραννε, σοί, Πόσειδον, Ἀρχικλῆς
ἔθηκε, λήξας τῆς ἀπ' ᾐόνων ἄλης.

## 91. ΘΑΛΛΟΥ ΜΙΛΗΣΙΟΥ.

Ἀσπίδα μὲν Πρόμαχος, τὰ δὲ δούρατα θῆκεν Ἀκοντεύς,
τὸ ξίφος Εὐμήδης, τόξα δὲ ταῦτα Κύδων,
Ἱππομέδων τὰ χαλινά, κόρυν δ' ἀνέθηκε Μελάντας,
κνημῖδας Νίκων, κοντὸν Ἀριστόμαχος,
τὸν θώρηκα Φιλῖνος· ἀεὶ δ', Ἄρες βροτολοιγέ,
σκῦλα φέρειν δῴης πᾶσιν ἀπ' ἀντιπάλων.

## 92. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝ.

Αὐλὸν κατινευτῆρα τὸν φιλήνεμον,
ῥίνην τε κνησίχρυσον ὠκυδήκτορα,
καὶ τὸν δίχηλον καρκίνον πυραγρέτην,
πτωκὸς πόδας τε τούσδε λειψανηλόγους,
ὁ χρυσοτέκτων Δημοφῶν Κυλληνίῳ
ἔθηκε, γήρᾳ κανθὸν ἐζοφωμένος.

## 93. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Ἁρπαλίων ὁ πρέσβυς, ὁ πᾶς ῥυτίς, ὁ ὑπιλινευτής,
τόνδε παρ' Ἡρακλεῖ θῆκέ με τὸν σιβύνην,
ἐκ πολλοῦ πλειῶνος ἐπεὶ βάρος οὐκέτι χεῖρες
ἔσθενον, εἰς κεφαλὴν δ' ἦλυθε λευκοτέρην.

## 94. *ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝ.*

*Ἀρξόχειρα ταῦτά σοι τὰ τύμπανα,*
*καὶ κύμβαλ' ὀξύδουπα κοιλοχείλεα,*
*διδύμους τε λωτοὺς κεροβόας, ἐφ' οἷς ποτε*
*ἐπωλόλυξεν αὐχένα στροβιλίσας,*
*λυσιφλεβῆ τε σάγαριν ἀμφιθηγέα,*
*λεοντόδιφρε σοί, Ῥέη, Κλυτοσθένης*
*ἔθηκε, λυσσητῆρα γηράσας πόδα.*

## 95. *ΑΝΤΙΦΙΛΟΥ.*

*Βουστρόφον ἀκροσίδαρον, ἀπειλητῆρα μύωπα,*
*καὶ πήραν μέτρου σιτοδόκον σπορίμου,*
*γαμψόν τε δρέπανον, σταχυητόμον ὅπλον ἀρούρης,*
*καὶ παλιουρόφορον, χεῖρα θέρευς, θρίνακα,*
*καὶ τρητοὺς ποδεῶνας ὁ γατόμος ἄνθετο Δηοῖ*
*Πάρμις, ἀνιήρων παυσάμενος καμάτων*

## 96. *ΕΡΥΚΙΟΥ.*

*Γλαύκων καὶ Κορύδων, οἱ ἐν οὔρεσι βουκολέοντες,*
*Ἀρκάδες ἀμφότεροι, τὰν κεραὰν δαμάλην*
*Πανὶ φιλωρείτᾳ Κυλληνίῳ αὐερύσαντες*
*ἔρρεξαν, καί οἱ δωδεκάδωρα κέρα*
*ἅλῳ μακροτένοντι ποτὶ πλατάνιστον ἔπαξαν*
*εὐρεῖαν, νομίῳ καλὸν ἄγαλμα θεῷ.*

## 97. *ΑΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ.*

*Δοῦρας Ἀλεξάνδροιο· λέγει δέ σε γράμματ' ἐκεῖνον*
*ἐκ πολέμου θέσθαι σύμβολον Ἀρτέμιδι,*
*ὅπλον ἀνικήτοιο βραχίονος. ἃ καλὸν ἔγχος,*
*ᾧ πόντος καὶ χθὼν εἶκε κραδαινομένῳ.*

Hosted by Google

ἵλαθι δοῦρας ἀταρβές· ἀεὶ δέ σε πᾶς τις ἀθρήσας
ταρβήσει, μεγάλης μνησάμενος παλάμης.

## 98. ΖΩΝΑ.

Δηοῖ λικμαίῃ, καὶ ἐναυλακοφοιτισιν Ὥραις
Ἡρῶναξ πενιχρῆς ἐξ ὀλιγηροσίης
μοῖραν * ἀλωεῖται στάχυος, πάνσπερμά τε ταῦτα
ὄσπρι' ἐπὶ πλακίνου τοῦδ' ἔθετο τρίποδος,
ἐκ μικρῶν ὀλίγιστα· πέπατο γὰρ οὐ μέγα τοῦτο
κληρίον ἐν λυπρῇ τῇδε γεωλοφίῃ.

## 99. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝ.

Κόψας ἐκ φηγοῦ σὲ τὸν αὐτόφλοιον ἔθηκεν
Πᾶνα Φιλοξενίδης, ὁ κλυτὸς αἰγελάτης,
θύσας αἰγιβάτην πολιὸν τράγον, ἔν τε γάλακτι
πρωτογόνῳ βωμοὺς τοὺς ἱεροὺς μεθύσας.
ἀνθ' ὧν ἐν σηκοῖς διδυματόκοι αἶγες ἔσονται
γαστέρα, φεύγουσαι τρηχὺν ὀδόντα λύκου.

## 100. ΚΡΙΝΑΓΟΡΟΥ.

Λαμπάδα, τὴν κούροις ἱερὴν ἔριν, ὠκὺς ἐνέγκας,
οἷα Προμηθείης μνῆμα πυροκλοπίης,
νίκης κλεινὸν ἄεθλον, ἔτ' ἐκ χερὸς ἔμπυρον Ἑρμῇ
θῆκεν * ὁμωνυμίῃ παῖς πατρὸς Ἀντιφάνης.

## 101. ΦΙΛΙΠΠΟΥ.

Ξίφη τὰ πολλῶν κνωδάλων λαιμητόμα
πυριτρόφους τε ῥιπίδας * πυρηνέμους,
ἠθμόν τε πουλύτρητον, ἠδὲ τετράπουν,
πυρὸς γέφυραν, ἐσχάρην κρεηδόκον,
ζωμήρυσίν τε τὴν λίπους ἀφρηλόγον,
ὁμοῦ κρεάγρῃ τῇ σιδηροδακτύλῳ,



Hosted by Google

βραδυσκελὴς Ἥφαιστε, σοὶ Τιμασίων
ἔθηκεν, ἀκμῆς γυῖον ὠρφανωμένος.

## 102. ΤΟΥ ΑΥΤΟΥ.

Ῥοιὴν ξανθοχίτωνα, γεραιόφλοιά τε σῦκα,
καὶ ῥοδέας σταφυλῆς ὠμὸν ἀποσπάδιον,
μῆλον θ' ἡδύπνουν λεπτῇ πεποκωμένον ἄχνῃ,
καὶ κάρυον χλωρῶν ἐκφανὲς ἐκ λεπίδων,
καὶ σίκυον χνοάοντα, τὸν ἐν φύλλοις πεδοκοίτην,
καὶ πέρκην ἤδη χρυσοχίτων' ἐλάην,
σοί, φιλοδῖτα Πρίηπε, φυτοσκάφος ἄνθετο Λάμων,
δένδρεσι καὶ γυίοις εὐξάμενος θαλέθειν.

## 103. ΤΟΥ ΑΥΤΟΥ.

Στάθμην ἰθυτενῆ μολιβαχθέα, δουριτυπῆ τε
σφῦραν, καὶ γυρὰς ἀμφιδέτους ἀρίδας,
καὶ στιβαρὸν πέλεκυν στελεχητόμον, ἰθύδρομόν τε
πρίονα, μιλτείῳ στάγματι πειθόμενον,
τρύπανά θ' ἑλκεσίχειρα, τέρετρά τε, μιλτοφυρῆ τε
σχοῖνον, ὑπ' ἀκρονύχῳ ψαλλομένην κανόνι,
σοί, κούρη γλαυκῶπι, Λεόντιχος ὤπασε δῶρον,
ἄνθος ἐπεὶ γυίων πᾶν ἀπέδυσε χρόνος.

## 104. ΤΟΥ ΑΥΤΟΥ.

Σπερμοφόρον πήρην ὠμαχθέα, κωλεσίβωλον
σφῦραν, καὶ γαμψὰς πυρολόγους δρεπάνας,
καὶ τριβόλους ὀξεῖς ἀχυρότριβας, ἱστοβόην τε
σὺν γυροῖς ἀρότροις, καὶ φιλόγαιον ὕνιν
κέντρα τ' ὀπισθονυγῆ, καὶ βούστροφα δεσμὰ τενόντων,
καὶ τρίνακας ξυλίνας, χεῖρας ἀρουροπόνων,

γυῖα * πεπηρωθεὶς Λυσίξενος αὔλακι πολλῇ
ἐκρέμασεν Δηοῖ τῇ σταχυοστεφάνῳ.

## 105. ΑΠΟΛΛΩΝΙΔΟΥ.

Τρῖγλαν ἀπ' ἀνθρακιῆς καὶ φυκίδα σοὶ λιμενῖτιν,
Ἄρτεμι, δωρεῦμαι Μῆνις ὁ δικτυβόλος,
καὶ ζωρόν, κεράσας ἰσοχειλέα, καὶ τρύφος ἄρτου,
αὖον ἐπιθραύσας, τὴν πενιχρὴν θυσίην·
ἀνθ' ἧς μοι πλησθέντα δίδου θηράμασιν αἰὲν
δίκτυα· σοὶ δέδοται πάντα, μάκαιρα, λίνα.

## 106. ΖΩΝΑ.

Τοῦτο σοί, ὑλειῶτα, κατ' ἀγριάδος πλατάνοιο
δέρμα λυκορραίστης ἐκρέμασεν Τελέσων,
καὶ τὰν ἐκ κοτίνοιο καλαύροπα, τὰν πόκα τῆνος
πολλάκι ῥομβητὰν ἐκ χερὸς ἠκροβόλει.
ἀλλὰ τύ, Πὰν βουνῖτα, τὰ μὴ πολύολβά τε δέξαι
δῶρα, καὶ * εὐάγρει τῷδε πέτασσον ὄρος.

## 107. ΦΙΛΙΠΠΟΥ.

Ὑλησκόπῳ με Πανὶ θηρευτὴς Γέλων
ἔθηκε λόγχην, ἧς ἀπέθρισε χρόνος
ἀκμὴν ἐν ἔργῳ, καὶ λίνων πολυστρόφων
γεραιὰ τρύχη, καὶ πάγας δεραγχέας,
νευροπλεκεῖς τε κνωδάλων ἐπισφύρους
ὠκεῖς ποδίστρας, καὶ τραχηλοδεσμότας
κλοιοὺς κυνούχους· γυῖα γὰρ δαμεὶς χρόνῳ
ἀπεῖπεν ἤδη τὴν ὀρεινόμον πλάνην.

## 108. ΜΥΡΙΝΟΥ.

Ὑψηλῶν ὀρέων ἔφοροι, κεραοὶ χοροπαῖκται,
Πᾶνες, βουχίλου κράντορες Ἀρκαδίης,

εὔαργον θείητε καὶ εὐχίμαρον Διότιμον,
δεξάμενοι λαμπρῆς δῶρα θυηπολίης.

### 109. ΑΝΤΙΠΑΤΡΟΥ.

Γηραλέον νεφέλας τρῦχος τόδε, καὶ τριέλικτον
ἰχνοπέδαν, καὶ τὰς νευροτενεῖς παγίδας,
κλωβούς τ' ἀμφιῤῥῶγας, ἀνασπαστούς τε δεράγχας,
καὶ πυρὶ θηγαλέους ὀξυπαγεῖς στάλικας,
καὶ τὰν εὔκολλον δρυὸς ἰκμάδα, τόν τε πετηνῶν
ἀγρευτὰν ἰξῷ μυδαλέον δόνακα,
καὶ κρυφίου τρίκλωστον ἐπισπαστῆρα βόλοιο,
ἄρκυν τε κλαγερῶν λαιμοπέδαν γεράνων,
σοί, Πὰν ὦ σκοπιῆτα, γέρας θέτο παῖς Νεολύδα
Κραῦβις, ὁ θηρευτάς, Ἀρκὰς ἀπ' Ὀρχομενοῦ.

### 110. ΛΕΩΝΙΔΑ οἱ δὲ ΜΝΑΣΑΛΚΟΥ.

Τὰν ἔλαφον Κλεόλαος ὑπὸ κναμοῖσι λοχήσας,
ἔκτανε Μαιάνδρου πὰρ τριέλικτον ὕδωρ,
θηκτῷ σαυρωτῆρι· τὰ δ' ὀκτάῤῥιζα μετώπων
φράγμαθ' ὑπὲρ κραναὰν ἅλος ἔπαξε πίτυν.

### 111. ΑΝΤΙΠΑΤΡΟΥ.,

Τὰν ἔλαφον, Λάδωνα καὶ ἀμφ' Ἐρυμάνθιον ὕδωρ
νῶτά τε θηρονόμου φερβομέναν Φολόας,
παῖς ὁ Θεαρίδεω Λασιώνιος εἷλε Λυκόρμας,
πλήξας ῥομβωτῷ δούρατος οὐριάχῳ·
δέρμα δὲ καὶ δικέραιον ἀπὸ στόρθυγγα μετώπων
σπασάμενος, κούρᾳ θῆκε παρ' ἀγρότιδι.

### 112. ΠΕΡΣΟΥ.

Τρεῖς ἄφατοι κεράεσσιν ὑπ' αἰθούσαις τοι, Ἄπολλον,
ἄγκεινται κεφαλαὶ Μαιναλίων ἐλάφων,

ἃς ἕλον ἐξ ἵππων * γυγερῷ χέρε Δαΐλοχός τε
καὶ Προμένης, ἀγαθοῦ τέκνα Λευντιάδου.

## 113. ΣΙΜΜΙΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Πρόσθε μὲν ἀγραύλοιο δασύτριχος ἰξάλου αἰγὸς
δοιὸν ἐπὶ χλωροῖς ἐστεφόμαν πετάλοις·
νῦν δέ με Νικομάχῳ κεραοξόος ἥρμοσε τέκτων,
ἐντανύσας ἕλικος καρτερὰ νεῦρα βοός.

## 114. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ

Δέρμα καὶ ὀργυιαῖα κέρα βοὸς ἐκ βασιλῆος
Ἀμφιτρυωνιάδᾳ κείμεθ' ἀνὰ πρόπυλον,
τεσσαρακαιδεκάδωρα, τὸν αὐχήεντα Φιλίππῳ
ἀντόμενον, κατὰ γᾶς ἤλασε δεινὸς ἄκων,
βούβοτον Ὀρβηλοῖο παρὰ σφυρόν· ἃ πολύολβος
Ἡμαθία τοίῳ κραίνεται ἁγεμόνι.

## 115. ΑΝΤΙΠΑΤΡΟΥ.

Τὸν πάρος Ὀρβηλοῖο μεμυκότα δειράσι ταῦρον,
τὸν πρὶν ἐρημωτὰν θῆρα Μακηδονίας,
Δαρδανέων ὀλετῆρ', ὁ κεραύνιος εἷλε Φίλιππος,
πλήξας αἰγανέᾳ βρέγμα κυναγέτιδι·
καὶ τάδε σοὶ βριαρᾶς, Ἡράκλεες, οὐ δίχα βύρσας
θῆκεν, ἀμαιμακέτου κρατὸς ἔρεισμα, κέρα.
σᾶς τοι ὅδ' ἐκ ῥίζας ἀναδέδρομεν· οὔ τι ἀεικὲς
πατρῷα ζαλοῦν ἔργα βοοκτασίας.

## 116. ΣΑΜΟΥ.

Σοὶ γέρας, Ἀλκείδα Μινυαμάχε, τοῦτο Φίλιππος
δέρμα ταναιμύκου λευρὸν ἔθηκε βοός
αὐτοῖς σὺν κεράεσσι, * τὸν βρεγμῷ κυδιόωντα
ἔσβεσεν Ὀρβηλοῦ τρηχὺν ὑπὸ πρόποδα.

Hosted by Google

ὁ φθόνος αὐαίνοιτο, τεὸν δ᾽ ἔτι κῦδος ἀέξοι
  ῥίζα Βεροιαίου κράντορος Ἠμαθίας.

## 117. ΠΑΓΚΡΑΤΟΥΣ.

Ἐκ πυρὸς ὁ ῥαιστήρ, καὶ ὁ καρκίνος, ἥ τε πυράγρη
  ἄγκειν θ᾽ Ἡφαίστῳ, δῶρα Πολυκράτεος,
ᾧ πυκνὸν κροτέων ὑπὲρ ἄκμονος εὕρετο παισὶν
  ὄλβον, ὀϊζυρὴν ὠσάμενος πενίην.

## 118. ΑΝΤΙΠΑΤΡΟΥ.

Α φόρμιγξ, τά τε τόξα, καὶ ἀγκύλα δίκτυα Φοίβῳ
  Σώσιδος, ἔκ τε Φίλας, ἔκ τε Πολυκράτεος.
χὠ μὲν ὀϊστευτὴρ κεραὸν βίον· ἁ δὲ λυρῳδὸς
  τὰν χέλυν· ὁ ᾽γρευτὴς ὤπασε πλεκτὰ λίνα.
ἀλλ᾽ ὁ μὲν ὠκυβόλων ἰῶν κράτος, ἁ δὲ φέροιτο
  ἄκρα λύρας, ὁ δ᾽ ἔχοι πρῶτα κυναγεσίας.

## 119. ΜΟΙΡΟΥΣ ΒΥΖΑΝΤΙΑΣ.

Κεῖσαι δὴ χρυσέαν ὑπὸ παστάδα τὰν Ἀφροδίτας
  βότρυ, Διωνύσου πληθόμενος σταγόνι·
οὐδ᾽ ἔτι τοι μάτηρ ἐρατὸν περὶ κλῆμα βαλοῦσα
  φύσει ὑπὲρ κρατὸς νεκτάρεον πέταλον.

## 120. ΛΕΩΝΙΔΑ.

Οὐ μόνον ὑψηλοῖς ἐπὶ δένδρεσιν οἶδα καθίζων
  ἀειδεῖν, ζαθερεῖ καύματι θαλπόμενος,
προίκιος ἀνθρώποισι κελευθήτῃσιν ἀοιδός,
  θηλείης ἔρσης ἰκμάδα γευόμενος·
ἀλλὰ καὶ εὐπήληκος Ἀθηναίης ἐπὶ δουρὶ
  τὸν τέττιγ᾽ ὄψῃ μ᾽, ὦ ᾽νερ, ἐφεζόμενον.
ὅσσον γὰρ Μούσαις ἐστέργμεθα, τόσσον Ἀθήνη
  ἐξ ἡμέων· ἡ γὰρ παρθένος αὐλοθετεῖ.

Hosted by Google

## 121. ΚΑΛΛΙΜΑΧΟΥ.

Κυνθιάδες θαρσεῖτε· τὰ γὰρ τοῦ Κρητὸς Ἐχέμμα
κεῖται ἐν Ὀρτυγίῃ τόξα παρ᾽ Ἀρτέμιδι,
οἷς ὑμέων ἐκένωσεν ὄρος μέγα. νῦν δὲ πέπαυται,
αἶγες, ἐπεὶ σπονδὰς ἡ θεὸς εἰργάσατο.

## 122. ΝΙΚΙΟΥ.

Μαινὰς Ἐνυαλίου, πολεμαδόκε, θοῦρι κράνεια,
τίς νύ σε θῆκε θεᾷ δῶρον ἐγερσιμάχᾳ;
Μήνιος· ἦ γὰρ τοῦ παλάμας ἄπο ῥίμφα θοροῦσα
ἐν προμάχοις * ἱδρύσας δήϊον ἀμπεδίον.

## 123. ΑΝΥΤΗΣ.

Ἕσταθι τῇδε κράνεια βροτοκτόνε, μηδ᾽ ἔτι λυγρὸν
χάλκεον ἀμφ᾽ ὄνυχα στάζε φόνον δηΐων.
ἀλλ᾽ ἀνὰ μαρμάρεον δόμον ἡμένα αἰπὺν Ἀθάνας
ἄγγελλ᾽ ἀνορέαν Κρητὸς Ἐχεκρατίδα.

## 124. ΗΓΗΣΙΠΠΟΥ.

Ἀσπὶς ἀπὸ βροτέων ὤμων Τιμάνορος ἧμαι
ναῷ ὑπωροφία Παλλάδος ἀλκιμάχας,
πολλὰ σιδαρείου κεκονιμένα ἐκ πολέμοιο,
τόν με φέροντ᾽ αἰεὶ ῥυομένα θανάτου.

## 125. ΜΝΑΣΑΛΚΟΥ.

Ἤδη τῇδε μένω πολέμου δίχα, καλὸν ἄνακτος
στέρνον ἐμῷ νώτῳ πολλάκι ῥυσαμένα.
καίπερ τηλεβόλους ἰούς, καὶ χερμάδι᾽ αἰνὰ
μυρία, καὶ δολιχὰς δεξαμένα κάμακας,
οὐδέποτε Κλειτοιο λιπεῖν περιμάκεα πᾶχυν
φαμὶ κατὰ βλοσυρὸν φλοῖσβον Ἐνυαλίου.

## 126. *ΔΙΟΣΚΟΡΙΔΟΥ.*

*Σᾶμά τοι οὐχὶ μάταιον ἐπ' ἀσπίδι παῖς ὁ Πολύττου,*
*ἄλλος ἀπὸ Κρήτας θοῦρος ἀνὴρ ἔθετο,*
*Γοργόνα τὰν λιθοεργὸν ὁμοῦ καὶ τριπλόα γοῦνα*
*γραψάμενος· δήεις· τοῦτο δ' ἔοικε λέγειν·*
*Ἀσπίδος ὦ κατ' ἐμᾶς πάλλων δόρυ, μὴ κατίδῃς με,*
*ἢ φεῦγε τρισσοῖς τὸν ταχὺν ἄνδρα ποσίν.*

## 127. *ΝΙΚΙΟΥ.*

*Μέλλον ἄρα στυγερὰν κἀγώ ποτε δῆριν Ἄρηος,*
*ἐκπρολιποῦσα χορῶν παρθενίων ἀΐειν*
*Ἀρτέμιδος περὶ ναόν, Ἐπίξενος ἔνθα μ' ἔθηκεν,*
*λευκὸν ἐπεὶ κείνου γῆρας ἔτειρε μέλη.*

## 128. *ΜΝΑΣΑΛΚΟΥ.*

*Ἧσο κατ' ἠγάθεον τόδ' ἀνάκτορον, ἀσπὶ φαεννά,*
*ἄνθεμα Λατώᾳ δήϊον Ἀρτέμιδι.*
*πολλάκι γὰρ κατὰ δῆριν Ἀλεξάνδρου μετὰ χερσὶν*
*μαρναμένου χρυσέαν οὐκ ἐκόνισσε γένυν.*

## 129. *ΛΕΩΝΙΔΟΥ.*

*Ὀκτώ τοι θυρεούς, ὀκτὼ κράνη, ὀκτὼ ὑφαντοὺς*
*θώρηκας, τόσσας δ' αἱμαλέας κοπίδας,*
*ταῦτ' ἀπὸ Λευκανῶν Κορυφασίᾳ ἔντε' Ἀθάνᾳ*
*Ἄγνων Εὐάνθευς θῆχ' ὁ βιαιομάχος.*

## 130. *ΑΛΛΟ.*

*Τοὺς θυρεοὺς ὁ Μολοσσὸς Ἰτωνίδι δῶρον Ἀθάνᾳ*
*Πύῤῥος ἀπὸ θρασέων ἐκρέμασεν Γαλατᾶν,*
*πάντα τὸν Ἀντιγόνου καθελὼν στρατόν· οὐ μέγα θαῦμα·*
*αἰχμηταὶ καὶ νῦν, καὶ πάρος Αἰακίδαι.*

Hosted by Google

### 131. *ΛΕΩΝΙΔΑ.*

*Οἶδ᾽ ἀπὸ Λευκανῶν θυρεάσπιδες, οἱ δὲ χαλινοὶ*
*στοιχηδόν, ξεστοί τ᾽ ἀμφίβολοι κάμακες*
*δέδμηνται, ποθέουσαι ὁμῶς ἵππους τε καὶ ἄνδρας,*
*Παλλάδι· τοὺς δ᾽ ὁ μέλας ἀμφέχανεν θάνατος.*

### 132. *ΝΟΣΣΙΔΟΣ.*

*Ἔντεα Βρέττιοι ἄνδρες ἀπ᾽ αἰνομόρων βάλον ὤμων,*
*θεινόμενοι Λοκρῶν χερσὶν ὑπ᾽ ὠκυμάχων,*
*ὧν ἀρετὰν ὑμνεῦντα θεῶν ὑπ᾽ ἀνάκτορα κεῖνται,*
*οὐδὲ ποθεῦντι κακῶν πάχεας, οὓς ἔλιπον.*

### 133. *ΑΡΧΙΛΟΧΟΥ.*

*Ἀλκιβίη πλοκάμων ἱερὴν ἀνέθηκε καλύπτρην*
*Ἥρῃ, κουριδίων εὖτ᾽ ἐκύρησε γάμων.*

### 134. *ΑΝΑΚΡΕΟΝΤΟΣ.*

*Ἡ τὸν θύρσον ἔχουσ᾽, Ἑλικωνιάς, ἥ τε παρ᾽ αὐτὴν*
*Ξανθίππη Γλαύκη τ᾽, εἰς χορὸν ἐρχόμεναι,*
*Ἐξ ὄρεος χωρεῦσι, Διωνύσῳ δὲ φέρουσιν*
*κισσόν, καὶ σταφυλήν, πίονα καὶ χίμαρον.*

### 135. *ΤΟΥ ΑΥΤΟΥ.*

*Οὗτος Φειδόλα ἵππος ἀπ᾽ εὐρυχόροιο Κορίνθου*
*ἄγκειται Κρονίδᾳ, μνᾶμα ποδῶν ἀρετᾶς.*

### 136. *ΤΟΥ ΑΥΤΟΥ.*

*Πρηξιδίκη μὲν ἔρεξεν, ἐβούλευσεν δὲ Δύσηρις*
*εἷμα τόδε· ξυνὴ δ᾽ ἀμφοτέρων σοφίη.*

### 137. *ΤΟΥ ΑΥΤΟΥ.*

*Πρόφρων, Ἀργυρότοξε, δίδου χάριν Αἰσχύλου υἱῷ*
*Ναυκράτει, εὐχωλὰς τάσδ᾽ ὑποδεξάμενος.*

Hosted by Google

### 138. ΤΟΥ ΑΥΤΟΥ.

*Πρὶν μὲν Καλλιτέλης μ' ἱδρύσατο· τόνδε δ' ἐκείνου*
*ἔκγονοι ἐστάσανθ', οἷς χάριν ἀντιδίδου.*

### 139. ΤΟΥ ΑΥΤΟΥ.

*Πραξαγόρας τάδε δῶρα θεοῖς ἀνέθηκε, Λυκαίου*
*υἱός· ἐποίησεν δ' ἔργον Ἀναξαγόρας.*

### 140. ΤΟΥ ΑΥΤΟΥ.

*Παιδὶ φιλοστεφάνου Σεμέλας ἀνέθηκε Μέλανθος*
*μνᾶμα χοροῦ νίκας, υἱὸς Ἀρηϊφίλου.*

### 141 ΤΟΥ ΑΥΤΟΥ.

*Ρυσαμένα Πύθωνα δυςαχέος ἐκ πολέμοιο*
*ἀσπίς, Ἀθηναίης ἐν τεμένει κρέμαται.*

### 142. ΤΟΥ ΑΥΤΟΥ.

*Σάν τε χάριν, Διόνυσε, καὶ ἀγλαὸν ἄστεϊ κόσμον,*
*Θεσσαλίας μ' ἀνέθηκ' ἀρχὸς Ἐχεκρατίδας.*

### 143. ΤΟΥ ΑΥΤΟΥ.

*Εὔχεο Τιμώνακτι θεῶν κήρυκα γενέσθαι*
*ἤπιον, ὅς μ' ἐρατοῖς ἀγλαΐην προθύροις,*
*Ἑρμῇ τε κρείοντι καθέσσατο· τὸν δ' ἐθέλοντα*
*ἀστῶν καὶ ξείνων γυμνασίῳ δέχομαι.*

### 144. ΤΟΥ ΑΥΤΟΥ.

*Στροίβου παῖ, τόδ' ἄγαλμα, Λεώκρατες, εὖτ' ἀνέθηκας*
*Ἑρμῇ, καλλικόμους οὐκ ἔλαθες Χάριτας,*
*οὐδ' Ἀκαδημίαν πολυγαθέα τῆς ἐν ἀγοστῷ*
*σὴν εὐεργεσίην τῷ προσιόντι λέγω.*

### 145. ΤΟΥ ΑΥΤΟΥ.

*Βωμοὺς τούςδε θεοῖς Σοφοκλῆς ἱδρύσατο πρῶτος,*
*ὃς πλεῖστον Μούσης εἷλε κλέος τραγικῆς.*

Hosted by Google

146. *ΚΑΛΛΙΜΑΧΟΥ.*

*Καὶ πάλιν, Εἰλήθυια, Λυκαινίδος ἐλθὲ καλεύσης,*
*εὔλοχος, ὠδίνων ὧδε σὺν εὐτοκίῃ ;*
*ἧς τόδε νῦν μέν, ἄνασσα, κόρης ὕπερ· ἀντὶ δὲ παιδὸς*
*ὕστερον εὐώδης ἄλλο τι νηὸς ἔχοι.*

147. *ΤΟΥ ΑΥΤΟΥ.*

*Τὸ χρέος ὡς ἀπέχεις, Ἀσκληπιέ, τὸ πρὸ γυναικὸς*
*Δημοδίκης Ἀκέσων ὤφελεν εὐξάμενος·*
*γιγνώσκεις· ἢν δ' ἄρα λάθῃ *, καί μιν ἀπαιτῇς,*
*φησὶ παρέξεσθαι μαρτυρίην ὁ πίναξ.*

148. *ΤΟΥ ΑΥΤΟΥ.*

*Τῷ με Κανωπίτᾳ Καλλίστιον εἴκοσι μύξαις*
*πλούσιον, ἡ Κριτίου, λύχνον ἔθηκε θεῷ,*
*εὐξαμένα περὶ παιδὸς Ἀπελλίδος· ἐς δ' ἐμὰ φέγγη*
*ἀθρήσας φήσεις· Ἕσπερε, πῶς ἔπεσες;*

149. *ΤΟΥ ΑΥΤΟΥ.*

*Φησὶν ὅ με στήσας Εὐαίνετος (οὐ γὰρ ἔγωγε*
*γιγνώσκω) νίκης ἀντί με τῆς ἰδίης*
*ἀγκεῖσθαι, χάλκειον ἀλέκτορα Τυνδαρίδῃσι·*
*πιστεύω Φαίδρου παιδὶ Φιλοξενίδεω.*

150. *ΤΟΥ ΑΥΤΟΥ.*

*Ἰναχίης ἕστηκεν ἐν Ἴσιδος ἡ Θάλεω παῖς*
*Αἰσχυλίς, Εἰρήνης μητρὸς ὑποσχεσίῃ.*

151. *ΤΥΜΝΕΩ.*

*Μίκκος ὁ Πελλαναῖος Ἐνυαλίου βαρὺν αὐλὸν*
*τόνδ' ἐς Ἀθαναίας ἐκρέμασ' Ἰλιάδος,*
*Τυρσηνὸν μελέδαμα, δι' οὗ πόκα πόλλ' ἐβόασεν*
*ὡ 'νὴρ εἰράνας σύμβολα καὶ πολέμου.*

Hosted by Google

## 152. ΑΓΙΔΟΣ.

Καὶ στάλικας καὶ πτηνὰ λαγωβόλα σοὶ τάδε Μείδων,
 Φοῖβε, σὺν ἰξευταῖς ἐκρέμασεν καλάμοις
Ἔργων ἐξ ὀλίγων ὀλίγην δόσιν· ἢν δέ τι μεῖζον
 δωρήσῃ, τίσει τῶνδε πολυπλάσια.

## 153. ΑΝΥΤΗΣ.

Βουχανδὴς ὁ λέβης· ὁ δὲ θεὶς Ἐριασπέδα υἱός,
 Κλεύβοτος· ἁ πάτρα δ' εὐρύχορος Τεγέα·
τ' Ἀθάνᾳ δὲ τὸ δῶρον· Ἀριστοτέλης δ' ἐπόησεν
 Κλειτόριος, γενέτᾳ ταὐτὸ λαχὼν ὄνομα.

## 154. ΛΕΩΝΙΔΑ ΤΑΡΑΝΤΙΝΟΥ. οἱ δὲ ΓΑΙΤΟΥΛΙΚΟΥ.

Ἀγρονόμῳ τάδε Πανί, καὶ εὐαστῆρι Λυαίῳ
 πρέσβυς, καὶ Νύμφαις Ἀρκὰς ἔθηκε Βίτων.
Πανὶ μὲν ἀρτίτοκον χίμαρον συμπαίστορα ματρός,
 κισσοῦ δὲ Βρομίῳ κλῶνα πολυπλανέος·
Νύμφαις δὲ σκιερῆς εὐποίκιλον ἄνθος ὀπώρης,
 φύλλα τε πεπταμένων αἱματόεντα ῥόδων.
ἀνθ' ὧν εὔϋδρον, Νύμφαι, τόδε δῶμα γέροντος
 αὔξετε· Πάν, γλαγερόν· Βάκχε, πολυστάφυλον.

## 155. ΘΕΟΔΩΡΙΔΑ.

Ἄλικες αἵ τε κόμαι καὶ ὁ Κρωβύλος, ἃς ἀπὸ Φοίβῳ
 πέξατο μολπαστᾷ κῶρος ὁ τετραετής·
αἰχμητὰν δ' ἐπέθυσεν ἀλέκτορα, καὶ πλακόεντα
 παῖς Ἡγησιδίκου πίονα τυροφόρον.
Ὤπολλον, θείης τὸν Κρωβύλον εἰς τέλος ἄνδρα
 οἴκου καὶ κτεάνων χεῖρας ὕπερθεν ἔχειν.

### 156. ΤΟΥ ΑΥΤΟΥ.

Καλῷ σὺν τέττιγι Χαρισθένεος τρίχα τήνδε
κουρόσυνον κούραις θῆκ' Ἀμαρυνθιάσιν
σὺν βοῒ χερνιφθέντα· παῖς δ' ἴσον ἀστέρι λάμπει,
πωλικὸν ὡς ἵππος χνοῦν ἀποσεισάμενος.

### 157. ΤΟΥ ΑΥΤΟΥ.

Ἄρτεμις, ἣ Γόργοιο φύλαξ κτεάνων τε καὶ ἀγροῦ,
τόξῳ μὲν κλῶπας βάλλε, σάου δὲ φίλους·
καί σοι ἐπιῤῥέξει Γόργος χιμάροιο νομαίης
αἷμα, καὶ ὡραίους ἄρνας ἐπὶ προθύροις.

### 158. ΣΑΒΙΝΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Πανὶ Βίτων χίμαρον, Νύμφαις ῥόδα, θύρσα Λυαίῳ,
τρισσὸν ὑπ' εὐπετάλοις δῶρον ἔθηκε φόβαις.
δαίμονες ἀλλὰ δέχοισθε κεχαρμένοι, αὔξετε δ' αἰεὶ
Πὰν ἀγέλην, Νύμφαι πίδακα, Βάκχε γάνος.

### 159. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Ἁ πάρος αἱματόεν πολέμου μέλος ἐν δαῒ σάλπιγξ
καὶ γλυκὺν εἰράνας ἐκπροχέουσα νόμον,
ἄγκειμαι, Φερένικε, τεὸν Τριτωνίδι κούρᾳ
δῶρον, ἐριβρύχων παυσαμένα κελάδων.

### 160. ΤΟΥ ΑΥΤΟΥ.

Κερκίδα τὰν ὀρθρινά, χελιδονίδων ἅμα φωνᾷ,
μελπομέναν, ἱστῶν Παλλάδος ἀλκυόνα,
τόν τε καρηβαρέοντα πολυῤῥοίβδητον ἄτρακτον,
κλωστῆρα στρεπτᾶς εὔδρομον ἀρπεδόνας,
καὶ πήνας, καὶ τόνδε φιληλάκατον καλαθίσκον,
στάμονος ἀσκητοῦ καὶ τολύπας φύλακα,

*παῖς ἀγαθοῦ Τελέσιλλα Διοκλέος, ἃ φιλοεργὸς*
*εἰροκόμων Κούρᾳ θήκατο δεσπότιδι.*

161. *ΚΡΙΝΑΓΟΡΟΥ.*

*Ἑσπερίου Μάρκελλος ἀνερχόμενος πολέμοιο*
*σκυλοφόρος κραναῆς τέλσα παρ᾽ Ἰταλίης,*
*ξανθὰν πρῶτον ἔκειρε γενειάδα· βούλετο πατρὶς*
*οὕτως, καὶ πέμψαι παῖδα, καὶ ἄνδρα λαβεῖν.*

162. *ΜΕΛΕΑΓΡΟΥ.*

*Ἄνθεμα σοὶ Μελέαγρος ἑὸν συμπαίστορα λύχνον,*
*Κύπρι φίλη, μύστην σῶν θέτο παννυχίδων.*

163. *ΤΟΥ ΑΥΤΟΥ.*

*Τίς τάδε μοι θνητῶν * περὶ θριγκοῖσιν ἀνῆψεν*
*σκῦλα, παναισχίστην τέρψιν Ἐνυαλίου;*
*οὔτε γὰρ αἰγανέαι περιαγέες, οὔτε τι πήληξ*
*ἄλλοφος, οὔτε φόνῳ χρανθὲν ἄρηρε σάκος·*
*ἀλλ᾽ αὔτως γανόωντα καὶ ἀστυφέλικτα σιδάρῳ,*
*οἷά περ οὐκ ἐνοπᾶς, ἀλλὰ χορῶν ἔναρα·*
*οἷς θάλαμον κοσμεῖτε γαμήλιον· ὅπλα δὲ λύθρῳ*
*λειβόμενα βροτέῳ σηκὸς Ἄρηος ἔχοι.*

164. *ΛΟΥΚΙΑΝΟΥ.*

*Γλαύκῳ, καὶ Νηρῆϊ, καὶ Ἰνοῖ καὶ Μελικέρτῃ,*
*καὶ βυθίῳ Κρονίδῃ, καὶ Σαμόθραξι θεοῖς,*
*σωθεὶς ἐκ πελάγους Λουκίλλιος ὧδε κέκαρμαι*
*τὰς τρίχας ἐκ κεφαλῆς· ἄλλο γὰρ οὐδὲν ἔχω.*

165. *ΦΑΛΑΙΚΟΥ.*

*Στρεπτὸν Βασσαρικοῦ ῥόμβον θιάσοιο μύωπα*
*καὶ σκύλος ἀμφιδόρου στικτὸν ἀχαιΐνεω,*

Hosted by Google

καὶ κορυβαντείων ἰαχήματα χάλκεα ῥόπτρων
καὶ θύρσου χλοερὸν κωνοφόρου κάμακα,
καὶ κούφοιο βαρὺν τυπάνου βρόμον, ἠδὲ φορηθὲν
πολλάκι μιτροδέτου λίκνον ὕπερθε κόμης
Εὐάνθη Βάκχῳ, τὴν ἔντρομον ἀνίκα θύρσοις
ἄτρομον εἰς προπόσεις χεῖρα μετημφίασεν.

## 166. ΛΟΥΚΙΛΛΙΟΥ.

Εἰκόνα τῆς κήλης Διονύσιος ὧδ᾽ ἀνέθηκεν,
σωθεὶς ἐκ ναυτῶν τεσσαράκοντα μόνος·
τοῖς μηροῖς αὐτὴν γὰρ ὑπερδήσας ἐκολύμβα.
ἔστω καὶ κήλης ἔν τισιν εὐτυχίη.

## 167. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤ.

Σοί, μάκαρ αἰγίκναμε, παράκτιον ἐς περιωπὰν
τὸν τράγον, ὦ δισσᾶς ἀγέτα θηροσύνας —
σοὶ γὰρ καστορίδων ὑλακὰ καὶ τρίστομος αἰχμὴ
εὔαδε, καὶ ταχινῆς ἔργα λαγωσφαγίης,
δίκτυά τ᾽ ἐν ῥοθίοις ἁπλούμενα, καὶ καλαμευτὰς
κάμνων, καὶ μογερῶν πεῖσμα σαγηνοβόλων —
ἄνθετο δὲ Κλεόνικος, ἐπεὶ καὶ πόντιον ἄγραν
ἄνυε, καὶ πτῶκας πολλάκις ἐξεσόβει.

## 168. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤ.

Βοτρυΐων ἀκάμαντα φυτῶν λωβήτορα κάπρον,
τὸν θρασὺν ὑψικόμων ἐνναέταν δονάκων,
πολλάκις ἐξερύσαντα θοῶν ἀκμαῖσιν ὀδόντων
δένδρεα, καὶ νομίους τρεψάμενον σκύλακας,
ἀντήσας ποταμοῖο πέλας, πεφρικότα χαίτας,
ἄρτι καὶ ἐξ ὕλας πάγχυ λιπόντα βάθος,

Hosted by Google

χαλκῷ Ξεινόφιλος κατενήρατο, καὶ παρὰ φηγῷ
θηρὸς ἀθωπεύτου Πανὶ καθῆψε δέρας.

169. ΑΔΗΛΟΝ.

Κώμαυλος τὸν ἐχῖνον ἰδὼν ἐπὶ νῶτα φέροντα
ῥᾶγας, ἀπέκτεινεν τῷδ᾽ ἐπὶ θειλοπέδῳ·
αὐήνας δ᾽ ἀνέθηκε φιλακρήτῳ Διονύσῳ
τὸν τὰ Διωνύσου δῶρα λεϊζόμενον.

170. ΘΥΙΛΛΟΥ.

Αἱ πτελέαι τῷ Πανί, καὶ αἱ τανυμήκεες αὗται
ἰτέαι, ἥ θ᾽ ἱερὰ κἀμφιλαφὴς πλάτανος,
καὶ λιβάδες, καὶ ταῦτα βοτηρικὰ Πανὶ κύπελλα
ἄγκειται, δίψης φάρμακ᾽ ἀλεξίκακα.

171. ΑΔΗΛΟΝ.

Αὐτῷ σοὶ πρὸς Ὄλυμπον ἐμακύναντο κολοσσὸν
τόνδε Ῥόδου ναέται Δωρίδος, Ἀέλιε,
χάλκεον, ἁνίκα κῦμα κατευνάσαντες Ἐνυοῦς
ἔστεψαν πάτραν δυσμενέων ἐνάροις.
οὐ γὰρ ὑπὲρ πελάγους μόνον ἄνθεσαν, ἀλλὰ καὶ ἐν γᾷ,
ἁβρὸν ἀδουλώτου φέγγος ἐλευθερίας·
τοῖς γὰρ ἀφ᾽ Ἡρακλῆος ἀεξηθεῖσι γενέθλας
πάτριος ἐν πόντῳ κὴν χθονὶ κοιρανία.

172. [ΑΓΑΘΙΟΥ.]

Πορφυρὶς ἡ Κνιδίη τὰ στέμματα, καὶ τὸ δίθυρσον
τοῦτο τὸ λογχωτόν, καὶ τὸ περισφύριον,
οἷς ἀνέδην βάκχευεν, ὅτ᾽ ἐς Διόνυσον ἐφοίτα
κισσωτὴν στέρνοις νεβρίδ᾽ ἀναπτομένη,
αὐτῷ σοί, Διόνυσε, πρὸ παστάδος ἠώρησε
ταῦτα τὰ τοῦ κάλλευς κόσμια καὶ μανίης.

Hosted by Google

## 173. ῬΙΑΝΟΥ.

Ἀγρυλὶς ἡ Φρυγίη θαλαμηπόλος, ἡ περὶ πεύκας
πολλάκι τοὺς ἱεροὺς χευαμένη πλοκάμους,
γαλλαίῳ Κυβέλης ὀλολύγματι πολλάκι δοῦσα
τὸν βαρὺν εἰς ἀκοὰς ἦχον ἀπὸ στομάτων,
τάςδε θεῇ χαίτας περὶ δικλίδι θῆκεν ὀρείᾳ,
θερμὸν ἐπεὶ λύσσης ὧδ' ἀνέπαυσε πόδα

## 174. ΑΝΤΙΠΑΤΡΟΥ

Παλλάδι ταὶ τρισσαὶ θέσαν ἅλικες, ἶσον ἀράχνᾳ
τεῦξαι λεπταλέον στάμον' ἐπιστάμεναι·
Δημω μὲν ταλαρίσκον ἐΰπλοκον, Ἀρσινόα δὲ
ἐργάτιν εὐκλώστου νήματος ἠλακάταν·
κερκίδα δ' εὐποίητον, ἀηδόνα τὰν ἐν ἐρίθοις,
Βακχυλίς, εὐκρέκτους ᾇ διέκρινε μίτους·
ζώειν γὰρ δίχα παντὸς ὀνείδεος ἤθελ' ἑκάστα,
ξεῖνε, τὸν ἐκ χειρῶν ἀρνυμένα βίοτον.

## 175. ΜΑΚΗΔΟΝΙΟΥ ΥΠΑΤ.

Τὸν κύνα τὸν πάσης κρατερῆς ἐπιΐδμονα θήρης,
ἔξεσε μὲν Λεύκων, ἄνθετο δ' Ἀλκιμένης.
Ἀλκιμένης δ' οὐχ εὗρε τί μέμψεται· ὡς δ' ἴδ' ὁμοίην
εἰκόνα παντοίῳ σχήματι φαινομένην,
κλοιὸν ἔχων, πέλας ἦλθε, λέγων Λεύκωνι κελεύειν
τῷ κυνὶ καὶ βαίνειν· πεῖθε γὰρ ὡς ὑλάων.

## 176. ΤΟΥ ΑΥΤΟΥ.

Τὸν κύνα, τὰν πήραν τε, καὶ ἀγκυλόδοντα σίγυνον
Πανί τε καὶ Νύμφαις ἀντίθεμαι Δρυάσιν·
Τὸν κύνα δὲ ζώοντα πάλιν ποτὶ τὤυλιον ἄξω,
ξηρὰς εἰς ἀκόλους ξυνὸν ἔχειν ἕταρον.

## 177. ΑΔΕΣΠΟΤΟΝ.

*Δάφνις ὁ λευκόχρως, ὁ καλῇ σύριγγι μελίσδων*
*βουκολικοὺς ὕμνους ἄνθετο Πανὶ τάδε*
*τοὺς τρητοὺς δόνακας, τὸ λαγωβόλον, ὀξὺν ἄκοντα,*
*νεβρίδα, τὰν πήραν, ᾇ ποτ᾽ ἐμαλοφόρει,*

## 178. ΗΓΗΣΙΠΠΟΥ.

*Δέξαι μ᾽ Ἡράκλεις, Ἀρχεστάτου ἱερὸν ὅπλον,*
*ὄφρα ποτὶ ξεστὰν παστάδα κεκλιμένα*
*γηραλέα τελέθοιμι, χορῶν ἀΐουσα καὶ ὕμνων·*
*ἀρκείτω στυγερὰ δῆρις Ἐνυαλίου.*

## 179. ΑΡΧΙΟΥ.

*Ἀγραύλῳ τάδε Πανὶ βιαρκέος ἄλλος ἀπ᾽ ἄλλης*
*αὔθαιμοι τρισσοὶ δῶρα λινοστασίης.*
*Πίγρης μὲν δειραχθὲς ἐΰβροχον ἅμμα πετεινῶν·*
*Δᾶμις δ᾽ ὑλονόμων δίκτυα τετραπόδων·*
*ἄρκυν δ᾽ εἰναλίων Κλείτωρ πόρεν· οἷς σὺ δι᾽ αἴθρας,*
*καὶ πελάγευς καὶ γῆς εὔστοχα πέμπε λίνα.*

## 180. ΤΟΥ ΑΥΤΟΥ.

*Ταῦτα σοὶ ἔκ τ᾽ ὀρέων, ἔκ τ᾽ αἰθέρος, ἔκ τε θαλάσσης*
*τρεῖς γνωτοὶ τέχνης σύμβολα, Πάν, ἔθεσαν.*
*ταῦτα μὲν εἰναλίων Κλείτωρ λίνα· κεῖνα δὲ Πίγρης*
*οἰωνῶν· Δᾶμις τὰ τρίτα τετραπόδων·*
*οἷς ἅμα χερσαίῃσιν, ἅμ᾽ ἠερίῃσιν ἐν ἄγραις,*
*Ἀγρεῦ, ἅμ᾽ ἐν πλωταῖς, ὡς πρίν, ἀρωγὸς ἴθι.*

## 181. ΤΟΥ ΑΥΤΟΥ.

*Τρίζυγες, οὐρεσίοικε, κασίγνητοι τάδε τέχνας*
*ἄλλος ἀπ᾽ ἀλλοίας σοὶ τάδε, Πάν, ἔθεσαν,*

Hosted by Google

καὶ τὰ μὲν ὀρνίθων, Πίγρης· τὰ δὲ δίκτυα θηρῶν,
Δᾶμις· ὁ δὲ Κλείτωρ εἰναλίων ἔπορεν·
τῶν ὁ μὲν ἐν ξυλόχοισιν, ὁ δ' ἠερίῃσιν ἐν ἄγραις
αἰέν, ὁ δ' ἐν πελάγει εὔστοχον ἄρκυν ἔχοι.

## 182. ΑΛΕΞΑΝΔΡΟΥ ΜΑΓΝΗΤΟΥ.

Πίγρης ὀρνίθων ἄπο δίκτυα, Δᾶμις ὀρείων,
Κλείτωρ δ' ἐκ βυθίων, σοὶ τάδε, Πάν, ἔθεσαν,
ξυνὸν ἀδελφειοὶ θήρης γέρας, ἄλλος ἀπ' ἄλλης,
ἰδρίτα καὶ γαίης, ἰδρίτα καὶ πελάγευς.
ἀνθ' ὧν τῷ μὲν ἁλός, τῷ δ' ἠέρος, ᾧ δ' ἀπὸ δρυμῶν
πέμπε κράτος ταύτῃ, δαῖμον, ἐπ' εὐσεβίῃ.

## 183. ΖΩΣΙΜΟΥ ΘΑΣΙΟΥ.

Σοὶ τάδε, Πὰν θηρευτά, ἀνηρτήσαντο σύναιμοι
δίκτυα, τριχθαδίης δῶρα κυναγεσίης.
Πίγρης μὲν πτανῶν, Κλείτωρ ἁλός, ὃς δ' ἀπὸ χέρσου,
Δᾶμις, τετραπόδων ἀγκύλος ἰχνελάτης.
ἀλλὰ σὺ κὴν δρυμοῖσι, καὶ εἰν ἁλί, καὶ διὰ μέσσης
ἠέρος εὔαγρον τοῖσδε δίδου κάματον.

## 184. ΤΟΥ ΑΥΤΟΥ.

Τρισσὰ τάδε τρισσοὶ θηραγρέται, ἄλλος ἀπ' ἄλλης
τέχνης, πρὸς νηῷ Πανὸς ἔθεντο λίνα.
Πίγρης μὲν πτανοῖσιν ἐφεὶς βόλον, ἐν δ' ἁλίοισιν
Κλείτωρ, ἐν θηρσὶν Δᾶμις ἐρημονόμοις.
τοὔνεκα, Πάν, τὸν μέν τε δι' αἰθέρος, ὃν δ' ἀπὸ λόχμης,
τὸν δὲ δι' αἰγιαλῶν θὲς πολυαγρότερον.

## 185. ΤΟΥ ΑΥΤΟΥ.

Βριθὺ μὲν ἀγραύλων τόδε δίκτυον ἄνθετο θηρῶν
Δᾶμις, καὶ Πίγρης πτηνολέτιν νεφέλην,



Hosted by Google

ἁπλόϊατον δ' ἁλὶ τοῦτο μιτοῤῥαφὲς ἀμφίβληστρον
Κλείτωρ, εὐθήρῳ Πανὶ προσευξάμενοι.
τοὔνεκα, Πάν, κρατερῷ πόρε Δάμιδι ληΐδα θηρῶν,
Πίγρῃ δ' οἰωνῶν, Κλείτορι δ' εἰναλίων.

## 186. ΙΟΥΛΙΟΥ ΔΙΟΚΛΕΟΥΣ.

Δίκτυα σοὶ τάδε, Πάν, ἀνεθήκαμεν οἶκος ἀδελφῶν
οἱ τρεῖς, ἐξ ὀρέων, ἠέρος, ἐκ πελάγευς.
* δικτυβόλει τούτῳ δὲ παρ' ἠϊόνων κροκάλαισιν·
* δικτυβόλει· τούτῳ δ' ἄγκεσι θηροτόκοις·
τὸν τρίτον ἐν πτηνοῖσιν ἐπίβλεπε· τῆς γὰρ ἁπάντων,
δαῖμον, ἔχεις ἡμέων δῶρα λινοστασίης.

## 187. ΑΛΚΑΙΟΥ ΜΙΤΥΛΗΝΑΙΟΥ.

Πανὶ κασιγνήτων ἱερὴ τριάς, ἄλλος ἀπ' ἄλλης,
ἄνθετ' ἀπ' οἰκείης σύμβολον ἐργασίης.
Πίγρης ὀρνίθων, ἁλίων ἀπομοίρια Κλείτωρ,
ἔμπαλιν ἰθυτόνων Δᾶμις ἀπὸ σταλίκων.
ἀνθ' ὧν εὐαγρίην τῷ μὲν χθονός, ᾧ δὲ διδοίης
ἐξ ἁλός, ᾧ δὲ νέμοις ἠέρος ὠφελίην.

## 188. ΛΕΩΝΙΔΑ ΤΑΡΑΝΤΙΝΟΥ.

Ὁ Κρὴς Θηρίμαχος τὰ λαγωβόλα Πανὶ Λυκαίῳ
ταῦτα πρὸς Ἀρκαδικοῖς ἐκρέμασε σκοπέλοις.
ἀλλὰ σὺ Θηριμάχῳ δώρων χάριν, ἀγρότα δαῖμον,
χεῖρα κατιθύνοις τοξότιν ἐν πολέμῳ,
ἔν τε συναγκείαισι παρίστασο δεξιτερῇσι,
πρῶτα διδοὺς ἄγρης δῶρα καὶ ἀντιπάλων.

## 189. ΜΥΡΟΥΣ ΒΥΖΑΝΤΙΑΣ.

Νύμφαι Ἁμαδρυάδες, ποταμοῦ κόραι, αἳ τάδε βένθη
ἀμβρόσιαι ῥοδέοις στείβετε ποσσὶν ἀεί,

Hosted by Google

χαίρετε καὶ σώζοιτε Κλεώνυμον, ὃς τάδε καλὰ
εἵσαθ' ὑπαὶ πιτύων ὔμμι θεαὶ ξόανα.

## 190. ΓΑΙΤΟΥΛΙΚΟΥ.

Λάζεο, τιμήεσσα Κυθηριάς, ὑμνοπόλοιο
λιτὰ τάδ' ἐκ λιτοῦ δῶρα Λεωνίδεω·
πεντάδα τὴν σταφυλῆς εὐρώγεα, καὶ μελιηδὲς
πρώϊον εὐφύλλων σῦκον ἀπ' ἀκρεμόνων.
καὶ ταύτην ἀπέτηλον ἁλινήκτειραν ἐλαίην,
καὶ ψαιστῶν ὀλίγων δράγμα πενιχραλέον,
καὶ σταγόνα σπονδῖτιν, ἀεὶ θυέεσσιν ὀπηδόν,
τὴν κύλικος βαιῷ πυθμένι κευθομένην.
εἰ δ', ὥς μευ βαρύγυιον ἀπώσαο νοῦσον, ἐλάσσεις
καὶ πενίην, δώσει πιαλέον χίμαρον.

## 191. ΚΟΡΝΗΛΙΟΥ ΛΟΓΓΟΥ.

Ἐκ πενίης, ὡς οἶσθ', ἀκραιφνέος, ἀλλὰ δικαίης,
Κύπρις, ταῦτα δέχευ δῶρα Λεωνίδεω·
πορφυρέην ταύτην ἐπιφυλλίδα, τήν θ' ἁλίπαστον
δρύπεπα, καὶ ψαιστῶν τὴν νομίμην θυσίην,
σπονδήν θ', ἣν ἀσάλευτον ἀφύλισα, καὶ τὰ μελιχρὰ
σῦκα· σὺ δ' ὡς νούσου, ῥύεο καὶ πενίης.
καὶ τότε βουθυτέοντά μ' ἐσόψεαι. ἀλλὰ σύ, δαῖμον,
σπεύδοις ἀντιλαβεῖν τὴν ἀπ' ἐμεῦ χάριτα.

## 192. ΑΡΧΙΟΥ.

Ταῦτα σαγηναίοιο λίνου δηναιὰ Πριήπῳ
λείψανα, καὶ κύρτους Φιντύλος ἐκρέμασεν,
καὶ γαμψὸν χαίτησιν ἐφ' ἱππείησι πεδηθὲν
ἄγκιστρον, κουφίην εἰναλίοισι πάγην,

καὶ δόνακα τριτάνυστον, ἀβάπτιστόν τε καθ᾽ ὕδωρ
    φελλόν, ἀεὶ κρυφίων σῆμα λαχόντα βόλων·
οὐ γὰρ ἔτι στείβει ποσὶ χοιράδας, οὐδ᾽ ἐπιαύει
    ἠϊόσιν, μογερῷ γήραϊ τειρόμενος.

193. ΦΛΑΚΚΟΥ.

Πρίηπ᾽ αἰγιαλῖτα, φυκόγειτον,
Δαμοίτας ἁλιεύς, ὁ βυσσομέτρης,
τὸ πέτρης ἁλιπλῆγος ἐκμαγεῖον,
ἡ βδέλλα σπιλάδων, ὁ ποντοθήρης,
σοὶ τὰ δίκτυα τἀμφίβληστρα ταῦτα,
δαῖμον, εἵσατο, τοῖς ἔθαλπε γῆρας.

194. ΑΔΕΣΠΟΤΟΝ.

Σῶζε, θεὰ Τριτοῖ, τὰ τεθέντα τε, τόν τ᾽ ἀναθέντα.

195. ΑΡΧΙΟΥ.

Γρωάδι Παλλαναῖος ἀνηέρτησεν Ἀθάνᾳ
    αὐλὸν ἐριβρεμέταν Μίκκος Ἐνυαλίου,
ᾧ ποτε καὶ θυμέλῃσι καὶ ἐν πολέμοισιν ἔμελψεν
    πρόσθε, τὸ μὲν στοναχᾶς σῆμα, τὸ δ᾽ εὐνομίας.

196. ΣΤΑΤΥΛΛΟΥ ΦΛΑΚΚΟΥ.

Ῥαιβοσκελῆ, δίχαλον, ἀμμοδυόταν,
ὀπισθοβάμον᾽, ἀτράχηλον, ὀκτάπουν,
νηκτάν, ἐρυμνόνωτον, ὀστρακόχροα
τῷ Πανὶ τὸν πάγουρον ὁρμιηβόλος,
ἄγρας ἀπαρχάν, ἀντίθησι Κώπασος.

197. ΣΙΜΩΝΙΔΟΥ.

Ἑλλάνων ἀρχαγὸς ἐπεὶ στρατὸν ὤλεσα Μήδων
    Παυσανίας Φοίβῳ μνᾶμ᾽ ἀνέθηκα τόδε.

Hosted by Google

## 198. *ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝ.*

*Ὥριον ἀνθήσαντας ὑπὸ κροτάφοισιν ἰούλους*
*κειράμενος, γενύων ἄρσενας ἀγγελίας,*
*Φοίβῳ θῆκε Λύκων, πρῶτον γέρας· εὔξατο δ' οὕτως*
*καὶ πολιὴν λευκῶν κεῖραι ἀπὸ κροτάφων.*
*τοίην ἀλλ' ἐπίνευε· τίθει δέ μιν, ὡς πρό γε τοῖον,*
*ὣς αὖτις πολιῷ γήραϊ νιφόμενον.*

## 199. *ΑΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤ.*

*Εἰνοδίη, σοὶ τόνδε φίλης ἀνεθήκατο κόρσης*
*πῖλον, ὁδοιπορίης σύμβολον, Ἀντίφιλος.*
*ἦσθα γὰρ εὐχωλῇσι κατήκοος, ἦσθα κελεύθοις*
*ἵλαος· οὐ πολλὴ δ' ἡ χάρις, ἀλλ' ὁσίη.*
*μηδέ τις ἡμετέρου μάρψῃ χερὶ μαργὸς ὁδίτης*
*ἀνθέματος· συλᾶν ἀσφαλὲς οὐδ' ὀλίγα.*

## 200. *ΛΕΩΝΙΔΟΥ.*

*Ἐκ τόκου, Εἰλήθυια, πικρὰν ὠδῖνα φυγοῦσα*
*Ἀμβροσίη, κλεινῶν θήκατό σοι πρὸ ποδῶν*
*δέσμα κόμας καὶ πέπλον, ἐν ᾧ δεκάτῳ ἐπὶ μηνὶ*
*δισσὸν ἀπὸ ζώνης κῦμ' ἐλόχευσε τέκνων.*

## 201. *ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.*

*Σάνδαλα καὶ μίτρην περικαλλέα, τόν τε μυρόπνουν*
*βόστρυχον ὡραίων οὖλον ἀπὸ πλοκάμων,*
*καὶ ζώνην, καὶ λεπτὸν ὑπένδυμα τοῦτο χιτῶνος,*
*καὶ τὰ περὶ στέρνοις ἀγλαὰ μαστόδετα,*
* *ἄμβροτον εὐώδινος ἐπεὶ φύγε νηδύος ὄγκον*
* *εὐφράντη νηῷ θῆκεν ὑπ' Ἀρτέμιδος.*

Hosted by Google

202. ΛΕΩΝΙΔΟΥ ΤΑΡΑΝΤΙΝΟΥ.

Εὐθύσανον ζώνην τοι ὁμοῦ καὶ τόνδε κύπασσιν
Ἀτθὶς παρθενίων θῆκεν ὕπερθε θυρῶν,
ἐκ τόκου, ὦ Λητωΐ, βαρυνομένης ὅτι νηδὺν
ζωὸν ἀπ᾿ ὠδίνων λύσαο τῆσδε βρέφος.

203. ΛΑΚΩΝΟΣ οἱ δὲ ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛ.

Ἡ γρῆϋς ἡ χερνῆτις, ἡ γυιὴ πόδας,
πύστιν κατ᾿ ἐσθλὴν ὕδατος παιωνίου
ἦλθέν ποθ᾿, ἑρπύζουσα σὺν δρυὸς ξύλῳ,
τό μιν διεσκήριπτε, τὴν τετρωμένην.
οἶκτος δὲ Νύμφας εἷλεν, αἵτ᾿ * ἐρινδμου.
Αἴτνης παρωρείῃσι Συμαίθου πατρὸς
ἔχουσι δινήεντος ὑγρὸν οἰκίον.
καὶ τῆς μὲν ἀμφίχωλον ἀρτεμὲς σκέλος
θερμὴ διεστήριξεν Αἰτναίη λιβάς.
Νύμφαις δ᾿ ἔλειπε βάκτρον· αἱ δ᾿ ἐπῄνεσαν
πέμπειν μιν ἀστήρικτον, ἡσθεῖσαι δόσει.

204. ΛΕΩΝΙΔΟΥ ΤΑΡΑΝΤΙΝΟΥ.

Θῆρις ὁ δαιδαλόχειρ τᾷ Παλλάδι πῆχυν ἀκαμπῆ,
καὶ τετανόν, ᾿νώτῳ καμπτόμενον, πρίονα,
και πέλεκυν, ῥυκάναν τ᾿ εὐαγέα, καὶ περιαγὲς
τρύπανον, ἐκ τέχνας ἄνθετο παυσάμενος.

205. ΤΟΥ ΑΥΤΟΥ.

Τέκτονος ἄρμενα ταῦτα Λεοντίχου, αἵ τε χαρακταὶ
ῥῖναι, καὶ κάλων οἱ ταχινοὶ * βορέῃ,
στάθμαι καὶ μιλτεῖα, καὶ αἱ σχεδὸν ἀμφιπλῆγες
σφῦραι, καὶ μίλτῳ φυρόμενοι κανόνες,

Hosted by Google

αἵ τ' ἀρίδες, ξυστήρ τε, καὶ ἐστελεωμένος οὗτος
ἐμβριθής, τέχνας ὁ πρύτανις, πέλεκυς,
τρύπανά τ' εὐδίνητα, καὶ ὠκήεντα τέρετρα,
καὶ γόμφων οὗτοι τοὶ πίσυρες τορέες,
ἀμφίξουν τε σκέπαρνον· ἃ δὴ χαριέργῳ Ἀθάνᾳ
ὡ 'νὴρ ἐκ τέχνας θήκατο παυόμενος.

## 206. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Σάνδαλα μὲν τὰ ποδῶν θαλπτήρια ταῦτα Βίτιννα,
εὐτέχνων ἐρατὸν σκυτοτόμων κάματον·
τὸν δὲ φιλοπλέκτοιο κόμας σφιγκτῆρα Φιλαινίς,
βαπτὸν ἁλὸς πολιῆς ἄνθεσι κεκρύφαλον·
ῥιπίδα δ' Ἀντίκλεια· καλύπτειραν δὲ προσώπου,
ἔργον ἀραχναίοις νήμασιν ἰσόμορον,
ἁ καλὰ Ἡράκλεια· τὸν εὔσπειρῆ δὲ δράκοντα,
χρύσειον ῥαδινῶν κόσμον ἐπισφυρίων,
πατρὸς Ἀριστοτέλους συνομώνυμος· αἱ συνομήθεις
ἅλικες Οὐρανίῃ δῶρα Κυθηριάδι.

## 207. ΑΡΧΙΟΥ.

Σάνδαλα ταῦτα Βίτιννα· πολύπλαγκτον δὲ Φιλαινὶς
πορφύρεον χαίτας ῥύτορα κεκρύφαλον·
ξανθὰ δ' Ἀντίκλεια νόθον κεύθουσαν ἄημα
ῥιπίδα, τὰν μαλερὸν θάλπος ἀμυνομένην·
λεπτὸν δ' Ἡράκλεια τόδε προκάλυμμα προσώπου
τευχθέν, ἀραχναίης εἴκελον ἁρπεδόσιν·
ἁ δὲ καλὸν σπείραμα περισφυρίοιο δράκοντος
οὔνομ' Ἀριστοτέλευ πατρὸς ἐνεγκαμένα·
ἅλικες ἀγλαὰ δῶρα, γαμοστόλε, σοὶ τάδε, Κύπρι,
ὤπασαν, αἱ γυάλων Ναυκράτιδος ναέται.

Hosted by Google

## 208. ΑΝΤΙΠΑΤΡΟΥ.

Η τὰ πέδιλα φέρουσα, Μενεκράτις· ἡ δὲ τὸ φᾶρος,
Φημονόη· Πρηξὼ δ᾽, ἡ τὸ κύπελλον ἔχει.
τῆς Παφίης δ᾽ ὁ νεὼς καὶ τὸ βρέτας· ἄνθεμα δ᾽ αὐτῶν
ξυνόν· Στρυμονίου δ᾽ ἔργον Ἀριστομάχου.
πᾶσαι δ᾽ ἀσταὶ ἔσαν καὶ ἑταιρίδες· ἀλλὰ τυχοῦσαι
Κύπριδος εὐκρήτου, νῦν ἑνός εἰσι μία.

## 209. ΤΟΥ ΑΥΤΟΥ.

Βιθυνὶς Κυθέρη με τεῆς ἀνεθήκατο, Κύπρι,
μορφᾶς εἴδωλον λύγδινον, εὐξαμένα.
ἀλλὰ σὺ τῇ μικκῇ μεγάλην χάριν ἀντιμερίζου,
ὡς ἔθος· ἀρκεῖται δ᾽ ἀνδρὸς ὁμοφροσύνα.

## 210. ΦΙΛΗΤΑ ΣΑΜΙΟΥ.

Πεντηκονταέτις καὶ ἐπὶ πλέον ἡ φιλέραστος
Νικιὰς εἰς νηὸν Κύπριδος ἐκρέμασεν
σάνδαλα, καὶ χαίτης ἀνελίγματα, τὸν δὲ διαυγῆ
χαλκόν, ἀκριβείης οὐκ ἀπολειπόμενον,
καὶ ζώνην πολύτιμον, ἅ τ᾽ οὐ φωνητὰ πρὸς ἄνδρας
ἀλλ᾽ ἐσορᾷς πάσης Κύπριδος ὀπτασίην

## 211. ΛΕΩΝΙΔΟΥ ΤΑΡΑΝΤΙΝΟΥ.

Τὸν ἀργυροῦν Ἔρωτα, καὶ περίσφυρον
πέζαν, τὸ πορφυροῦν τε Λεσβίδος κόμης
ἔλιγμα, καὶ μηλοῦχον ὑαλόχροα,
τὸ χάλκεόν τ᾽ ἔσοπτρον, ἠδὲ τὸν πλατὺν
τριχῶν σαγηνευτῆρα, πύξινον κτένα,
ὧν ἤθελεν τυχοῦσα γνησία Κύπρι,
ἐν σαῖς τίθησι Καλλίκλεια παστάσιν.

Hosted by Google

## 212. ΣΙΜΩΝΙΔΟΥ.

Εὔχεό τοι δώροισι, Κύτων, θεὸν ὧδε χαρῆναι
Λητοΐδην ἀγορῆς καλλιχόρου πρύτανιν,
ὥσπερ ὑπὸ ξείνων τε, καὶ οἳ ναίουσι Κόρινθον,
αἶνον ἔχεις χαρίτων, * δέσποτα, τοῖς στεφάνοις.

## 213. ΤΟΥ ΑΥΤΟΥ.

Ἓξ ἐπὶ πεντήκοντα, Σιμωνίδη, ἤραο ταύρους
καὶ τρίποδας, πρὶν τόνδ᾽ ἀνθέμεναι πίνακα.
τοσσάκι δ᾽ ἱμερόεντα διδαξάμενος χορὸν ἀνδρῶν
εὐδόξου Νίκας ἀγλαὸν ἅρμ᾽ ἐπέβης.

## 214. ΤΟΥ ΑΥΤΟΥ.

Φημὶ Γέλων᾽, Ἱέρωνα, Πολύζηλον, Θρασύβουλον,
παῖδας Δεινομένευς τὸν τρίποδ᾽ ἀνθέμεναι·
ἐξ ἑκατὸν λιτρῶν καὶ πεντήκοντα ταλάντων
Δαρετίου χρυσοῦ τᾶς δεκάτας δεκάταν,
* βάρβαρα νικήσαντας ἔθνη· πολλὴν δὲ παρασχεῖν *
* σύμμαχον Ἕλλησι χεῖρ᾽ ἐς ἐλευθερίην. *

## 215. ΤΟΥ ΑΥΤΟΥ.

Ταῦτ᾽ ἀπὸ δυςμενέων Μήδων ναῦται Διοδώρου
ὅπλ᾽ ἀνέθεντο * Λατοῖ μνάματα ναυμαχίας.

## 216. ΤΟΥ ΑΥΤΟΥ

Σῶσος καὶ Σωσὼ σωτῆρι τόνδ᾽ ἀνέθηκαν·
Σῶσος μὲν σωθείς, Σωσὼ δ᾽ ὅτι Σῶσος ἐσώθη.

## 217. ΤΟΥ ΑΥΤΟΥ.

Χειμερίην νιφετοῖο κατήλυσιν ἡνίκ᾽ ἀλύξας
Γάλλος ἐρημαίην ἤλυθ᾽ ὑπὸ σπιλάδα,

Hosted by Google

ὑετὸν ἄρτι κόμης ἀπεμόρξατο· τοῦ δὲ κατ' ἴχνος
βουφάγος ἐς κοίλην ἀτραπὸν ἷκτο λέων.
αὐτὰρ ὃ πεπταμένῃ μέγα τύμπανον ἔσχεθε χειρί,
ἤραξεν, καναχῇ δ' ἴαχεν ἄντρον ἅπαν.
οὐδ' ἔτλη Κυβέλη ἱερὸν βρόμον ὑλονόμος θὴρ
μεῖναι, ἀν' ὑλῆεν δ' ὠκὺς ἔθυνεν ὄρος,
δείσας ἡμιγύναικα θεῆς λάτριν, ὃς τάδε Ῥείᾳ
ἔνδυτα καὶ ξανθοὺς ἐκρέμασεν πλοκάμους.

## 218. ΑΛΚΑΙΟΥ.

Κειράμενος γονίμην τις ἄπο φλέβα Μητρὸς ἀγύρτη
ὕλης εὐδένδρου πρῶνας ἐβουνοβάτει·
τῷ δὲ λέων ἤντησε πελώριος, ὡς ἐπὶ θοίνην
χάσμα φέρων χαλεπὸν πειναλέου φάρυγος.
δείσας δ' ὠμηστέω θηρὸς μόρον, * ὡς αὔδαξαι
τύμπανον ἐξ ἱερᾶς ἐπλατάγησε νάπης.
χὼ μὲν ἐνέκλεισεν φονίαν γένυν, ἐκ δὲ τενόντων
ἔνθους ῥομβητὴν ἐστροφάλιξε φόβην·
κεῖνος δ' ἐκπροφυγὼν ὀλοὸν μόρον, εἵσατο Ῥείῃ
θῆρα, τὸν ὀρχησμῶν αὐτομαθῆ Κυβέλης.

## 219. ΑΝΤΙΠΑΤΡΟΥ.

Ἔκ ποτέ τις φρικτοῖο θεᾶς σεσοβημένος οἴστρῳ
ῥομβητοὺς δονέων λυσσομανεῖς πλοκάμους,
θηλυχίτων, ἀσκητὸς ἐϋσπείροισι κορύμβοις,
ἁβρῷ τε στρεπτῶν ἅμματι κεκρυφάλων,
Ἄθρις ἀνήρ, κοιλῶπιν ὀρειάδα δύσατο πέτραν,
Ζανὸς ἐλαστρηθεὶς γυιοπαγεῖ νιφάδι.
τὸν δέ κεν ἀῤῥίγητος ἐπείσθορε ταυροφόνος θήρ,
εἰς τὸν ἑὸν προμολὼν φωλεὸν ἑσπέριος·

Hosted by Google

ἀθρήσας δ' εἰς φῶτα, καὶ εὐτρήτοισιν ἀϋτμὰν
μυκτῆρσιν βροτέας σαρκὸς ἐρυσσάμενος,
ἔστα μὲν βριαροῖσιν ἐπ' ἴχνεσιν· ὄμμα δ' ἑλίξας
βρυχᾶτο σφεδανῶν ὄβριμον ἐκ γενύων.
ἀμφὶ δέ οἱ σμαράγει μὲν ἐναυλιστήριον ἄντρον,
ἄχει δ' ὑλάεις ἀγχινεφὴς σκόπελος.
αὐτὰρ ὃ θαμβήσας φθόγγον βαρὺν, ἐκ μὲν ἅπαντα
ἐν στέρνοις ἐάγη θυμὸν ὀρινόμενον·
ἀλλ' ἔμπας ἐρίμυκον ἀπὸ στομάτων ὀλολυγὰν
ἧκεν, ἐδίνησεν δ' εὐστροφάλιγγα κόμαν·
χειρὶ δ' ἀνασχόμενος μέγα τύμπανον, ἐπλατάγησεν
δινωτὸν Ῥείας ὅπλον Ὀλυμπιάδος,
τὸ ζωᾶς ἐπαρωγόν· ἀήθεα γὰρ τότε βύρσης
ταυρείου κενεὸν δοῦπον ἔδεισε λέων,
ἐκ δὲ φυγὼν ὤρουσεν. ἴδ' ὡς ἐδίδαξεν ἀνάγκα
πάνσοφος ἐξευρεῖν ἔκλυσιν Ἀΐδεω.

## 220. ΔΙΟΣΚΟΡΙΔΟΥ.

Σάρδις Πεσσινόεντος ἀπὸ Φρυγὸς ἤθελ' ἱκέσθαι
ἔκφρων μαινομένην δοὺς ἀνέμοισι τρίχα
ἁγνὸς Ἄτυς, Κυβέλης θαλαμηπόλος· ἄγρια δ' αὐτοῦ
ἐψύχθη χαλεπῆς πνεύματα θευφορίης,
ἑσπέριον στείχοντος ἀνὰ κνέφας· εἰς δὲ κάταντες
ἄντρον ἔδυ, νεύσας βαιὸν ἄπωθεν ὁδοῦ.
τοῦ δὲ λέων ὤρουσε κατὰ στίβον, ἀνδράσι δεῖμα
θαρσαλέοις, Γάλλῳ δ' οὐδ' ὀνομαστὸν ἄχος,
ὃς τότ' ἄναυδος ἔμεινε δέους ὕπο, καί τινος αὔρῃ
δαίμονος ἐς * τὸν ἑὸν τύμπανον ἧκε χέρας·
οὗ βαρὺ μυκήσαντος, ὁ θαρσαλεώτερος ἄλλων
τετραπόδων, ἐλάφων ἔδραμεν ὀξύτερον,

τὸν βαρὺν οὐ μείνας ἀκοῆς ψόφον· ἐκ δὲ * βο..ῆς
Μητέρα, Σαγγαρίου χείλεσι πὰρ ποταμοῦ,
ἱρὴν σοὶ θαλάμην, ζωάγρια, καὶ λαλάγημα
τοῦτο, τὸ θηρὶ φυγῆς αἴτιον, ἀντίθεμαι.

## 221. ΛΕΩΝΙΔΟΥ.

Χειμερίην διὰ νύκτα, χαλαζήεντά τε συρμόν,
καὶ νιφετὸν φεύγων, καὶ κρυόεντα πάγον,
μουνολέων, καὶ δὴ κεκακωμένος ἀθρόα γυῖα,
ἦλθε φιλοκρήμνων αὖλιν ἐς αἰγινόμων.
οἱ δ' οὐκ ἀμφ' αἰγῶν μεμελημένοι, ἀλλὰ περὶ σφέων,
εἵατο σωτῆρα Ζῆν' ἐπικεκλόμενοι.
χεῖμα δὲ * θὴρ μείνας θὴρ νύκτιος, οὔτε τιν' ἀνδρῶν,
οὔτε βοτῶν βλάψας, ᾤχετ' ἀπαυλόσυνος.
οἱ δὲ πάθης ἔργον τόδ' εὔγραφὲς ἀκρολοφῖται
Ζανὶ παρ' εὐπρέμνῳ τᾷδ' ἀνέθεντο δρυΐ.

## 222. ΘΕΟΔΩΡΙΔΑ.

Μυριόπουν σκολόπενδραν ὑπ' Ὠρίωνι κυκηθεὶς
πόντος Ἰαπύγων ἔβρασ' ἐπὶ σκοπέλους·
καὶ τόδ' ἀπὸ βλοσυροῦ σελάχευς μέγα πλευρὸν ἀνῆψαν
δαίμοσι βουφόρτων κοίρανοι εἰκοσόρων.

## 223. ΑΝΤΙΠΑΤΡΟΥ.

Λείψανον ἀμφίκλαστον ἁλιπλανέος σκολοπένδρας
τοῦτο κατ' εὐψαμάθου κείμενον ἠϊόνος,
δισσάκι τετρόργυιον, * ὕπαὶ πεφορυγμένον ἀφρῷ,
πολλὰ θαλασσαίῃ ξανθὲν ὑπὸ σπιλάδι·
Ἑρμώναξ δ' ἐκίχανεν, ὅτε γριπηΐδι τέχνῃ
εἷλκε τὸν ἐκ πελάγους ἰχθυόεντα βόλον.

εὑρὼν δ' ἠέρτησε Παλαίμονι παιδὶ καὶ Ἰνοῖ,
δαίμοσιν εἰναλίοις δοὺς τέρας εἰνάλιον.

## 224. ΘΕΟΔΩΡΙΔΑ.

* Εἰν ἁλὶ λαβύρινθε, τύ μοι λέγε, τίς σ' ἀνέθηκεν,
ἀγρέμιον πολιᾶς ἐξ ἁλὸς εὑρόμενος;
παίγνιον Ἀντριάσιν Διονύσιος ἄνθετο Νύμφαις
(δῶρον δ' ἐξ ἱερᾶς εἰμὶ Πελωριάδος)
υἱὸς Πρωτάρχου· σκολιὸς δ' ἐξέπτυσε πορθμός,
ὄφρ' εἴην λιπαρῶν παίγνιον Ἀντριάδων.

## 225. ΝΙΚΑΙΝΕΤΟΥ.

Ἡρῷσσαι, Λιβύων ὄρος ἄκριτον αἵτε νέμεσθε,
αἰγίδι καὶ στρεπτοῖς ζωσάμεναι θυσάνοις,
τέκνα θεῶν, δέξασθε Φιλητίδος ἱερὰ ταῦτα
δράγματα, καὶ χλωροὺς ἐκ καλάμης στεφάνους,
ὅσσ' ἀπὸ λικμητοῦ δεκατεύεται· ἀλλὰ καὶ οὕτως
ἡρῷσσαι, Λιβύων χαίρετε δεσπότιδες.

## 226. ΛΕΩΝΙΔΑ.

Τοῦτο * Κλείτωνος ἐπαύλιον, ἥ τ' ὀλιγώλαξ
σπείρεσθαι, λιτὸς δ' ὁ σχεδὸν ἀμπελεών,
τοῦτό τε ῥωπεύειν ὀλιγόξυλον· ἀλλ' ἐπὶ τούτοις
Κλείτων ὀγδώκοντ' ἐξεπέρησ' ἔτεα.

## 227. ΚΡΙΝΑΓΟΡΟΥ ΜΙΤΥΛΗΝΑΙΟΥ.

Ἀργύρεόν σοι τόνδε, γενέθλιον ἐς τεὸν ἦμαρ,
Πρόκλε, νεόσμηκτον * δουρατίην κάλαμον,
εὖ μὲν εὐσχίστοισι διάγλυπτον κεράεσσιν,
εὖ δὲ ταχυνομένην εὔροον εἰς σελίδα,

πέμπει Κριναγόρης, ὀλίγην δόσιν, ἀλλ' ἀπὸ θυμοῦ
πλείονος, ἀρτιδαεῖ σύμπνοον εὐμαθίῃ.

## 228. ΑΔΔΑΙΟΥ ΜΑΚΕΔΟΝΟΣ.

Αὔλακι καὶ γήρᾳ τετρυμένον ἐργατίνην βοῦν
Ἄλκων οὐ φονίην ἤγαγε πρὸς κοπίδα,
αἰδεσθεὶς ἔργων· ὁ δέ που βαθέῃ ἐνὶ ποίῃ
μυκηθμοῖς ἀρότρου τέρπετ' ἐλευθερίῃ.

## 229. ΚΡΙΝΑΓΟΡΟΥ.

Αἰετοῦ ἀγκυλόχειλος ἀκρόπτερον ὀξύ, σιδήρῳ
γλυφθέν, καὶ βαπτῇ πορφύρεον κυάνῳ,
ἤν τι λάθῃ μίμνον μεταδόρπιον ἐγγὺς ὀδόντων,
κινῆσαι πρηεῖ κέντρῳ ἐπιστάμενον,
βαιὸν ἀπ' οὐκ ὀλίγης πέμπει φρενός, οἷα * δεδαπὸς
δῶρον ὀπάσσ' ἐπὶ σοί, Λεύκιε, Κριναγόρης.

## 230. ΚΟΙΝΤΟΥ.

* ἀρίτα Φοίβῳ Βιθυνίδος ὃς τόδε χώρης
κράσπεδον αἰγιαλοῖς γειτονέουσιν ἔχει,
Δᾶμις ὁ κυρτευτής, ψάμμῳ κέρας αἰὲν ἐρείδων,
φρουρητὸν κήρυκ' αὐτοφυεῖ σκόλοπι
θῆκε γέρας, λιτὸν μέν, ἐπ' εὐσεβίῃ δ', ὁ γεραιός,
εὐχόμενος νούσων ἐκτὸς ἰδεῖν Ἀΐδην.

## 231. ΦΙΛΙΠΠΟΥ.

Αἰγύπτου μεδέουσα μελαμβώλου, λινόπεπλε
δαῖμον, ἐπ' εὐϊέρους βῆθι θυηπολίας.
σοὶ γὰρ ὑπὲρ σχιδάκων λαγαρὸν ποπάνευμα πρόκειται,
καὶ πολιὸν χηνῶν ζεῦγος ἐνυδροβίων,

καὶ νάρδος ψαφαρὴ κεγχρίτισιν ἰσχάσιν ἀμφί,
καὶ σταφυλὴ γραίη, χὡ μελίπνους λίβανος.
εἰ δ᾽ ὡς ἐκ πελάγους ἐῤῥύσαο Δᾶμιν, ἄνασσα,
κὴκ πενίης, θύσει χρυσόκερων κεμάδα.

## 232. ΚΡΙΝΑΓΟΡΟΥ.

Βότρυες οἰνοπέπαντοι, ἐϋσχίστοιό τε ῥοιῆς
θρύμματα, καὶ ξανθοὶ μύελοι ἐκ στροβίλων,
καὶ δειλαὶ δάκνεσθαι ἀμυγδάλαι, ἥ τε μελισσῶν
ἀμβροσίη, πυκναί τ᾽ ἰτρινέαι ποπάδες,
καὶ πότιμοι γελγίθες, ἰδ᾽ * ὑελακυκάδες ὄγχναι,
δαψιλῆ οἰνοπόταις γαστρὸς ἐπεισόδια·
Πανὶ φιλοσκήπωνι, καὶ εὐστόρθυγγι Πριήπῳ
ἀντίθεται λιτὴν δαῖτα Φιλοξενίδης.

## 233. ΜΑΙΚΙΟΥ.

Γομφιόδουπα χαλινά, καὶ ἀμφίτρητον * ὑπεικταν
κημόν, καὶ γενύων σφίγκτορ᾽ ἐϋῤῥαφέα,
τάνδε τ᾽ ἐπιπλήκτειραν ἀποῤῥήτοιο διωγμοῦ
μάστιγα, σκαιοῦ δῆγμά τ᾽ ἐπιψελίου,
κεντρα τ᾽ ἐναιμήεντα διωξίπποιο μύωπος,
καὶ πριστὸν ψήκτρης κνῆσμα σιδηρόδετον,
διπλοῖς ἠϊόνων ὠρύγμασιν, Ἴσθμιε, τερφθείς,
δῶρα, Πόσειδον, ἔχεις ταῦτα παρὰ Στρατίου.

## 234. ΕΡΥΚΙΟΥ.

Γάλλος ὁ χαιτάεις, ὁ νεήτομος, ὁ πρὸ Τυμώλου
Λύδιος ὀρχηστὰς μάκρ᾽ ὀλολυζόμενος,
τᾷ παρὰ Σαγγαρίῳ τάδε ματέρι τύμπανα ταῦτα
θήκατο, καὶ μάστιν τὰν πολυαστράγαλον,

ταῦτά τ' ὀρειχάλκου λάλα κύμβαλα, καὶ μυρόεντα
βόστρυχον, ἐκ λύσσας ἄρτ' ἀναπαυσάμενος.

### 235. ΘΑΛΛΟΥ.

Ἑσπερίοις μέγα χάρμα καὶ ἠῴοις περάτεσσιν,
Καῖσαρ, ἀνικάτων ἔκγονε Ῥωμυλιδῶν,
αἰθερίην γένεσιν σέο μέλπομεν, ἀμφὶ δὲ βωμοῖς
γηθοσύνους λοιβὰς σπένδομεν ἀθανάτοις.
ἀλλὰ σὺ παππῴοις ἐπὶ βήμασιν ἴχνος ἐρείδων,
εὐχομένοις ἡμῖν πουλὺ μένοις ἐπ' ἔτος.

### 236. ΦΙΛΙΠΠΟΥ.

Ἔμβολα χαλκογένεια, φιλόπλοα τεύχεα νηῶν,
Ἀκτιακοῦ πολέμου κείμεθα μαρτύρια·
ἥνιδε σιμβλεύει κηρότροφα δῶρα μελισσῶν,
ἑσμῷ βομβητῇ κυκλόσε βριθόμενα.
Καίσαρος εὐνομίης χρηστὴ χάρις· ὅπλα γὰρ ἐχθρῶν
καρποὺς εἰρήνης ἀντεδίδαξε τρέφειν.

### 237. ΑΝΤΙΣΤΙΟΥ.

Ἐνδυτὰ καὶ πλοκάμους τούτους θέτο Γάλλος ὀρείῃ
μητρὶ θεῶν, τοίης εἵνεκα συντυχίης.
μούνῳ οἱ στείχοντι λέων ἄντασε καθ' ὕλαν
ἀργαλέος, ζωᾶς δ' ἆθλος ἐπεκρέματο.
ἀλλὰ θεὴ Γάλλῳ μὲν ἐπὶ φρενὸς ἧκεν ἀράξαι
τύμπανον· ὠμηστὰν δ' ἔτραπε φυζαλέον,
φθόγγον ὑποδδείσαντα πελώριον· εἵνεκα τοῦδε
πλοχμοὶ συρικτᾶν κεῖνται ἀπ' ἀκρεμόνων.

### 238. ΑΠΟΛΛΩΝΙΔΟΥ.

Εὔφρων οὐ πεδίου πολυαύλακος εἴμ' ὁ γεραιός,
οὐδὲ πολυγλεύκου γειομόρος βότρυος·

ἀλλ' ἀρότρῳ βραχύβωλον ἐπικνίζοντι χαράσσω
χέρσον, καὶ βαιοῦ πίδακα ῥαγὸς ἔχω.
οὖ μὲν ἴδ' ἐξ ὀλίγων ὀλίγη χάρις· εἰ δὲ διδοίης
πλείονα, καὶ πολλῶν, δαῖμον, ἀπαρξόμεθα.

## 239. ΤΟΥ ΑΥΤΟΥ.

Σμήνεος ἔκ με ταμὼν γλυκερὸν θέρος * ἀμφινομέων
γηραιὸς Κλείτων σπεῖσε μελισσοπόνος,
ἀμβροσίων ἔαρος κηρῶν μέλι πολλὸν ἀμέλξας,
δῶρον ἀποιμάντου τηλοπέτευς ἀγέλης.
θείης δ' ἐσμοτόκον χορὸν ἄπλετον, εὖ δὲ μελιχροῦ
νέκταρος ἐμπλήσαις κηροπαγεῖς θαλάμας

## 240. ΦΙΛΙΠΠΟΥ.

Ζηνὸς καὶ Λητοῦς θηροσκόπε τοξότι κούρη,
Ἄρτεμις, ἣ θαλάμους τοὺς ὀρέων ἔλαχες,
νοῦσον τὴν στυγερὴν αὐθημερὸν ἐκ βασιλῆος
ἐσθλοτάτου πέμψαις ἄχρις Ὑπερβορέων·
σοὶ γὰρ ὑπὲρ βωμῶν ἀτμὸν λιβάνοιο Φίλιππος
ῥέξει, καλλιθυτῶν κάπρον ὀρειονόμον.

## 241. ΑΝΤΙΠΑΤΡΟΥ.

Η κόρυς ἀμφοτέρην ἔλαχον χάριν· εἰμὶ δ' ὁρᾶσθαι
καὶ τερπνὴ φιλίοις, καὶ φόβος ἀντιπάλοις.
ἐκ δὲ Πυλαιμένεος Πείσων μ' ἔχει· ἔπρεπεν ἄλλαις
οὔτε κόρυς χαίταις, οὔτε κόμαι κόρυθι.

## 242. ΚΡΙΝΑΓΟΡΟΥ.

Ηοῖ ἐπ' εὐκταίῃ τάδε ῥέζομεν ἱρὰ τελείῳ
Ζηνί, καὶ ὠδίνων μειλίχῳ Ἀρτέμιδι.
τοῖσι γὰρ ουμὸς ὅμαιμος ἔτ' ἄχνοος εὔξατο θήσειν
τὸ πρῶτον γενύων ἠϊθέοισιν ἔαρ.

δαίμονες ἀλλὰ δέχοισθε, καὶ αὐτίκα τῶνδ' ἀπ' ἰούλων
Εὐκλείδην πολιῆς ἄχρις ἄγοιτε τριχός.

## 243. ΔΙΟΔΩΡΟΥ.

Η τε Σάμου μεδέουσα, καὶ ἣ λάχες Ἴμβρασον Ἥρη,
δέξο γενεθλιδίους, πότνα, θυηπολίας,
μόσχων ἱερὰ ταῦτα, τά σοι πολὺ φίλτατα πάντων
ἴσμεν, ὅσοι μακάρων θεσμὸν ἐπιστάμεθα.
εὔχετ' ἐπισπένδων τάδε Μάξιμος· ἣ δ' ἐπένευσεν
ἔμπεδα· Μοιράων δ' οὐκ ἐμέγηρε λίνα.

## 244. ΚΡΙΝΑΓΟΡΟΥ.

Ἥρη, Ἐλειθυιῶν μήτηρ, Ἥρη τε τελείη,
καὶ Ζεῦ, γινομένοις ξυνὸς ἅπασι πάτερ,
ὠδῖνας νεύσαιτ' Ἀντωνίῃ ἵλαοι ἐλθεῖν
πρηείας, μαλακαῖς χερσὶ σὺν Ἠπιόνης,
ὄφρα κε γηθήσειε πόσις, μήτηρ θ', ἑκυρά τε.
ἡ νηδὺς οἴκων αἷμα φέρει μεγάλων.

## 245. ΔΙΟΔΩΡΟΥ.

Καρπαθίην ὅτε νυκτὸς ἅλα στρέψαντος ἀήτου
λαίλαπι Βοῤῥαίῃ κλασθὲν ἐςεῖδε κέρας,
εὔξατο κῆρα φυγών, Βοιώτιε, σοί με, Κάβειρε
δέσποτα, χειμερίης ἄνθεμα ναυτιλίης,
ἀρτήσειν ἁγίοις τόδε λώπιον ἐν προπυλαίοις
Διογένης· ἀλέκοις δ' ἀνέρι καὶ πενίην.

## 246. ΦΙΛΟΔΗΜΟΥ οἱ δὲ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Κέντρα διωξικέλευθα, φιλοῤῥώθωνά τε κημόν,
τόν τε περὶ στέρνοις κόσμον ὀδοντοφόρον,
* καὶ σύϊνην ῥάβδον ἐπὶ προθύροισι, Πόσειδον,
ἄνθετο σοὶ νίκης Χάρμος ἀπ' Ἰσθμιάδος,

καὶ ψήκτρην ἵππων ἐρυσίτριχα, τήν τ᾽ ἐπὶ νώτων
μάστιγα, ῥοίζου μητέρα θαρσαλέην.
ἀλλὰ σύ, κυανοχαῖτα, δέχευ τάδε· τὸν δὲ Λυκίνου
υἷα καὶ εἰς μεγάλην στέψον Ὀλυμπιάδα.

## 247. ΦΙΛΙΠΠΟΥ.

Κερκίδας ὀρθρολάλοισι χελιδόσιν εἰκελοφώνους,
Παλλάδος ἱστοπόνου λειομίτους κάμακας,
καὶ κτένα κοσμοκόμην, καὶ δακτυλότριπτον ἄτρακτον
σφονδυλοδινήτῳ νήματι νηχόμενον,
καὶ τάλαρον σχοίνοισιν ὑφασμένον, ὃν ποτ᾽ ὀδόντι
ἐπλήρου τολύπη πᾶσα καθαιρομένη,
σοί, φιλέριθε κόρη Παλλαντιάς, ἡ βαθύγηρως
Αἰσιόνη, πενίης δῶρον, ἀνεκρέμασεν.

## 248. ΑΡΓΕΝΤΑΡΙΟΥ.

Κύπριδι κεῖσο, λάγυνε μεθυσφαλές, αὐτίκα δῶρον
κεῖσο, κασιγνήτη νεκταρέης κύλικος,
βακχιάς, ὑγρόφθογγε, συνέστιε δαιτὸς ἐίσης,
στεινaύχην, ψήφου συμβολικῆς θύγατερ,
θνητοῖς αὐτοδίδακτε διήκονε, μύστι φιλούντων
ἡδίστη, δείπνων ὅπλον ἑτοιμότατον·
εἴης ἐκ Μάρκου γέρας ἀγλαόν, ὃς σέ, φίλοινε,
ἤνεσεν, ἀρχαίην σύμπλανον ἀνθέμενος.

## 249. ΑΝΤΙΠΑΤΡΟΥ.

Λαμπάδα κηροχίτωνα, Κρόνου τυφήρεα λύχνον,
σχοίνῳ καὶ λεπτῇ σφιγγομένην παπύρῳ,
Ἀντίπατρος Πείσωνι φέρει γέρας· ἢ δέ μ᾽ ἀνάψας
εὔξηται, λάμψω φέγγος ἀκουσίθεον.

## 250. ΑΝΤΙΦΙΛΟΥ.

*Λιτὸς ἐγὼ τὰ τύχης, ὦ δεσπότι· φημὶ δὲ πολλῶν*
*ὄλβον ὑπερκύπτειν, ὅσσον ἀπὸ κραδίης.*
*ἀλλὰ δέχευ μνιαροῖο βαθυῤῥήνοιο τάπητος*
*ἐνδυτόν, εὐανθεῖ πορφύρῃ εἰδόμενον,*
*εἴριά τε ῥοδόεντα, καὶ ἐς κυανότριχα χαίτην*
*νάρδον, ὑπὸ γλαυκῆς κλειομένην ὑάλου,*
*ὄφρα χιτὼν μὲν χρῶτα περισκέπῃ, ἔργα δ' ἐλέγχῃ*
*χεῖρας, ὁ δ' εὐώδης ἀτμὸς ἔχῃ πλοκάμους.*

## 251. ΦΙΛΙΠΠΟΥ.

*Λευκάδος αἰπὺν ἔχων ναύταις τηλέσκοπον ὄχθον,*
*Φοῖβε, τὸν Ἰονίῳ λουόμενον πελάγει,*
*δέξαι πλωτήρων μάζης χεριφυρέα δαῖτα,*
*καὶ σπονδὴν ὀλίγῃ κιρναμένην κύλικι,*
*καὶ βραχυφεγγίτου λύχνου σέλας ἐκ βιοφειδοῦς*
*ὄλπης ἡμιμεθεῖ πινόμενον στόματι,*
*ἀνθ' ὧν ἱλήκοις, ἐπὶ δ' ἱστία πέμψον ἀήτην*
*οὔριον Ἀκτιακοὺς σύνδρομον εἰς λιμένας.*

## 252. ΑΝΤΙΦΙΛΟΥ.

*Μῆλον ἐγὼ στρούθειον ἀπὸ προτέρης ἔτι ποίης*
*ὥριον ἐν νεαρῷ χρωτὶ φυλασσόμενον,*
*ἄσπιλον, ἀῤῥυτίδωτον, ἰσόχνοον ἀρτιγόνοισιν,*
*ἀκμὴν εὐπετάλοις συμφυὲς ἀκρέμοσιν,*
*ὥρης χειμερίης σπάνιον γέρας· εἰς σὲ δ', ἄνασσα,*
*τοίην χὠ νιφόεις κρυμὸς ὀπωροφορεῖ.*

## 253. ΚΡΙΝΑΓΟΡΟΥ.

*Σπήλυγγες Νυμφῶν εὐπίδακες, αἳ τόσον ὕδωρ*
*εἴβουσαι σκολιοῦ τοῦδε κατὰ πρεόνος,*

Πανός τ' ἠχήεσσα πιτυστέπτοιο καλιή,
τὴν ὑπὸ * κασσαίης ποσσὶ λέλογχε πέτρης,
ἱερά τ' ἀγρευταῖσι γερανδρύου ἀρκεύθοιο
πρέμνα, λιθηλογέες θ' Ἑρμέω ἱδρύσιες,
αὐταί θ' ἱλήκοιτε, καὶ εὐθήροιο δέχεσθε
Σωσάνδρου ταχινῆς σκῦλ' ἐλαφοσσοΐης.

## 254. ΜΥΡΙΝΟΥ.

Τὴν μαλακὴν Παφίης, Στατύλλιον ἀνδρόγυνον, δρῦν
ἕλκειν εἰς Ἀΐδην ἡνίκ' ἔμελλε χρόνος,
τὰκ κόκκου βαφθέντα καὶ ὑσγίνοιο θέριστρα,
καὶ τοὺς ναρδολιπεῖς ἀλλοτρίους πλοκάμους,
φαικάδα τ' εὐτάρσοισιν ἐπ' ἀστραγάλοισι γελῶσαν,
καὶ τὴν γρυτοδόκην κοιτίδα παμβακίδων,
αὐλούς θ' ἡδὺ πνέοντας ἑταιρείοις ἐνὶ κώμοις,
δῶρα Πριηπείων θῆκεν ἐπὶ προθύρων.

## 255. ΕΡΥΚΙΟΥ.

Τοῦτο Σάων τὸ δίπαχυ κόλον κέρας οὑμβρακιώτας
βουμολγὸς ταύρου κλάσσεν ἀτιμαγέλου,
ὁππότε μιν κνημούς τε, κατὰ λασίους τε χαράδρας
ἐξ ὀρέων ποταμοῦ φράσσατ' ἐπ' ἀϊόνι,
ψυχόμενον χηλάς τε καὶ ἰξύας· αὐτὰρ ὁ βούτεω
ἀντίος ἐκ πλαγίων ἴεθ'· ὁ δὲ ῥοπάλῳ
γυρὸν ἀπεκράνιξε βοὸς κέρας, ἐκ δέ μιν αὐτᾶς
ἀχράδος εὐμύκῳ πᾶξε παρὰ κλισίᾳ.

## 256. ΑΝΤΙΠΑΤΡΟΥ.

Ταύρου βαθὺν τένοντα, καὶ σιδαρέους
Ατλαντος ὤμους, καὶ κόμαν Ἡρακλέους
σεμνάν θ' ὑπήναν, καὶ λέοντος ὄμματα

Μιλησίου γίγαντος οὐδ' Ὀλύμπιος
Ζεὺς ἀτρόμητος εἶδεν, ἄνδρας ἡνίκα
πυγμὰν ἐνίκα Νικοφῶν Ὀλύμπια.

## 257. ΑΝΤΙΦΙΛΟΥ.

Τίς με, Διωνύσῳ πεπλασμένον ἀμφιφορῆα,
τίς με, τὸν Ἀδριακοῦ νέκταρος οἰνοδόκον,
Δηοῦς ἐπλήρωσε; τίς ὁ φθόνος εἰς ἐμὲ Βάκχου,
ἢ σπάνις οἰκείου τεύχεος ἀσταχύων;
ἀμφοτέρους ἤσχυνε· σεσύληται μὲν ὁ Βάκχος,
Δημήτηρ δὲ Μέθην σύντροφον οὐ δέχεται.

## 258. ΑΔΔΑΙΟΥ.

Τὰν ὄϊν, ὦ Δάματερ ἐπόγμιε, τάν τ' ἀκέρωτον
μόσχον, καὶ τροχιὰν ἐν κανέῳ φθοΐδα,
σοι, ταύτας ἐφ' ἅλωος, ἐφ' ᾇ πολὺν ἔβρασεν ἄντλον
Κρήθων, καὶ λιπαρὰν εἶδε γεωμορίαν,
ἱρεύει, πολύσωρε· σὺ δὲ Κρήθωνος ἄρουραν
πᾶν ἔτος εὔκριθον καὶ πολύπυρον ἄγοις.

## 259. ΦΙΛΙΠΠΟΥ.

Τίς τὸν ἄχνουν Ἑρμῆν σε παρ' ὑσπλήγεσσιν ἔθηκεν;
Ἑρμογένης. τίνος ὤν; Δαιμονέως. ποδαπός;
Ἀντιοχεύς. τιμῶν σε χάριν τίνος; ὡς συναρωγὸν
ἐν σταδίοις. ποίοις; Ἰσθμόθι κὴν Νεμέᾳ.
ἔτρεχε γάρ; καὶ πρῶτος. ἑλὼν τίνας; ἐννέα παῖδας·
ἔπτη δ' ὡς ἂν ἔχων τοὺς πόδας ἡμετέρους.

## 260. ΓΕΜΙΝΟΥ.

Φρύνη τὸν πτερόεντα, τὸν εὐτέχνητον Ἔρωτα,
μισθὸν ὑπὲρ * τέκνων, ἄνθετο Θεσπιάσιν.

Hosted by Google

*Κύπριδος ἡ τέχνη· ζηλούμενον, οὐκ ἐπιμεμφὲς*
*δῶρον· ἐς ἀμφοτέρους δ' ἔπρεπε μισθὸς Ἔρως.*
*δοιῆς ἐκ τέχνης αἰνέω βροτόν, ὅς γε καὶ ἄλλοις*
*δούς, θεὸν ἐν σπλάγχνοις εἶχε τελειότερον.*

## 261. *ΚΡΙΝΑΓΟΡΟΥ.*

*Χάλκεον ἀργυρέῳ με πανείκελον, Ἰνδικὸν ἔργον,*
*ὄλπην, ἡδίστου ξείνιον εἰς ἑτάρου,*
*ἦμαρ ἐπεὶ τόδε σεῖο γενέθλιον, υἱὲ Σίμωνος,*
*πέμπει γηθομένῃ σὺν φρενὶ Κριναγόρης.*

## 262. *ΛΕΩΝΙΔΑ.*

*Τὸν * νομίην καὶ ἔπαυλα βοῶν καὶ βώτορας ἄνδρας*
*σινόμενον, κλαγγὰν τ' οὐχὶ τρέσαντα κυνῶν,*
*Εὐάλκης ὁ Κρὴς ἐπινύκτια μῆλα νομεύων*
*πέφνε, καὶ ἐκ ταύτης ἐκρέμασεν πίτυος.*

## 263. *ΤΟΥ ΑΥΤΟΥ.*

*Πυρσοῦ τοῦτο λέοντος ἀπεφλοιώσατο δέρμα*
*Σῶσος ὁ βουπάμων, δουρὶ φονευσάμενος,*
*ἄρτι καταβρύκοντα τὸν εὐθηλήμονα μόσχον,*
*οὐδ' ἵκετ' ἐκ μάνδρας αὖτις ἐπὶ ξύλοχον·*
*μοσχείου δ' ἀπέτισεν ὁ θὴρ ἀνθ' αἵματος αἷμα,*
*βληθείς· ἀχθεινὰν δ' εἶδε βοοκτασίαν.*

## 264. *ΜΝΑΣΑΛΚΟΥ.*

*Ἀσπὶς Ἀλεξάνδρου τοῦ Φυλλέος ἱερὸν ἅδε*
*δῶρον Ἀπόλλωνι χρυσοκόμῳ δέδομαι,*
*γηραλέα μὲν ἴτυν πολέμων ὕπο, γηραλέα δὲ*
*ὀμφαλόν· ἀλλ' ἀρετᾷ λάμπομαι, ἇς ἔκιχον*
*ἀνδρὶ κορυσσαμένα σὺν ἀριστεῖ, ὅς μ' ἀνέθηκεν.*
*ἐμμὶ δ' ἀήσσατος πάμπαν ἀφ' οὗ γενόμαν.*

Hosted by Google

## 265. ΝΟΣΣΙΔΟΣ.

*Ηρα τιμήεσσα, Λακίνιον ἃ τὸ θυῶδες*
*πολλάκις οὐρανόθεν νεισομένα καθορῇς,*
*δέξαι βύσσινον εἷμα, τό τοι μετὰ παιδὸς ἀγαυᾶς*
*Νοσσίδος ὕφανεν Θευφιλὶς ἁ Κλεόχας.*

## 266. ΗΓΗΣΙΠΠΟΥ.

*Τάνδε παρὰ τριόδοις τὰν Ἄρτεμιν Ἀγελόχεια,*
*ἔτ' ἐν πατρὸς μένουσα παρθένος δόμοις,*
*ἕσσατο, Δαμαρέτου θυγάτηρ· ἐφάνη γάρ οἱ αὐτὰ*
*ἱστοῦ παρὰ κρόκαισιν, ὡς λύγα πυρός.*

## 267. ΔΙΟΤΙΜΟΥ.

*Φωσφόρος, ὦ σώτειρ', ἐπὶ Παλλάδος ἵσταθι κλήρων,*
*Ἄρτεμι, καὶ χαρίεν φῶς ἑὸν ἀνδρὶ δίδου,*
*αὐτῷ, καὶ γενεῇ *τὸ πόρ' εὐμαρές· οὐ γὰρ ἀφαυρῶς*
*ἐκ Διὸς ἰθείης οἶδε τάλαντα δίκης.*
*ἄλσος δ', Ἄρτεμι, τοῦτο καὶ ἂν Χαρίτεσσι θεούσαις*
*εἴη ἐπ' ἀνθεμίδων σάμβαλα κοῦφα βαλεῖν.*

## 268. ΜΝΑΣΑΛΚΟΥ.

*Τοῦτο σοί, Ἄρτεμι δῖα, Κλεώνυμος εἵσατ' ἄγαλμα·*
*τοῦτο· σὺ δ' εὐθήρου τοῦδ' ὑπέρισχε ῥίου,*
*εἴτε κατ' εἰνοσίφυλλον ὄρος ποσὶ πότνια βαίνεις,*
*δεινὸν μαιμώσαις ἐγκονέουσα κυσίν.*

## 269. ΩΣ ΣΑΠΦΟΥΣ.

*Παιδνός, ἄφωνος ἐοῖσά τ' ἔτ', ἐννέπω, αἴ τις ἔρηται,*
*φωνὰν ἀκαμάταν κατθεμένα πρὸ ποδῶν·*
*Αἰθοπίᾳ με κόρᾳ Λατοῦς ἀνέθηκεν Ἀριστὼ*
*Ἑρμοκλείταο τῶ Σαοναϊάδα,*

σὰ πρόπολος, δέσποινα γυναικῶν· ἃ σὺ χαρεῖσα
πρόφρων ἁμετέραν εὔκλεϊσον γενεάν.

## 270. ΝΙΚΙΟΥ.

* Ἀμφαρέτρις κρήδεμνα, καὶ ὑδατόεσσα καλύπτρη,
Εἰλήθυια, τεᾶς κεῖται ὑπὲρ κεφαλᾶς,
ἅ σε μετ' εὐχωλᾶς ἐκαλέσσατο, λευγαλέας οἱ
κῆρας ἀπ' ὠδίνων τῆλε βαλεῖν λοχίων.

## 271. ΦΑΙΔΙΜΟΥ.

Ἄρτεμι, σοὶ τὰ πέδιλα Κιχησίου εἵσατο υἱός,
καὶ πέπλων ὀλίγον πτύγμα Θεμιστοδίκη,
οὕνεκά οἱ πρηεῖα λεχοῖ δισσὰς ὑπερέσχες
χεῖρας, ἄτερ τόξου, πότνια, νισσομένη.
Ἄρτεμι, νηπίαχον δὲ καὶ εἰςέτι παῖδα Λέοντος
νεῦσον ἰδεῖν κοῦρον * υἱέ' ἀεξόμενον.

## 272. ΠΕΡΣΟΥ.

Ζῶμά τοι, ὦ Λατῴ, καὶ ἀνθεμόεντα κύπασσιν,
καὶ μίτραν μαστοῖς σφιγκτὰ περιπλομέναν
θήκατο Τιμάεσσα, δυςωδίνοιο γενέθλας
ἀργαλέον δεκάτῳ μηνὶ φυγοῦσα βάρος.

## 273. ΩΣ ΝΟΣΣΙΔΟΣ.

Ἄρτεμι Δᾶλον ἔχουσα καὶ Ὀρτυγίαν ἐρόεσσαν,
τόξα μὲν εἰς κόλπους ἁγν' ἀπόθου Χαρίτων,
λοῦσαι δ' Ἰνωπῷ καθαρὸν χρόα, βᾶθι δ' ἐς οἴκους
λύσουσ' ὠδίνων Ἀλκέτιν ἐκ χαλεπῶν.

## 274. ΠΕΡΣΟΥ.

Πότνια κουροσόος ταύταν * ἐπὶ ποντίδα νύμφαν,
καὶ στεφάναν λιπαρῶν ἐκ κεφαλᾶς πλοκάμων,

ὄλβια Εἰλήθυια, πολυμνάστοιο φύλασσε
Τίσιδος ὠδίνων ῥύσια δεξαμένα.

### 275. ΝΟΣΣΙΔΟΣ.

Χαίροισάν τοι ἔοικε κομᾶν ἄπο τὰν Ἀφροδίταν
ἄνθεμα κεκρύφαλον τόνδε λαβεῖν Σαμύθας·
δαιδαλέος τε γάρ ἐστι, καὶ ἁδύ τι νέκταρος ὄζει,
τοῦ, τῷ καὶ τήνα καλὸν Ἄδωνα χρίει.

### 276. ΑΝΤΙΠΑΤΡΟΥ.

Ἡ πολύθριξ οὔλας ἀνεδήσατο παρθένος Ἵππη
χαίτας, εὐώδη σμηχομένα κρόταφον·
ἤδη γάρ οἱ ἐπῆλθε γάμου τέλος· αἱ δ' ἐπὶ κούρῃ
μίτραι παρθενίας αἰτέομεν χάριτας.
Ἄρτεμι, σῇ δ' ἰότητι γάμος θ' ἅμα καὶ γένος εἴη
τῇ Λυκομηδείῳ παιδὶ φιλαστραγάλῃ.

### 277. ΔΑΜΑΓΗΤΟΥ.

Ἄρτεμι τόξα λαχοῦσα καὶ ἀλκήεντας ὀϊστούς,
σοὶ πλόκον οἰκείας τόνδε λέλοιπε κόμης
Ἀρσινόη θυόεν παρ' ἀνάκτορον, ἡ Πτολεμαίου
παρθένος, ἱμερτοῦ κειραμένη πλοκάμου.

### 278. ΡΙΑΝΟΥ.

Παῖς Ἀσκληπιάδεω καλῷ καλὸν εἵσατο Φοίβῳ
Γόργος ἀφ' ἱμερτᾶς τοῦτο γέρας κεφαλᾶς.
Φοῖβε, σὺ δ' ἵλαος Δελφίνιε κοῦρον ἀέξοις
εὔμοιρον λευκὴν ἄχρις ἐφ' ἡλικίην.

### 279. ΕΥΦΟΡΙΩΝΟΣ.

Πρώτας ὁππότ' ἔπεξε καλὰς Εὔδοξος ἐθείρας,
Φοίβῳ παιδείην ὤπασεν ἀγλαΐην.

ἀντὶ δέ οἱ πλοκαμῖδος, Ἑκηβόλε, κάλλος ἐπείη
ᾧ χαρνῆθεν ἀεὶ κισσὸς ἀεξόμενος.

## 280. ΑΔΗΛΟΝ.

Τιμαρέτα πρὸ γάμοιο τὰ τύμπανα, τήν τ' ἐρατεινὴν
σφαῖραν, τόν τε κόμας ῥύτορα κεκρύφαλον,
τάς τε κόρας, Λιμνάτι, κόρᾳ κόρα, ὡς ἐπιεικές,
ἄνθετο, καὶ τὰ κορᾶν ἐνδύματ', Ἀρτέμιδι.
Λατῴα, τὺ δὲ παιδὸς ὑπὲρ χέρα Τιμαρετείας
θηκαμένα, σώζοις τὰν ὁσίαν ὁσίως.

## 281. ΛΕΩΝΙΔΟΥ.

Δίνδυμα καὶ Φρυγίης πυρικαίεος ἀμφιπολεῦσα
πρῶνας, τὴν μικρήν, μῆτερ, Ἀριστοδίκην,
κούρην Σειλήνης, παμπότνια, κεὶς ὑμέναιον,
κεὶς γάμον ἁβρύναις, πείρατα κουροσύνας,
ἀνθ' ὧν σοὶ καὶ πολλὰ προνήϊα, καὶ παρὰ βωμῷ
παρθενικὴν ἐτίναξ' ἔνθα καὶ ἔνθα κόμην.

## 282. ΘΕΟΔΩΡΟΥ.

Σοὶ τὸν πιληθέντα δι' εὐξάντου τριχὸς ἀμνοῦ,
Ἑρμᾶ, Καλλιτέλης ἐκρέμασεν πέτασον,
καὶ δίβολον περόναν, καὶ στλεγγίδα, καὶ τὸ τανυσθὲν
τόξον, καὶ τριβάκην γλοιοπότιν χλαμύδα,
καὶ σχίζας, καὶ σφαῖραν ἀείβολον· ἀλλὰ σὺ δέξαι,
* δῶρα φιλευτάκτου δῶρον ἐφηβοσύνας.

## 283. ΑΔΗΛΟΝ.

Ἡ τὸ πρὶν αὐχήσασα πολυχρύσοις ἐπ' ἐρασταῖς,
ἡ Νέμεσιν δεινὴν οὐχὶ κύσασα θεόν,
μισθία νῦν σπαθίοις πενιχροῖς πηνίσματα κρούει·
ὀψὲ γ' Ἀθηναίῃ Κύπριν ἐληΐσατο.

## 284. ΑΔΗΛΟΝ.

Λάθρῃ κοιμηθεῖσα Φιλαίνιον εἰς Ἀγαμήδους
κόλπους, τὴν φαιὴν εἰργάσατο χλανίδα.
αὐτὴ Κύπρις ἔριθος· εὔκλωστον δὲ γυναικῶν
νῆμα καὶ ἠλακάτην ἀργὸς ἔχοι τάλαρος.

## 285. ΝΙΚΑΡΧΟΥ· δοκεῖ.

Ἡ πρὶν Ἀθηναίης ὑπὸ κερκίσι, καὶ τὰ καθ' ἱστῶν
νήματα Νικαρέτη πολλὰ μιτωσαμένη,
Κύπριδι τὸν κάλαθόν τε, τὰ πήνια, καὶ τὰ σὺν αὐτοῖς
ἄρμεν' ἐπὶ προδόμου πάντα πυρῆς ἔθετο,
Ἔῤῥετε, φωνήσασα, κακῶν λιμηρὰ γυναικῶν
ἔργα, νέον τήκειν ἄνθος ἐπιστάμενα.
εἵλετο δὲ στεφάνους καὶ πηκτίδα, καὶ μετὰ κώμων
ἡ παῖς τερπνὸν ἔχειν ἐν θαλίαις βίοτον.
εἶπε δέ· Παντὸς σοὶ δεκάτην ἀπὸ λήμματος οἴσω,
Κύπρι, σὺ δ' ἐργασίην καὶ λάβε καὶ μετάδος.

## 286. ΛΕΩΝΙΔΟΥ.

Τῆς πέζης τὰ μὲν ἄκρα τὰ δεξιὰ μέχρι παλαιστῆς
καὶ σπιθαμῆς οὔλης Βίττιον εἰργάσατο·
θάτερα δ' Ἀντιάνειρα προςήρμοσε· τὸν δὲ μεταξὺ
Μαίανδρον καὶ τὰς παρθενικάς, Βιτίη.
κουρᾶν καλλίστη Διός, Ἄρτεμι, τοῦτο τὸ νῆμα
πρὸς ψυχῆς θείης, τὴν τριπόνητον ἔριν.

## 287. ΑΝΤΙΠΑΤΡΟΥ.

Ἄρτεμι, σοὶ ταύταν, εὐπάρθενε, πότνα γυναικῶν,
τὰν μίαν αἱ τρισσαὶ πέζαν ὑφηνάμεθα.
καὶ Βιτίη μὲν τάςδε χοροιθαλέας κάμε κούρας,
λοξά τε Μαιάνδρου ῥεῖθρα παλιμπλανέος·

Hosted by Google

ξανθὰ δ᾽ Ἀντιάνειρα τὸν ἀγχόθι μήσατο κόσμον,
πρὸς λαιᾷ ποταμοῦ κεκλιμένον λαγόνι·
τὸν δέ νυ δεξιτερῶν νασμῶν πέλας ἰσοπάλαιστον
τοῦτον ἐπὶ σπιθαμὴν Βίττιον ἠνύσατο.

## 288. ΛΕΩΝΙΔΑ.

Αἱ Λυκαμήδης παῖδες, Ἀθηνώ, καὶ Μελίτεια,
καὶ Φιντώ, Γληνίς θ᾽, αἱ φιλοεργόταται,
ἔργων ἐκ δεκάτας ποτιθύμια, τόν τε πρόσεργον
ἄτρακτον, καὶ τὰν ἄτρια κριναμέναν
κερκίδα, τὰν ἱστῶν μολπάτιδα, καὶ τὰ τροχαῖα
πανία, * κερταστὰς τούςδε ποτιῤῥόγεας,
* καὶ σπάθας εὐβριθεῖς πολυάργυρα τὼς δὲ πενιχραὶ
ἐξ ὀλίγων ὀλίγην μοῖραν ἀπαρχόμεθα.
τῶν χέρας αἰεί, Ἀθάνα, ἐπιπλήσαις μὲν ὀπίσσω,
θείης δ᾽ εὐσιπύους ἐξ ὀλιγησιπύων.

## 289. ΤΟΥ ΑΥΤΟΥ.

Αὐτονόμα, Μελίτεια, Βοΐσκιον, αἱ Φιλομήδεω
καὶ Νικοῦς Κρῆσσαι τρεῖς, ξένε, θυγατέρες·
ἁ μὲν τὸν μιτόεργον ἀειδίνητον ἄτρακτον,
ἁ δὲ τὸν ὀρφνίταν εἱροκόμον τάλαρον,
ἁ δ᾽ ἅμα τὰν πέπλων εὐάτριον ἐργάτιν, ἱστῶν
κερκίδα, τὰν λεχέων Πανελόπας φύλακα,
δῶρον Ἀθαναίᾳ Πανάτιδι τῷδ᾽ ἐνὶ ναῷ
θῆκαν, Ἀθαναίας παυσάμεναι καμάτων.

## 290. ΔΙΟΣΚΟΡΙΔΟΥ.

Ῥιπίδα τὴν μαλακοῖσιν ἀεὶ πρηεῖαν ἀήταις
Παρμενὶς ἡδίστη θῆκε παρ᾽ Οὐρανίῃ,

ἐξ εὐνῆς δεκάτευμα· τὸ δ' ἠελίου βαρὺ θάλπος
ἦδ' αἰεὶ μαλακοῖς ἐκτρέπεται Ζεφύροις.

## 291. ΑΝΤΙΠΑΤΡΟΥ.

Βακχυλὶς ἡ Βάκχου κυλίκων σποδός, ἔν ποτε νούσῳ
κεκλιμένα, Δηοῖ τοῖον ἔλεξε λόγον·
Ἢν ὀλοοῦ διὰ κῦμα φύγω πυρός, εἰς ἑκατόν σοι
ἠελίους δροσερᾶν πίομαι ἐκ λιβάδων,
ἀβρόμιος καὶ ἄοινος· ἐπεὶ δ' ὑπάλυξεν ἀνίην,
αὐτῆμαρ τοῖον μῆχος ἐπεφράσατο·
τρητὸν γὰρ θεμένα χερὶ κόσκινον, εὗ διὰ πυκνῶν
σχοίνων ἠελίους πλείονας ἠὔγάσατο.

## 292. ΗΔΥΛΟΥ.

Αἱ μίτραι τό θ' ἁλουργὲς ὑπένδυμα, τοί τε Λάκωνες
πέπλοι, καὶ ληρῶν χρύσεοι οἱ κάλαμοι·
πάνθ' ἅμα Νικονόη συνεπέκπιεν· ἦν γὰρ Ἐρώτων
καὶ Χαρίτων ἡ παῖς ἀμβρόσιόν τι θάλος.
τοιγὰρ τῷ κρίναντι τὰ καλλιστεῖα Πριήπῳ
νεβρίδα, καὶ χρυσέην τήνδ' ἔθετο προχόην.

## 293. ΛΕΩΝΙΔΟΥ.

Ὁ σκήπων καὶ ταῦτα τὰ βλαύτια, πότνια Κύπρι,
ἄγκειται κυνικοῦ σκῦλα Ποσωχάρεος,
ὄλπη τε ῥυπόεσσα, πολυτρήτοιό τε πήρας
λείψανον, ἀρχαίης πληθόμενον σοφίης·
σοὶ δὲ Ῥόδων ὁ καλὸς τὸν πάνσοφον ἡνίκα πρέσβυν
ἤγρευσεν, στεπτοῖς θῆκατ' ἐπὶ προθύροις.

## 294. ΦΑΝΙΟΥ.

Σκήπωνα προποδαγόν, ἱμάντα τε, καὶ * παρακείταν
νάρθηκα, κροτάφων πλάκτορα νηπιάχων,

κίρκον τ' * εὔόλπαν φιλοκαμπέα, καὶ μονόπελμον
συγχίδα, καὶ στεγάναν κρατὸς ἐρημοκόμου,
Κάλλων Ἑρμείᾳ θέτ' ἀνάκτορι, σύμβολ' ἀγωγᾶς
παιδείου, πολιῷ γυῖα δεθεὶς καμάτῳ.

## 295. ΤΟΥ ΑΥΤΟΥ.

Σμῖλαν *Ἀκεστώνδας δονακογλύφον, ὅν τ' ἐπὶ μισθῷ
σπόγγον ἔχεν καλάμων ψαίστορ' ἀπὸ Κνιδίων,
καὶ σελίδων κανόνισμα φιλόρθιον, ἔργμα * τελείας
σαμοθέτω, καὶ τὰν εὐμέλανον βροχίδα,
κάρκινά τε σπειροῦχα, λεάντειράν τε κίσηριν,
καὶ τὰν ἀδυφαῆ πλινθίδα καλλαΐναν,
μάζας ἀνίκ' ἔκυρσε τελωνιάδος φιλολίχνου,
Πιερίσιν πενίας ἅρμεν' ἀνεκρέμασεν.

## 296. ΛΕΩΝΙΔΑ.

Ἀστεμφῆ ποδάγρην, καὶ δούνακας * ἀντυκτῆρας,
καὶ λίνα, καὶ γυρὸν τοῦτο λαγωοβόλον,
ἰοδόκην, καὶ τοῦτον ἐπ' ὄρτυγι τετρανθέντα
αὐλὸν, καὶ πλωτῶν εὐπλεκὲς ἀμφιβόλον
Ἑρμείῃ Σώσιππος, ἐπεὶ παρενήξατο τὸ πλεῦν
ἥβης, ἐκ γήρως δ' ἀδρανίῃ δέδεται.

## 297. ΦΑΝΙΟΥ.

Ἄλκιμος ἀγρεῖφναν κενοδόντιδα, καὶ φιλοδούπου
φάρσος ἄμας, στελεοῦ χῆρον ἐλαϊνέου,
ἀρθροπέδαν * στήμον τε, καὶ ὠλεσίβωλον ἀρούρης
σφῦραν, καὶ δαπέδων μουνορυχὰν ὄρυγα,
καὶ κτένας ἑλκητῆρας ἀνὰ προπύλαιον Ἀθάνας
θήκατο, καὶ ῥαπτὰς γειοφόρους σκαφίδας,

θησαυρῶν ὅτ' ἔκυρσεν, ἐπεὶ τάχ' ἂν ἅ πολυκυμπὴς
ἰξὺς κεἰς Ἀΐδαν ᾤχετο κυφαλέα.

## 298. ΛΕΩΝΙΔΑ.

Πήρην κἀδέψητον ἀπεσκληρυμμένον αἰγὸς
στέρφος, καὶ βάκτρον τοῦτο τὸ * λοιπόριvον,
κώλπαν ἀστλέγγιστον, ἀχάλκωτόν τε κυνοῦχον,
καὶ πῖλον κεφαλᾶς οὐχ ὁσίας σκέπανον·
ταῦτα καταφθιμένοιο μυρικίνεον περὶ θάμνον
σκῦλα Ποσωχάρεος Λίμος ἀνεκρέμασεν.

## 299. ΦΑΝΙΟΥ.

Φάρσος σοὶ γεραροῦ τόδε βότρυος, εἰνόδι' Ἑρμᾶ,
καὶ τρύφος ἰπνίτα πιαλέου φθόϊος
πάρκειται, σῦκόν τε μελαντραγές, ἅ τ' ἐφιουλκὶς
δρύππα, καὶ τυρῶν δρύψια κυκλιάδων,
ἀκτά τε Κρηταΐς, εὔτριβέος * τε ῥόειπα
θωμός, καὶ Βάκχου πῶμ' ἐπιδορπίδιον·
τοῖσιν ἅδοι καὶ Κύπρις, ἐμὰ θεός· ὔμμι δὲ ῥέξειν
φημὶ παρὰ κροκάλαις ἀργιπόδαν χίμαρον.

## 300. ΛΕΩΝΙΔΟΥ.

Λαθρίη, ἐκ * πλάνης ταύτην χάριν, ἔκ τε πενέστεω
κὴξ ὀλιγησιπύου δέξο Λεωνίδεω,
ψαιστά τε πιήεντα καὶ εὐθήσαυρον ἐλαίην,
καὶ τοῦτο χλωρὸν σῦκον ἀποκράδιον,
κεὐοίνου σταφυλῆς ἔχ' ἀποσπάδα πεντάῤῥαγον,
πότνια, καὶ σπονδὴν τήνδ' ὑποπυθμίδιον.
ἢν δέ μέ γ', ὡς ἐκ νούσου ἀνειρύσω, ὧδε καὶ ἐχθρᾶς
ἐκ πενίης ῥύσῃ, δέξο χιμαιροθύτην.

### 301. *ΚΑΛΛΙΜΑΧΟΥ.*

*Τὴν ἁλίην Εὔδημος ἐφ᾽ ἧς ἅλα λιτὸν ἐπέσθων*
*χειμῶνας μεγάλους ἐξέφυγεν δανέων,*
*θῆκε θεοῖς Σαμόθραξι, λέγων, ὅτι τήνδε κατ᾽ εὐχήν,*
*ὦ λαοί, σωθεὶς ἐξ ἁλός, ὧδ᾽ ἔθετο.*

### 302. *ΛΕΩΝΙΔΟΥ.*

*Φεύγεθ᾽ ὑπ᾽ ἐκ καλύβης, σκότιοι μύες· οὔτι πενιχρὴ*
*μῦς σιπύη βόσκειν οἶδε Λεωνίδεω.*
*αὐτάρκης ὁ πρέσβυς ἔχων ἅλα καὶ δύο κρῖμνα·*
*ἐκ πατέρων ταύτην ᾐνέσαμεν βιοτήν.*
*τῷ τί μεταλλεύεις τοῦτον μυχόν, ὦ φιλόλιχνε,*
*οὐδ᾽ ἀποδειπνιδίου γευόμενος σκυβάλου;*
*σπεύδων εἰς ἄλλους οἴκους ἴθι· τἀμὰ δὲ λιτά·*
*ὧν ἄπο πλειοτέρην οἴσεαι ἁρμαλίην.*

### 303. *ΑΡΙΣΤΩΝΟΣ.*

*Ὦ μύες, εἰ μὲν ἐπ᾽ ἄρτον ἐληλύθατ᾽, ἐς μυχὸν ἄλλον*
*στείχετ᾽, (ἐπεὶ λιτὴν οἰκέομεν καλύβην)*
*οὗ καὶ πίονα τυρὸν ἀποδρέψεσθε, καὶ αὔην*
*ἰσχάδα, καὶ δεῖπνον συχνὸν ἀπὸ σκυβάλων.*
*εἰ δ᾽ ἐν ἐμαῖς βίβλοισι πάλιν καταθήξετ᾽ ὀδόντα,*
*κλαύσεσθ᾽, οὐκ ἀγαθὸν κῶμον ἐπερχόμενοι.*

### 304. *ΦΑΝΙΟΥ.*

*Ακτίτα καλαμευτά, ποτὶ ξερὸν ἔλθ᾽ ἀπὸ πέτρας,*
*καί με λάβ᾽ εὔαρχον πρῴϊον ἐμπολέα,*
*αἴτε σύ γ᾽ ἐν κύρτῳ μελανουρίδας, αἴτε τιν᾽ ἀγρεῖς*
*μορμύρον, ἢ κίχλην, ἢ σπάρον, ἢ σμαρίδα·*
* *αὐτὸν αὐδάσεις με τόν οὐ κρέας, ἀλλὰ θάλασσαν*
*τιμῶντα, ψαφαροῦ κλάσματος εἰς ἀπάταν.*

χαλκίδας ἢν δὲ φέρῃς, φίλ᾽, ἀκανθίδας, ἥ τινα θρίσσαν,
εὐάγρει· λιθίναν οὐ γὰρ ἔχω φάρυγα.

## 305. ΛΕΩΝΙΔΑ.

Λαβροσύνᾳ τάδε δῶρα, φιλευλείχῳ τε Λαφυγμῷ
θήκατο Δεισόζου Δωριέως κεφαλά,
τὼς Λαρισσαίως κυτογάστορας ἑψητῆρας,
καὶ χύτρως, καὶ τὰν εὐρυχαδῆ κύλικα,
καὶ τὰν εὐχάλκωτον ἐΰγναμπτόν τε κρεάγραν,
καὶ κνῆστιν, καὶ τὰν ἐτνοδόνον τορύναν.
Λαβροσύνα, σὺ δὲ ταῦτα κακοῦ κακὰ δωρητῆρος
δεξαμένα, νεύσαις μή ποκα σωφροσύναν.

## 306. ΑΡΙΣΤΩΝΟΣ.

Χύτρον τοι, ταύτην τε κρεαγρίδα, καὶ βαθυκαμπῆ
κλεῖδα συῶν, καὶ τὰν ἐτνοδόνον τορύναν,
καὶ πτερίναν ῥιπίδα, τὸν εὔχαλκόν τε λέβητα,
σὺν πελέκει, καὶ τὰν λαιμοτόμον σφαγίδα,
ζωμοῦ τ᾽ ἀμφ᾽ ὀβελοῖσιν ἀρυστρίδα, τόν τε μαγῆα
σπόγγον ὑπὸ στιβαρᾷ κεκλιμένον κοπίδι,
καὶ τοῦτον δικάρανον ἁλοτρίβα, σὺν δὲ θυείαν
εὔπετρον, καὶ τὰν κρειοδόκον σκαφίδα,
ὀψοπόνος Σπίνθηρ Ἑρμῇ τάδε σύμβολα τέχνας
θήκατο, δουλοσύνας ἄχθος ἀπωσάμενος.

## 307. ΦΑΝΙΟΥ.

Εὐγάθης Λαπιθανὸς ἐσοπτρίδα, καὶ φιλέθειρον
σινδόνα, καὶ πετάσου φάρσος ὑποξύριον,
καὶ ψήκτραν δονακῖτιν ἀπέπτυσε, καὶ * λιποκόπτους
φασγανίδας, καὶ τοὺς συλόνυχας στόνυχας·

ἔπτυσε δὲ ψαλίδας, ξυρὰ καὶ θρόνον, εἰς δ' Ἐπικούρου,
κουρεῖον προλιπών, ἅλατο κηπολόγους,
ἔνθα λύρας ἤκουσεν ὅπως ὄνος· ὤλετο δ' ἂν που
λιμώσσων, εἰ μὴ στέρξε παλινδρομίαν.

## 308. ΑΣΚΛΗΠΙΑΔΟΥ.

Νικήσας τοὺς παῖδας, ἐπεὶ καλὰ γράμματ' ἔγραψε.
Κόνναρος ὀγδώκοντ' ἀστραγάλους ἔλαβεν,
κἀμέ, χάριν Μούσαις, τὸν κωμικὸν ὧδε Χάρητα
πρεσβύτην θορύβῳ θήκατο παιδαρίων.

## 309. ΛΕΩΝΙΔΑ.

Εὔφημόν τοι σφαῖραν, εὐκρόταλόν τε Φιλοκλῆς
Ἑρμείῃ ταύτην πυξινέην πλατάγην,
ἀστραγάλας θ' αἷς πόλλ' ἐπεμήνατο, καὶ τὸν ἑλικτὸν
ῥόμβον, κουροσύνης παίγνι' ἀνεκρέμασεν.

## 310. ΚΑΛΛΙΜΑΧΟΥ.

Εὐμαθίην ᾐτεῖτο, διδοὺς ἐμὲ Σῖμος ὁ Μίκκου
ταῖς Μούσαις· αἱ δέ, Γλαῦκος ὅκως, ἔδοσαν
ἀντ' ὀλίγου μέγα δῶρον· ἐγὼ δ' ἀνὰ τῆνδε κεχηνὼς
κεῖμαι τοῦ Σαμίου διπλόον, ὁ τραγικὸς
παιδαρίων Διόνυσος ἐπήκοος· οἱ δὲ λέγουσιν,
„ἱερὸς ὁ πλόκαμος" τοὐμὸν ὄνειαρ ἐμοί.

## 311. ΤΟΥ ΑΥΤΟΥ.

Τῆς Ἀγοράνακτός με λέγε, ξένε, κωμικὸν ὄντως
ἀγκεῖσθαι νίκης μάρτυρα τοῦ Ῥοδίου,
Πάμφιλον, οὐκ ἐν ἔρωτι δεδαγμένον· ἥμισυ δ' ὀπτῇ
ἰσχάδι καὶ λύχνοις Ἴσιδος εἰδόμενον.

Hosted by Google

### 312. ΑΝΥΤΗΣ.

Ἡνία δή τοι παῖδες ἔνι, τράγε, φοινικόεντα
θέντες καὶ λασίῳ φιμὰ περὶ στόματι,
ἵππια παιδεύουσι θεοῦ περὶ ναὸν ἄεθλα,
ὄφρ᾽ αὐτοὺς φορέῃς ἤπια τερπομένους.

### τῶr 313. ΒΑΚΧΥΛΙΔΟΥ.

Κούρα Πάλλαντος πολυώνυμε, πότνια Νίκα,
πρόφρων Κραναίων ἱμερόεντα χορὸν
αἰὲν ἐποπτεύοις, πολέας δ᾽ ἐν ἀθύρμασι Μουσᾶν
Κηΐῳ ἀμφιτίθει Βακχυλίδῃ στεφάνους

### 314. ΑΝΑΣΤΡΕΦΟΝΤΑ ΝΙΚΟΔΗΜΟΥ ΗΡΑ-ΚΛΕΩΤΟΥ.

Πηνελόπῃ, τόδε σοὶ φᾶρος καὶ χλαῖναν Ὀδυσσεὺς
ἤνεγκεν, δολιχὴν ἐξανύσας ἀτραπόν.

### 315. ΤΟΥ ΑΥΤΟΥ.

Τον τραγόπουν ἐμὲ Πᾶνα φίλον Βρομίοιο, καὶ υἱὸν
Ἀρκάδος, ἀντ᾽ ἀλκᾶς ἔγραφεν Ὠφελίων.

### 316. ΤΟΥ ΑΥΤΟΥ.

Ἀερόπης δάκρυον διερῆς, καὶ λείψανα δείπνων
δύςνομα, καὶ ποινὴν ἔγραφεν Ὠφελίων.

### 317. ΤΟΥ ΑΥΤΟΥ.

Πραξιτέλης ἔπλασεν Δανάην καὶ φάρεα Νυμφῶν
λύγδινα, καὶ πέτρης Πᾶνά με πεντελικῆς.

### 318. ΤΟΥ ΑΥΤΟΥ.

Κύπριδι κουροτρόφῳ δάμαλιν ῥέξαντες ἔφηβοι,
χαίροντες νύμφας ἐκ θαλάμων ἄγομεν.

Hosted by Google

## 319. ΤΟΥ ΑΥΤΟΥ.

Αἰθομέναις ὑπὸ δᾳσὶν ἐν εὐρυχόρῳ πατρὸς οἴκῳ
παρθένον ἐκ χειρῶν ἠγαγόμην Κύπριδος

## 320. ΤΟΥ ΑΥΤΟΥ.

Ἀσκανίη μέγα χαῖρε καλή, καὶ χρύσεα Βάκχου
ὄργια, καὶ μύσται πρόκριτοι Εὐΐεω.

## 321. ΙΣΟΨΗΦΑ ΛΕΩΝΙΔΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ.

Θύει σοὶ τόδε γράμμα γενεθλιακαῖσιν ἐν ὥραις,
Καῖσαρ, Νειλαίη Μοῦσα Λεωνίδεω.
Καλλιόπης γὰρ ἄκαπνον ἀεὶ θύος. εἰς δὲ νέωτα,
ἢν ἐθέλῃς, θύσει τοῦδε περισσότερα.

## 322. ΤΟΥ ΑΥΤΟΥ.

Τήνδε Λεωνίδεω θαλερὴν πάλι δέρκεο Μοῦσαν
δίστιχον, εὐθίκτου παίγνιον εὐεπίης.
ἔσται δ᾽ ἐν Κρονίοις Μάρκῳ περικαλλὲς ἄθυρμα
τοῦτο, καὶ ἐν δείπνοις, καὶ παρὰ μουσοπόλοις.

## 323. ΤΟΥ ΑΥΤΟΥ.

Ἀναστρέφον, ἢ Ἀνακυκλικόν.

Οἰδιπόδης κάσις ἦν τεκέων, καὶ μητέρι πόσσις
γίνετο, καὶ παλάμης ἦν τυφλὸς ἐκ σφετέρης.

## 324. ΤΟΥ ΑΥΤΟΥ.

Πέμματα τίς λιπόωντα, τίς Ἄρεϊ τῷ πτολιπόρθῳ
βότρυς, τίς δὲ ῥόδων θῆκεν ἐμοὶ κάλυκας;
Νύμφαις ταῦτα φέροι τις· ἀναιμάκτους δὲ θυηλὰς
οὐ δέχομαι βωμοῖς ὁ θρασύμητις Ἄρης.

Hosted by Google

## 325 ΤΟΥ ΑΥΤΟΥ.

Ἄλλος ἀπὸ σταλίκων, ὁ δ' ἀπ' ἠέρος, ὃς δ' ἀπὸ πόντου,
Εὔπολι, σοὶ πέμπει δῶρα γενεθλίδια.
ἀλλ' ἐμέθεν δέξαι Μουσέων στίχον, ὅστις ἐς αἰεὶ
μίμνει, καὶ φιλίης σῆμα, καὶ εὐμαθίης.

## 326. ΤΟΥ ΑΥΤΟΥ.

τελύκτιον ἰοδόκην καὶ καμπύλον, Ἄρτεμι, τόξον
Νῖκις ὁ Λυσιμάχου παῖς ἀνέθηκε Λίβυς.
ἰοὺς γὰρ πλήθοντας ἀεὶ λαγόνεσσι φαρέτρης
δορκάσι καὶ βαλίαις ἐξεκένωσ' ἐλάφοις.

## 327. ΤΟΥ ΑΥΤΟΥ.

Εἷς πρὸς ἕνα ψήφοισιν ἰσάζεται, οὐ δύο δοιοῖς.
οὐ γὰρ ἔτι στέργω τὴν δολιχογραφίην.

## 328. ΤΟΥ ΑΥΤΟΥ.

Τὴν τριτάτην χαρίτων ἀπ' ἐμεῦ πάλι λάμβανε βίβλον
Καῖσαρ, ἰσηρίθμου σύμβολον εὐεπίης,
Νεῖλος ὅπως καὶ τήνδε δι' Ἑλλάδος ἰθύνουσαν
τῇ χθονίῃ πέμψῃ δῶρον ἀοιδότατον.

## 329. ΤΟΥ ΑΥΤΟΥ.

Ἄλλος μὲν κρύσταλλον, ὁ δ' ἄργυρον, οἱ δὲ τοπάζου
πέμψουσιν, πλούτου δῶρα γενεθλίδια.
ἀλλ' ἴδ' Ἀγριππίνη, δύο δίστιχα μοῦνον ἰσώσας,
ἀρκοῦμαι δώροις, ἃ φθόνος οὐ δαμάσει.

## 330. ΑΙΣΧΙΝΟΥ ΡΗΤΟΡΟΣ.

Θνητῶν μὲν τέχναις ἀπορούμενος, εἰς δὲ τὸ θεῖον
ἐλπίδα πᾶσαν ἔχων, προλιπὼν εὔπαιδας Ἀθήνας,

άθην ἐλθών, Ἀσκλήπιε, πρὸς τὸ σὸν ἄλσος,
ἕλκος ἔχων κεφαλῆς ἐνιαύσιον, ἐν τρισὶ μησίν.

### 331. ΓΑΙΤΟΥΛΙΚΟΥ.

Παῖδα πατὴρ Ἄλκων ὀλοῷ σφιγχθέντα δράκοντι
ἀθρήσας, δειλῇ τόξον ἔκαμψε χερί·
θηρὸς δ' οὐκ ἀφάμαρτε, διὰ στόματος γὰρ ὀϊστὸς
ἤϊξεν, τυτθοῦ βαιὸν ὕπερθε βρέφους.
παυσάμενος δὲ φόνοιο, παρὰ δρυῒ τῇδε φαρέτρην,
σῆμα καὶ εὐτυχίης θῆκε καὶ εὐστοχίης.

### 332. ΑΔΡΙΑΝΟΥ.

Ζηνὶ τόδ' Αἰνεάδης Κασίῳ Τραϊανὸς ἄγαλμα,
κοίρανος ἀνθρώπων κοιράνῳ ἀθανάτων,
ἄνθετο, δοιὰ λίτα πολυδαίδαλα, καὶ βοὸς οὔρου
ἀσκητὸν χρυσῷ παμφανόωντι κέρας,
ἔξαιτα προτέρης ἀπὸ ληΐδος, ἦμος ἀτειρὴς
πέρσεν ὑπερθύμους ᾧ ὑπὸ δουρὶ Γέτας.
ἀλλὰ σύ οἱ καὶ τήνδε, Κελαινεφές, ἐγγυάλιξον
κρῆναι ἐϋκλειῶς δῆριν Ἀχαιμενίην,
ὄφρα τοι εἰςορόωντι διάνδιχα θυμὸν ἰαίνῃ
δοιά, τὰ μὲν Γετέων σκῦλα, τὰ δ' Ἀρσακιδέων

### 333. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Ἤδη, φίλτατε λύχνε, τρὶς ἔπταρες· ἦ τάχα τερπνὴν
εἰς θαλάμους ἥξειν Ἀντιγόνην προλέγεις;
εἰ γάρ, ἄναξ, εἴη τόδ' ἐτήτυμον, οἷος Ἀπόλλων
θνητοῖς μάντις ἔσῃ καὶ σὺ παρὰ τρίποδι.

### 334. ΛΕΩΝΙΔΑ.

Αὔλια, καὶ Νυμφέων ἱερὸς πάγος, αἵ θ' ὑπὸ πέτρῃ
πίδακες, ἥ θ' ὕδασιν γειτονέουσα πίτυς,

Hosted by Google

καὶ σὺ τετράγλωχιν, μηλοσσόε, Μαιάδος Ἑρμᾶ,
ὅς τε τὸν αἰγιβότην, Πάν, κατέχεις σκόπελον,
ἵλαοι τὰ ψαιστά, τό τε σκύφος ἔμπλεον οἴνης
δέξασθ', Αἰακίδεω δῶρα Νεοπτολέμου.

## 335. ΑΝΤΙΠΑΤΡΟΥ.

Καυσίη, ἡ τὸ πάροιθε Μακηδόσιν εὔκολον ὅπλον,
καὶ σκέπας ἐν νιφετῷ, καὶ κόρυς ἐν πολέμῳ,
ἱδρῶ διψήσασα πιεῖν τεόν, ἄλκιμε Πείσων,
Ἡμαθὶς Αὐσονίους ἦλθον ἐπὶ κροτάφους.
ἀλλὰ φίλος δέξαι με· τάχα κρόκες, αἵ ποτε Πέρσας
τρεψάμεναι, καὶ σοὶ Θρῆκας ὑπαξόμεθα.

## 336. ΘΕΟΚΡΙΤΟΥ.

Τὰ ῥόδα τὰ δροσόεντα, καὶ ἁ κατάπυκνος ἐκείνα
ἕρπυλλος κεῖται ταῖς Ἑλικωνιάσιν·
ταὶ δὲ μελάμφυλλοι δάφναι τίν, Πύθιε Παιάν,
Δελφὶς ἐπεὶ πέτρα τοῦτό τοι ἀγλάϊσεν.
βωμὸν δ' αἱμάξει κεραὸς τράγος, οὗτος ὁ μαλλός,
τερμίνθου τρώγων ἔσχατον ἀκρέμονα.

## 337. ΤΟΥ ΑΥΤΟΥ.

Ἦλθε καὶ ἐς Μίλατον ὁ τοῦ Παιήονος υἱός,
ἰητῆρι νόσων ἀνδρὶ συνοισόμενος,
Νικίᾳ, ὅς μιν ἐπ' ἦμαρ ἀεὶ θυέεσσιν ἱκνεῖται,
καὶ τόδ' ἀπ' εὐώδους γλύψατ' ἄγαλμα κέδρου,
Ἠετίωνι χάριν γλαφυρᾶς χερὸς ἄκρον ὑποστὰς
μισθόν· ὁ δ' εἰς ἔργον πᾶσαν ἀφῆκε τέχναν.

## 338. ΤΟΥ ΑΥΤΟΥ.

Ὑμῖν τοῦτο, Θεαί, κεχαρισμένον ἄνθετο πάσαις
τὤγαλμα Ξενοκλῆς, τοῦτο τὸ μαρμάρινον,

μουσικος· οὐχ ἑτέρως τις ἐρεῖ. σοφίᾳ δ' ἐπὶ τᾷδε
αἶνον ἔχων, Μουσέων οὐκ ἐπιλανθάνεται.

## 339. ΤΟΥ ΑΥΤΟΥ.

Δαμομένης ὁ χοραγός, ὁ τὸν τρίποδ', ὦ Διόνυσε,
καὶ σὲ τὸν ἅδιστον θεῶν μακάρων ἀναθείς,
μέτριος ἦν ἐν παισί· χορῷ δ' ἐκτήσατο νίκην
ἀνδρῶν, καὶ τὸ καλὸν καὶ τὸ προςῆκον ὁρῶν.

## 340. ΤΟΥ ΑΥΤΟΥ.

Ἁ Κύπρις οὐ πάνδαμος· ἱλάσκεο τὰν θεόν, εἰπὼν
Οὐρανίαν, ἁγνᾶς ἄνθεμα Χρυσογόνας
οἴκῳ ἐν Ἀμφικλέους, ᾧ καὶ τέκνα καὶ βίον ἔσχε
ξυνόν· ἀεὶ δέ σφιν λώϊον εἰς ἔτος ἦν
ἐκ σέθεν ἀρχομένοις, ὦ πότνια· κηδόμενοι γὰρ
ἀθανάτων αὐτοὶ πλεῖον ἔχουσι βροτοί.

## 341. ΑΔΕΣΠΟΤΟΝ.

Βόσπορον ἰχθυόεντα γεφυρώσας ἀνέθηκε
Μανδοκρέων Ἥρῃ, μνημόσυνον σχεδίας,
τῷ μὲν δὴ στέφανον περιθείς, Σαμίοισι δὲ κῦδος,
[Δαρείου βασιλέως ἐκτελέσας κατὰ νοῦν.]

## 342. ΑΛΛΟ.

Ἄθρησον Χαρίτων ὑπὸ παστάδι τῇδε τριήρους
* στυλίδος τὰς πρώτας τοὔνθ' ὑπόδειγμα τέχνας·
ταύτην γὰρ πρώταν ποτ' ἐμήσατο Παλλὰς Ἀθήνη,
τάνδε πόλει στάλαν ἀντιδιδοῦσα χάριν·
Τοὔνεκεν ὑψίστᾳ Τριτωνίδι νηὸν ἔτευξεν
Κύζικος ἅδ', ἱρᾷ πρῶτον ἐν Ἀσιάδι·

Hosted by Google

δεῖγμα καὶ πλίνθων χρυσήλατον ἤγαγεν ἄχθος
Δελφίδα γᾶν Φοίβῳ τάνδ' ἐνεποῦσα χάριν.

### 343. ΑΔΗΛΟΝ.

Ἔθνεα Βοιωτῶν καὶ Χαλκιδέων δαμάσαντες
παῖδες Ἀθηναίων ἔργμασιν ἐν πολέμου,
δεσμῷ ἐν ἀχνυνθέντι σιδηρέῳ ἔσβεσαν ὕβριν·
τῶν ἵππους, δεκάτην Παλλάδι, τάςδ' ἔθεσαν.

### 344. ΑΛΛΟ.

Θεσπιαὶ εὐρύχοροι πέμψαν ποτὲ τούςδε σὺν ὅπλοις
τιμωροὺς προγόνων βάρβαρον εἰς Ἀσίην,
οἳ μετ' Ἀλεξάνδρου Περσῶν ἄστη καθελόντες
στῆσαν ἐριβρεμέα δαιδάλεον τρίποδα.

### 345. ΚΡΙΝΑΓΟΡΟΥ.

Εἴαρος ἤνθει μὲν τὸ πρὶν ῥόδα, νῦν δ' ἐνὶ μέσσῳ
χείματι πορφυρέας ἐσχάσαμεν κάλυκας,
σῇ ἐπιμειδήσαντα γενεθλίῃ ἄσμενα τῇδε
ἠοῖ, νυμφιδίων ἀσσοτάτῃ λεχέων.
καλλίστης ὀφθῆναι ἐπὶ κροτάφοισι γυναικὸς
λῷον, ἢ μίμνειν ἠρινὸν ἠέλιον.

### 346. ΑΝΑΚΡΕΟΝΤΟΣ.

Τελλίᾳ ἱμερόεντα βίον πόρε, Μαιάδος υἱέ,
ἀντ' ἐρατῶν δώρων τῶνδε χάριν θέμενος.
δὸς δέ μιν εὐθυδίκων Εὐωνυμέων ἐνὶ δήμῳ
ναίειν, αἰῶνος μοῖραν ἔχοντ' ἀγαθήν.

### 347. ΚΑΛΛΙΜΑΧΟΥ.

Ἄρτεμι, τὶν τόδ' ἄγαλμα Φιληρατὶς εἵσατο τῇδε·
ἀλλὰ σὺ μὲν δέξαι, πότνια, τὴν δὲ σάου.

Hosted by Google

## 348. ΔΙΟΔΩΡΟΥ.

Αἴλινον ὠκυμόρῳ με λεχωΐδι τοῦτο κεκόφθαι
τῆς Διοδωρείου γράμμα λέγει σοφίης,
κοῦρον ἐπεὶ τίκτουσα κατέφθιτο· παῖδα δὲ Μήλας
δεξάμενος θαλερὴν κλαίω Ἀθηναΐδα,
Λεσβιάδεσσιν ἄχος καὶ Ἴησονι πατρὶ λιποῦσαν.
Ἄρτεμι, σοὶ δὲ κυνῶν θηροφόνων ἔμελεν.

## 349. ΦΙΛΟΔΗΜΟΥ.

Ἰνοῦς ὦ Μελικέρτα, σύ τε γλαυκὴ μεδέουσα
Λευκοθέη πόντου, δαῖμον ἀλεξίκακε,
Νηρῄδων τε χοροί, καὶ κύματα, καὶ σὺ Πόσειδον,
καὶ Θρῄϊξ, ἀνέμων πρηΰτατε, Ζέφυρε,
ἵλαοί με φέροιτε, διὰ πλατὺ κῦμα φυγόντα,
σῶον ἐπὶ γλυκερὰν ᾐόνα Πειραέως.

## 350. ΚΡΙΝΑΓΟΡΟΥ.

Τυρσηνῆς κελάδημα διαπρύσιον σάλπιγγος,
πολλάκι Πισαίων στρηνὲς ὑπὲρ πεδίων
φθεγξαμένης, ὃ πρὶν μὲν ἔχει χρόνος ἐν δυσὶ νίκαις.
εἰ δὲ σὺ καὶ τρισσοὺς ἤγαγες εἰς στεφάνους
ἀστὸς Μιλήτου Δημόσθενες, οὔ ποτε κώδων
χάλκεος ἤχησεν πλειοτέρῳ στόματι.

## 351. ΚΑΛΛΙΜΑΧΟΥ.

Τίν με λεονταγχωνε, συοκτόνε, φήγινον ὄζον·
θῆκε τίς; Ἀρχῖνος. ποῖος; ὁ Κρής. δέχομαι.

## 352. ΗΡΙΝΝΗΣ.

Δέξ᾽ ἀταλᾶν χειρῶν τάδε γράμματα, λῷστε Προμαθεῦ·
ἔντι καὶ ἄνθρωποι τὶν ὁμαλοὶ σοφίαν.

ταύταν γοῦν ἐτύμως τὰν παρθένον ὅστις ἔγραψεν,
αἴκ' αὐδὰν ποτέθηκ', ἧς κ' Ἀγαθαρχὶς ὅλα

### 353. ΝΟΣΣΙΔΟΣ.

Αὐτομέλιννα τέτυκται· ἴδ' ὡς ἀγανὸν τὸ πρόσωπον
ἀμὲ ποτοπτάζειν μειλιχίως δοκέει·
ὡς ἐτύμως θυγάτηρ τᾷ ματέρι πάντα προσῴκει·
ἦ καλὸν ὅκκα πέλοι τέκνα γονεῦσιν ἴσα.

### 354. ΤΗΣ ΑΥΤΗΣ.

Γνωτὰ καὶ τηνῶθε Σαβαιθίδος * εἴδε τε μὲν * *
ἁ δ' εἰκὼν μορφᾷ καὶ μεγαλοφροσύναν.
θάεο τὰν πινυτάν, τό τε μείλιχον αὐτόθι τήνας
ἔλπομ' ὁρᾶν· χαίροις πολλά, μάκαιρα γύναι.

### 355. ΛΕΩΝΙΔΑ.

Ἁ μάτηρ ζωὸν τὸν Μίκυθον, οἷα πενιχρά,
Βάκχῳ δωρεῖται, ῥωπικὰ γραψαμένα.
Βάκχε, σὺ δ' ὑψώσῃς τὸν Μίκυθον· εἰ δὲ τὸ δῶρον
ῥωπικόν, ἁ λιτὰ ταῦτα φέρει πενία.

### 356. ΠΑΓΚΡΑΤΟΥΣ.

Κλειοῦς αἱ δύο παῖδες Ἀριστοδίκη καὶ Ἀμεινὼ
Κρῆσσαι, πότνια σῆς Ἄρτεμι νειοκόρου
τετραετεῖς ἀπὸ μητρός· ἴδοις, ὤνασσα, τὰ τῆσδε
εὔτεκνα, κἀντὶ μιῆς θὲς δύο νειοκόρους.

### 357. ΘΕΑΙΤΗΤΟΥ.

Ὄλβια τέκνα γένοισθε· τίνος γένος ἐστέ; τί δ' ὑμῖν
ὧδε καλοῖς χαρίεν κείμενόν ἐστ' ὄνομα;

Νικάνωρ ἐγώ εἰμι, πατὴρ δ' ἐμοὶ Αἰπιόρητος,
μήτηρ δ' Ἡγησώ, κεἰμὶ γένος Μακεδών.
καὶ μὲν ἐγὼ Φίλα, εἰμὶ, καὶ ἐστί μοι οὗτος ἀδελφός·
ἐκ δ' εὐχῆς τοκέων ἕσταμες ἀμφότεροι.

## 358. ΔΙΟΤΙΜΟΥ.

Χαῖρέ μοι, ἁβρὲ κύπασσι, τὸν Ὀμφάλη, ἥ ποτε Λυδή,
λυσαμένη φιλότητ' ἦλθεν ἐς Ἡρακλέους.
ὄλβιος ἦσθα, κύπασσι, καὶ ὡς τότε καὶ πάλιν, ὃς νῦν
χρύσεον Ἀρτέμιδος τοῦτ' ἐπέβης μέλαθρον.

## VII.

# ΕΠΙΓΡΑΜΜΑΤΑ

## ΕΠΙΤΥΜΒΙΑ.

### 1. ΑΛΚΑΙΟΥ ΤΟΥ ΜΕΣΣΗΝΙΟΥ.

Ἡρώων τὸν ἀοιδὸν Ἴῳ ἔνι παῖδες Ὅμηρον
ἤκαχον, ἐκ Μουσέων γρῖφον ὑφηνάμενοι.
νέκταρι δ' εἰνάλιαι Νηρηΐδες ἐχρίσαντο,
καὶ νέκυν ἀκταίῃ θῆκαν ὑπὸ σπιλάδι,
ὅττι Θέτιν κύδηνε καὶ υἱέα, καὶ μόθον ἄλλων
ἡρώων, Ἰθακοῦ τ' ἔργματα Λαρτιάδεω.
ὀλβίστη νήσων πόντῳ Ἴος, ὅττι κέκευθε
βαιὴ Μουσάων ἀστέρα καὶ χαρίτων.

### 2. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Τὰν μερόπων Πειθώ, τὸ μέγα στόμα, τὰν ἴσα Μού-
σαις
φθεγξαμένην κεφαλάν, ὦ ξένε, Μαιονίδεω
ἅδ' ἔλαχον νασῖτις Ἴου σπιλάς· οὐ γὰρ ἐν ἄλλᾳ
ἱερόν, ἀλλ' ἐν ἐμοὶ πνεῦμα θανὼν ἔλιπεν,
ᾧ νεῦμα Κρονίδαο τὸ παγκρατές, ᾧ καὶ Ὄλυμπον,
καὶ τὰν Αἴαντος ναύμαχον εἶπε βίαν,

καὶ τὸν Ἀχιλλείοις Φαρσαλίσιν Ἕκτορα πώλοις.
ὀστέα Δαρδανικῷ δρυπτόμενον πεδίῳ.
εἰ δ' ὀλίγα κρύπτω τὸν ταλίκον, ἴσθ' ὅτι κεύθει
καὶ Θέτιδος γαμέταν ἁ βραχύβωλος Ἶκος.

## 2.* ΑΛΛΟ.

Εἰ καὶ βαιὸς ὁ τύμβος, ὁδοιπόρε, μή με παρέλθῃς
ἀλλὰ κατὰ * στίχας ἶσο θεοῖσι σέβου·
τὸν γὰρ Πιερίσιν τιμώμενον ἔξοχα Μούσαις
ποιητὴν ἐπέων θεῖον Ὅμηρον ἔχω.

## 3. ΑΔΗΛΟΝ.

Ἐνθάδε τὴν ἱερὴν κεφαλὴν κατὰ γαῖα καλύπτει
ἀνδρῶν ἡρώων κοσμήτορα, θεῖον Ὅμηρον.

## 4. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Ἐνθάδε Πιερίδων τὸ σοφὸν στόμα, θεῖον Ὅμηρον,
κλεινὸς ἐπ' ἀγχιάλῳ τύμβος ἔχει σκοπέλῳ.
εἰ δ' ὀλίγη γεγαυῖα τόσον χάδεν ἀνέρα νῆσος,
μὴ τόδε θαμβήσῃς, ὦ ξένε, δερκόμενος·
καὶ γὰρ ἀλητεύουσα κασιγνήτη ποτὲ Δῆλος
μητρὸς ἀπ' ὠδίνων δέξατο Λητοΐδην.

## 5. ΑΔΗΛΟΝ οἱ δὲ ΑΛΚΑΙΟΥ ΜΙΤΥΛΗΝΑΙΟΥ.

Οὐδ' εἴ με χρύσειον ἀπὸ ῥαιστῆρος Ὅμηρον
στήσοιτε φλογέαις ἐν Διὸς ἀστεροπαῖς,
οὐκ εἴμ', οὐδ' ἔσομαι Σαλαμίνιος, οὐδ' ὁ Μέλητος
Δημαγόρου· μὴ ταῦτ' ὄμμασιν Ἑλλὰς ἴδοι.
ἄλλον ποιητὴν βασανίζετε· τἀμὰ δέ, Μοῦσαι
καὶ Χίος, Ἑλλήνων πᾶσιν ἀείσετ' ἔπη.

6. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Ἡρώων κάρυκ' ἀρετᾶς, μακάρων δὲ προφήταν,
Ἑλλάνων βιοτῇ δεύτερον ἀέλιον,
Μουσῶν φέγγος Ὅμηρον, ἀγήραντον στόμα κόσμου
παντός, ἁλιῤῥοθία, ξεῖνε, κέκευθε κόνις.

7. ΑΛΛΟ.

Ἐνθάδε θεῖος Ὅμηρος, ὃς Ἑλλάδα πᾶσαν ἄεισε,
Θήβης ἐκγεγαὼς τῆς ἑκατονταπύλου.

8. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Οὐκέτι θελγομένας, Ὀρφεῦ, δρύας, οὐκέτι πέτρας
ἄξεις, οὐ θηρῶν αὐτονόμους ἀγέλας·
οὐκέτι κοιμάσεις ἀνέμων βρόμον, οὐχὶ χάλαζαν,
οὐ νιφετῶν συρμούς, οὐ παταγεῦσαν ἅλα.
ὤλεο γάρ· σὲ δὲ πολλὰ κατωδύραντο θύγατρες
Μναμοσύνας, μάτηρ δ' ἔξοχα Καλλιόπα.
τί φθιμένοις στοναχεῦμεν ἐφ' υἱάσιν, ἁνίκ' ἀλαλκεῖν
τῶν παίδων Ἀΐδην οὐδὲ θεοῖς δύναμις.

9. ΔΑΜΑΓΗΤΟΥ.

Ορφέα Θρηϊκίῃσι παρὰ προμολῇσιν Ὀλύμπου
τύμβος ἔχει, Μούσης υἱέα Καλλιόπης,
ᾧ δρύες οὐκ ἀπίθησαν, ὅτῳ σὺν ἅμ' ἕσπετο πέτρη
ἄψυχος, θηρῶν θ' ὑλονόμων ἀγέλα,
ὅς ποτε καὶ τελετὰς μυστηρίδας εὕρετο Βάκχου,
καὶ στίχον ἡρώῳ ζευκτὸν ἔτευξε ποδί,
ὃς καὶ ἀμειλίκτοιο βαρὺ Κλυμένοιο νόημα,
καὶ τὸν ἀκήλητον θυμὸν ἔθελξε λύρᾳ.

Hosted by Google

## 10. ΑΔΗΛΟΝ.

Καλλιόπης Ὀρφῆα καὶ Οἰάγροιο θανόντα
ἔκλαυσαν ξανθαὶ μυρία Βιστονίδες·
στικτοὺς δ' ᾑμάξαντο βραχίονας, ἀμφὶ μελαίνῃ
δευόμεναι σποδιῇ Θρηΐκιον πλόκαμον·
καί ῥ' αὐταὶ στοναχεῦντι σὺν εὐφόρμιγγι Λυκείῳ
ἔῤῥηξαν Μοῦσαι δάκρυα Πιερίδες,
μυρόμεναι τὸν ἀοιδόν· ἐπωδύραντο δὲ πέτραι
καὶ δρύες, ἃς ἐρατῇ τὸ πρὶν ἔθελγε λύρῃ.

## * 11. ΑΣΚΛΗΠΙΑΔΟΥ.

Ὁ γλυκὺς Ἠρίννης οὗτος πόνος, οὐχὶ πολὺς μὲν,
ὡς ἂν παρθενικᾶς ἐννεακαιδεκέτευς,
ἀλλ' ἑτέρων πολλῶν δυνατώτερος· εἰ δ' Ἀΐδας μοι
μὴ ταχὺς ἦλθε, τίς ἂν ταλίκον ἔσχ' ὄνομα;

## 12. ΑΔΗΛΟΝ.

Ἀρτι λοχευομένην σε μελισσοτόκων ἔαρ ὕμνων,
ἄρτι δὲ κυκνείῳ φθεγγομένην στόματι,
ἤλασεν εἰς Ἀχέροντα διὰ πλατὺ κῦμα καμόντων
Μοῖρα, λινοκλώστου δεσπότις ἠλακάτας·
σὸς δ' ἐπέων, Ἤριννα, καλὸς πόνος οὔ σε γεγωνεῖ
φθίσθαι, ἔχειν δὲ χοροὺς ἄμμιγα Πιερίσιν.

## 13. ΛΕΩΝΙΔΟΥ οἱ δὲ ΜΕΛΕΑΓΡΟΥ.

Παρθενικὴν νεαοιδὸν ἐν ὑμνοπόλοισι μέλισσαν
Ἤρινναν, Μουσῶν ἄνθεα δρεπτομέναν,
Ἀΐδας εἰς ὑμέναιον ἀνάρπασεν· ἦ ῥα τόδ' ἔμφρων
εἶπ' ἐτύμως ἁ παῖς· Βάσκανος ἔσσ' Ἀΐδα.



Hosted by Google

### 14. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Σαπφώ τοι κεύθεις, χθὼν Αἰολί, τὰν μετὰ Μούσαις
ἀθανάταις θνατὰν Μοῦσαν ἀειδομέναν,
ἃν Κύπρις καὶ Ἔρως σὺν ἅμ' ἔτραφον, ἇς μέτα Πειθὼ
ἔπλεκ' ἀείζωον Πιερίδων στέφανον,
Ἑλλάδι μὲν τέρψιν, σοὶ δὲ κλέος. ὦ τριέλικτον
Μοῖραι δινεῦσαι νῆμα κατ' ἠλακάτας,
πῶς οὐκ ἐκλώσασθε πανάφθιτον ἦμαρ ἀοιδῷ
ἄφθιτα μησαμένᾳ δῶρ' Ἑλικωνιάδων;

### 15. ΑΝΤΙΠΑΤΡΟΥ.

Οὔνομά μευ Σαπφώ· τόσσον δ' ὑπερέσχον ἀοιδὰν
θηλειᾶν, ἀνδρῶν ὅσσον ὁ Μαιονίδας.

### 16. ΠΙΝΥΤΟΥ.

Ὀστέα μὲν καὶ κωφὸν ἔχει τάφος οὔνομα Σαπφοῦς
αἱ δὲ σοφαὶ κείνης ῥήσιες ἀθάνατοι.

### 17. ΤΥΛΛΙΟΥ ΛΑΥΡΕΑ.

Αἰολικὸν παρὰ τύμβον ἰών, ξένε, μή με θανοῦσαν
τὰν Μιτυληναίαν ἔννεπ' ἀοιδοπόλον.
τόνδε γὰρ ἀνθρώπων ἔκαμον χέρες· ἔργα δὲ φωτῶν
ἐς ταχινὴν ἔῤῥει τοιάδε ληθεδόνα.
ἢν δέ με Μουσάων ἐτάσῃς χάριν, ὧν ἀφ' ἑκάστης
δαίμονος ἄνθος ἐμῇ θῆκα παρ' ἐννεάδι,
γνώσεαι ὡς Ἀΐδεω σκότον ἔκφυγον· οὐδέ τις ἔσται
τῆς λυρικῆς Σαπφοῦς νώνυμος ἠέλιος.

### 18. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΥ.

Ἀνέρα μὴ πέτρῃ τεκμαίρεο· λιτὸς ὁ τύμβος
ὀφθῆναι· μεγάλου δ' ὀστέα φωτὸς ἔχει.

εἰδήσεις Ἀλκμᾶνα, λύρης ἐλατῆρα Λακαίνης
ἔξοχον, ὃν Μουσέων ἐννέ' ἀριθμὸς ἔχει·
κεῖσαι δ' ἠπείροις διδύμαις ἔρις, εἴθ' ὅ γε Λυδός,
εἴτε Λάκων· πολλαὶ μητέρες ὑμνοπόλων.

## 19. ΛΕΩΝΙΔΟΥ.

Τὸν χαρίεντ' Ἀλκμᾶνα, τὸν ὑμνητῆρ' ὑμεναίων
κύκνον, τὸν Μουσῶν ἄξια μελψάμενον,
τύμβος ἔχει, Σπάρτας μεγάλαν χάριν, εἴθ' ὅ γε Λυδὸς
ἄχθος ἀποῤῥίψας οἴχεται εἰς Ἀΐδην.

## 20. ΣΙΜΩΝΙΔΟΥ.

Ἐσβέσθης γηραιὲ Σοφόκλεες, ἄνθος ἀοιδῶν,
οἰνωπὸν Βάκχου βότρυν ἐρεπτόμενος.

## 21. ΣΙΜΜΙΟΥ ΘΗΒΑΙΟΥ.

Τὸν σὲ χοροῖς μέλψαντα Σοφοκλέα, παῖδα Σοφίλου,
τὸν τραγικῆς Μούσης ἀστέρα Κεκρόπιον,
πολλάκις ἐν θυμέλῃσι καὶ ἐν σκηνῇσι τεθηλὼς
βλαισὸς Ἀχαρνίτης κισσὸς ἔρεψε κόμην,
τύμβος ἔχει, καὶ γῆς ὀλίγον μέρος· ἀλλ' ὁ περισσὸς
αἰὼν ἀθανάτοις δέρκεται ἐν σελίσιν.

## 22. ΤΟΥ ΑΥΤΟΥ.

Ἠρέμ' ὑπὲρ τύμβοιο Σοφοκλέος, ἠρέμα, κισσέ,
ἑρπύζοις, χλοεροὺς ἐκπροχέων πλοκάμους,
καὶ πεταλὸν πάντη θάλλοι ῥόδου, ἥ τε φιλοῤῥὼξ
ἄμπελος, ὑγρὰ πέριξ κλήματα χευαμένη,
εἵνεκεν εὐμαθίης πινυτόφρονος, ἣν ὁ μελιχρὸς
ἤσκησεν Μουσῶν ἄμμιγα καὶ Χαρίτων.

Hosted by Google

## 23. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Θάλλοι τετρακόρυμβος, Ἀνάκρεον, ἀμφὶ σὲ κισσός,
ἁβρά τε λειμώνων πορφυρέων πέταλα·
πηγαὶ δ' ἀργινόεντος ἀναθλίβοιντο γάλακτος,
εὐῶδες δ' ἀπὸ γῆς ἡδὺ χέοιτο μέθυ,
ὄφρα κέ τοι σποδιή τε καὶ ὀστέα τέρψιν ἄρηται,
εἰ δή τις φθιμένοις χρίμπτεται εὐφροσύνα,
ὦ τὸ φίλον στέρξας, φίλε, βάρβιτον, ὦ σὺν ἀοιδᾷ
πάντα διαπλώσας καὶ σὺν ἔρωτι βίον.

## 24. ΣΙΜΩΝΙΔΟΥ.

Ἡμερὶ πανθέλκτειρα, μεθυτρόφε, μῆτερ ὀπώρας,
οὔλης ἣ σκολιὸν πλέγμα φύεις ἕλικος,
Τηΐου ἡβήσειας Ἀνακρείοντος ἐπ' ἄκρῃ
στήλῃ, καὶ λεπτῷ χώματι τοῦδε τάφου,
ὡς ὁ φιλάκρητός τε καὶ οἰνοβαρὴς φιλόκωμος
παννύχιος κρούων τὴν φιλόπαιδα χέλυν,
κὴν χθονὶ πεπτηώς, κεφαλῆς ἐφύπερθε φέροιτο
ἀγλαὸν ὡραίων βότρυν ἀπ' ἀκρεμόνων,
καί μιν ἀεὶ τέγγοι νοτερὴ δρόσος, ἧς ὁ γεραιὸς
λαρότερον μαλακῶν ἔπνεεν ἐκ στομάτων.

## 25. ΤΟΥ ΑΥΤΟΥ.

Οὗτος Ἀνακρείοντα, τὸν ἄφθιτον εἵνεκα Μουσῶν
ὑμνοπόλον, πάτρης τύμβος ἔδεκτο Τέω,
ὃς Χαρίτων πνείοντα μέλη, πνείοντα δ' Ἐρώτων,
τὸν γλυκὺν ἐς παίδων ἵμερον ἡρμόσατο.
μοῦνος δ' εἰν Ἀχέροντι βαρύνεται, οὐχ ὅτι λείπων
ἠέλιον Λήθης ἐνθάδ' ἔκυρσε δόμων·

ἀλλ᾽ ὅτι τὸν χαρίεντα μετ᾽ ἠϊθέοισι Μεγιστέα,
καὶ τὸν Σμερδίεω Θρῆκα λέλοιπε πόθον.
μολπῆς δ᾽ οὐ λήθει μελιτερπέος, ἀλλ᾽ ἔτ᾽ ἐκεῖνον
βάρβιτον οὐδὲ θανὼν εὔνασεν εἰν Ἀΐδῃ.

## 26. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Ξεῖνε, τάφον παρὰ λιτὸν Ἀνακρείοντος ἀμείβων,
εἴ τί τοι ἐκ βίβλων ἦλθεν ἐμῶν ὄφελος,
σπεῖσον ἐμῇ σποδιῇ, σπεῖσον γάνος, ὄφρα κεν οἴνῳ
ὀστέα γηθήσῃ τἀμὰ νοτιζόμενα,
ὡς ὁ Διωνύσου μεμελημένος οἰνάσι κώμοις,
ὡς ὁ φιλακρήτου σύντροφος ἁρμονίης,
μηδὲ καταφθίμενος Βάκχου δίχα τοῦτον ὑποίσω
τὸν γενεῇ μερόπων χῶρον ὀφειλόμενον.

## 27. ΤΟΥ ΑΥΤΟΥ.

Εἴης ἐν μακάρεσσιν, Ἀνάκρεον, εὖχος Ἰώνων,
μήτ᾽ ἐρατῶν κώμων ἄνδιχα, μήτε λύρης·
ὑγρὰ δὲ δερκομένοισιν ἐν ὄμμασιν οὖλον ἀείδοις,
αἰθύσσων λιπαρῆς ἄνθος ὕπερθε κόμης,
ἠὲ πρὸς Εὐρυπύλην τετραμμένος, ἠὲ Μεγιστῆ,
ἢ Κίκονα Θρηκὸς Σμερδίεω πλόκαμον,
ἡδὺ μέθυ βλύζων, ἀμφίβροχος εἵματα Βάκχῳ,
ἄκρητον θλίβων νέκταρ ἀπὸ στολίδων.
τρισσοῖς γάρ, Μούσαισι, Διωνύσῳ, καὶ Ἔρωτι,
πρέσβυ, κατεσπείσθη πᾶς ὁ τεὸς βίοτος.

## 28. ΑΔΕΣΠΟΤΟΝ.

Ὦ ξένε, τόνδε τάφον τὸν Ἀνακρείοντος ἀμείβων,
σπεῖσόν μοι παριών· εἰμὶ γὰρ οἰνοπότης.

Hosted by Google

29. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Εὕδεις ἐν φθιμένοισιν, Ἀνάκρεον, ἐσθλὰ πονήσας,
εὕδει δ' ἡ γλυκερὴ νυκτιλάλος κιθάρη,
εὕδει καὶ Σμέρδις, τὸ Πόθων ἔαρ, ᾧ σὺ μελίσδων,
βάρβιτ', ἀνεκρούου νέκταρ ἐναρμόνιον.
ἠϊθέων γὰρ Ἔρωτος ἔφυς σκοπός· εἰς δὲ σὲ μοῦνον
τόξα τε καὶ σκολιὰς εἶχεν ἑκηβολίας.

30. ΤΟΥ ΑΥΤΟΥ.

Τύμβος Ἀνακρείοντος· ὁ Τήϊος ἐνθάδε κύκνος
εὕδει, χἡ παίδων ζωροτάτη μανίη.
ἀκμὴν οἱ λυρόεν τι μελίζεται ἀμφὶ Βαθύλλῳ,
ἵμερα καὶ κισσοῦ λευκὸς ὄδωδε λίθος.
οὐδ' Ἀΐδης σοι ἔρωτας ἀπέσβεσεν, ἐν δ' Ἀχέροντος
ὢν ὅλος ὠδίνεις Κύπριδι θερμοτέρῃ.

31. ΔΙΟΣΚΟΡΙΔΟΥ.

Σμερδίῃ ὦ ἐπὶ Θρηκὶ τακεὶς καὶ ἐπ' ἔσχατον ὀστεῦν,
κώμου καὶ πάσης κοίρανε παννυχίδος,
τερπνότατε Μούσῃσιν Ἀνάκρεον, ὦ 'πὶ Βαθύλλῳ
χλωρὸν ὑπὲρ κυλίκων πολλάκι δάκρυ χέας,
αὐτόματαί τοι κρῆναι ἀναβλύζοιεν ἄκρητον,
κὴκ μακάρων προχοαὶ νέκταρος ἀμβροσίου·
αὐτόματοι δὲ φέροιεν ἴον, τὸ φιλέσπερον ἄνθος,
κῆποι, καὶ μαλακῇ μύρτα τρέφοιτο δρόσῳ,
ὄφρα καὶ ἐν Δηοῦς οἰνώμενος ἁβρὰ χορεύσῃς,
βεβληκὼς χρυσέην χεῖρας ἐπ' Εὐρυπύλην.

32. ΙΟΥΛΙΑΝΟΥ ΑΠΟ ΥΠΑΡΧ. ΑΙΓΥΠΤ.

Πολλάκι μὲν τόδ' ἄεισα, καὶ ἐκ τύμβου δὲ βοήσω·
Πίνετε, πρὶν ταύτην ἀμφιβάλησθε κόνιν.

Hosted by Google

## 33. ΤΟΥ ΑΥΤΟΥ.

Πολλὰ πιὼν τέθνηκας, Ἀνάκρεον. ἀλλὰ τρυφήσας·
καὶ σὺ δὲ μὴ πίνων ἵξεαι εἰς Ἀΐδην.

## 34. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Πιερικὰν σάλπιγγα, τὸν εὐαγέων βαρὺν ὕμνων
χαλκευτάν, κατέχει Πίνδαρον ἅδε κόνις,
οὗ μέλος εἰσαΐων φθέγξαιό κεν, ὡς ἀπὸ Μουσῶν
ἐν Κάδμου θαλάμοις σμῆνος ἀπεπλάσατο.

## 35. ΛΕΩΝΙΔΟΥ. [ἢ ΠΛΑΤΩΝΟΣ]

Αρμενος ἦν ξείνοισιν ἀνὴρ ὅδε, καὶ φίλος ἀστοῖς,
Πίνδαρος, εὐφώνων Πιερίδων πρόπολος.

## 36. ΕΡΥΚΙΟΥ.

Αἰεί τοι λιπαρῷ ἐπὶ σήματι, δῖε Σοφόκλεις,
σκηνίτης μαλακοὺς κισσὸς ἅλοιτο πόδας,
αἰεί τοι βούπαισι περιστάζοιτο μελίσσαις
τύμβος, Ὑμηττείῳ λειβόμενος μέλιτι,
ὡς ἄν τοι ῥείῃ μὲν * ἀγανὸς Ἀτθίδι δέλτῳ
κηρός, ὑπὸ στεφάνοις δ᾽ αἰὲν ἔχῃς πλοκάμους.

## 37. ΔΙΟΣΚΟΡΙΔΟΥ.

Τύμβος ὅδ᾽ ἐστ᾽, ὤνθρωπε, Σοφοκλέος, ὃν παρὰ Μουσῶν
ἱρὴν παρθεσίην, ἱερὸς ὤν, ἔλαχον·
ὅς με τὸν ἐκ Φλιοῦντος, ἔτι τρίβολον πατέοντα,
πρίνινον, ἐς χρύσεον σχῆμα μεθηρμόσατο,
καὶ λεπτὴν ἐνέδυσεν ἁλουργίδα· τοῦ δὲ θανόντος
εὔθετον ὀρχηστὴν τῇδ᾽ ἀνέπαυσα πόδα.
ὄλβιος, ὡς ἀγαθὴν ἔλαχες στάσιν· ἡ δ᾽ ἐνὶ χερσὶν
κούριμος, ἐκ ποίης ἥδε διδασκαλίης;

Hosted by Google

εἴτε σοι Ἀντιγόνην εἰπεῖν φίλον, οὐκ ἂν ἁμάρτοις,
εἴτε καὶ Ἠλέκτραν· ἀμφότεραι γὰρ ἄκρον.

38. ΔΙΟΔΩΡΟΥ.

Θεῖος Ἀριστοφάνευς ὑπ' ἐμοὶ νέκυς, εἴ τινα πεύθῃ
κωμικόν, ἀρχαίης μνᾶμα χοροστασίης.

39. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΥ.

Ὁ τραγικὸν φώνημα καὶ ὀφρυόεσσαν ἀοιδὴν
πυργώσας στιβαρῇ πρῶτος ἐν εὐεπίῃ,
Αἰσχύλος Εὐφορίωνος, Ἐλευσινίης ἑκὰς αἴης
κεῖται, κυδαίνων σήματι Τρινακρίην.

40. ΔΙΟΔΩΡΟΥ.

Αἰσχύλον ἥδε λέγει ταφίη λίθος ἐνθάδε κεῖσθαι
τὸν μέγαν, οἰκείης τῆλ' ἀπὸ Κεκροπίης,
λευκὰ Γέλα Σικελοῖο παρ' ὕδατα· τίς φθόνος, αἴ, αἴ,
Θησείδας ἀγαθῶν ἔγκοτος αἰὲν ἔχει;

41. ΑΔΕΣΠΟΤΟΝ.

Ἆ μάκαρ ἀμβροσίῃσι συνέστιε φίλτατε Μούσαις,
χαῖρε καὶ εἰν Ἀΐδεω δώμασι Καλλίμαχε.

42. ΑΛΛΟ.

Ἆ μέγα Βαττιάδαο σοφοῦ περίπυστον ὄνειαρ.
ἦ ῥ' ἐτεὸν κεράων, οὐδ' ἐλέφαντος ἔης.
τοῖα γὰρ ἄμμιν ἔφηνας, ἅτ' οὐ πάρος ἀνέρες ἴδμεν,
ἀμφί τε ἀθανάτους, ἀμφί τε ἡμιθέους,
εὖτέ μιν ἐκ Λιβύης ἀναείρας εἰς Ἑλικῶνα
ἤγαγες ἐν μέσσαις Πιερίδεσσι φέρων·
αἱ δέ οἱ εἰρομένῳ ἀμφ' ὠγυγίων ἡρώων
Αἴτια καὶ μακάρων εἶρον ἀμειβόμεναι.

## 43. ΙΩΝΟΣ.

Χαῖρε μελαμπέπλοις, Εὐριπίδη, ἐν γυάλοισιν
Πιερίας τὸν ἀεὶ νυκτὸς ἔχων θάλαμον·
Ἴσθι δ' ὑπὸ χθονὸς ὤν, ὅτι σοι κλέος ἄφθιτον ἔσται
ἶσον Ὁμηρείαις ἀενάοις χάρισιν.

## 44. ΑΔΕΣΠΟΤΟΝ.

Εἰ καὶ δακρυόεις, Εὐριπίδη, εἷλέ σε πότμος,
καί σε λυκορραῖσται δεῖπνον ἔθεντο κύνες,
τὸν σκηνῇ μελίγηρυν ἀηδόνα, κόσμον Ἀθηνῶν,
τὸν σοφίῃ Μουσέων μιξάμενον χάριτα,
ἀλλ' ἔμολες Πελλαῖον ὑπ' ἠρίον, ὡς ἂν ὁ λάτρις
Πιερίδων ναίῃς ἀγχόθι Πιερίδων.

## 45. ΘΟΥΚΥΔΙΔΟΥ.

Μνᾶμα μὲν Ἑλλὰς ἅπασ' Εὐριπίδου· ὀστέα δ' ἴσχει
γῆ Μακεδών· ᾗ γὰρ δέξατο τέρμα βίου.
πατρὶς δ' Ἑλλάδος Ἑλλὰς, Ἀθῆναι· πλεῖστα δὲ Μούσαις
τέρψας, ἐκ πολλῶν καὶ τὸν ἔπαινον ἔχει.

## 46. ΑΔΗΛΟΝ.

Οὐ σὸν μνῆμα τόδ' ἔστ' Εὐριπίδη, ἀλλὰ σὺ τοῦδε·
τῇ σῇ γὰρ δόξῃ μνῆμα τόδ' ἀμπέχεται.

## 47. ΑΛΛΟ.

Ἅπασ' Ἀχαιῒς μνῆμα σόνγ', Εὐριπίδη·
Οὔκουν ἄφωνος, ἀλλὰ καὶ λαλητέος.

## 48. ΑΛΛΟ.

Σάρκες δ' αἰθαλέαισι πυρὸς ῥιπῇσι τρυφηλαὶ
ληφθεῖσαι, νοτίην ὦσαν ἐπαιθόμεναι·

μοῦνα δ' ἔνεστι τάφῳ πολυδακρύτῳ ὀστέα κωφά,
καὶ πόνος εἰνοδίοις τῇδε παρερχομένοις.

## 49. ΒΙΑΝΟΡΟΣ ΒΙΘΥΝ.

Ἁ Μακέτις σε κέκευθε τάφου κόνις· ἀλλὰ πυρωθεὶς
Ζανὶ κεραυνείῳ, γαῖαν ἀπηχθίασας.
τρὶς γὰρ ἐπαστράψας, Εὐριπίδη, ἐκ Διὸς αἰθὴρ
ἥγνισε τὰν θνατὰν σήματος ἱστορίαν.

## 50. ΑΡΧΙΜΗΔΟΥ.

Τὴν Εὐριπίδεω μήτ' ἔρχεο, μήτ' ἐπιβάλλου,
δύςβατον ἀνθρώποις οἶμον, ἀοιδοθέτα.
λείη μὲν γὰρ ἰδεῖν καὶ ἐπίῤῥοθος· ἢν δέ τις αὐτὴν
εἰςβαίνῃ, χαλεποῦ τρηχυτέρη σκόλοπος.
ἢν δὲ τὰ Μηδείης Αἰητίδος ἄκρα χαράξῃς,
ἀμνήμων κείσῃ νέρθεν· ἔα στεφάνους.

## 51. ΑΔΔΑΙΟΥ.

Οὔ σε κυνῶν γένος εἷλ', Εὐριπίδη, οὐδὲ γυναικὸς
οἶστρος, τὸν σκοτίης Κύπριδος ἀλλότριον,
ἀλλ' Ἀΐδης καὶ γῆρας· ὑπαὶ Μακέτῃ δ' Ἀρεθούσῃ
κεῖσαι, ἑταιρείῃ τίμιος Ἀρχέλεω.
σὸν δ' οὐ τοῦτον ἐγὼ τίθεμαι τάφον· ἀλλὰ τὰ Βάκχου
βήματα, καὶ σκηνὰς ἐμβάδι πειθομένας.

## 52. ΔΗΜΙΟΥΡΓΟΥ.

Ἑλλάδος εὐρυχόρου στέφανον καὶ κόσμον ἀοιδῆς,
Ἀσκραῖον γενεήν, Ἡσίοδον, κατέχω.

## 53. ΑΔΗΛΟΝ.

Ἡσίοδος Μούσαις Ἑλικωνίσι τόνδ' ἀνέθηκα,
ὕμνῳ νικήσας ἐν Χαλκίδι θεῖον Ὅμηρον.

54. ΜΝΑΣΑΛΚΟΥ.

Ἄσκρη μὲν πατρὶς πολυλήϊος· ἀλλὰ θανόντος
ὀστέα πληξίππων γῆ Μινυῶν κατέχει
Ἡσιόδου, τοῦ πλεῖστον ἐν ἀνθρώποις κλέος ἐστὶν
ἀνδρῶν κρινομένων ἐν βασάνῳ σοφίης.

55. ΑΛΚΑΙΟΥ.

Λοκρίδος ἐν νέμεϊ σκιερῷ νέκυν Ἡσιόδοιο
Νύμφαι κρηνιάδων λοῦσαν ἀπὸ σφετέρων,
καὶ τάφον ὑψώσαντο· γάλακτι δὲ ποιμένες αἰγῶν
ἔῤῥαναν, ξανθῷ μιξάμενοι μέλιτι·
τοίην γὰρ καὶ γῆρυν ἀπέπνεεν, ἐννέα Μουσέων
ὁ πρέσβυς καθαρῶν γευσάμενος λιβάδων.

56. ΑΔΗΛΟΝ.

Ην ἄρα Δημοκρίτοιο γέλως τόδε, καὶ τάχα λέξει·
Οὐκ ἔλεγον γελόων, πάντα πέλουσι γέλως;
καὶ γὰρ ἐγὼ σοφίην μετ᾽ ἀπείρονα, καὶ στίχα βίβλων
τοσσατίων, κεῖμαι νέρθε τάφοιο γέλως.

57. [ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ.]

Καὶ τίς ἔφυ σοφὸς ὧδε; τίς ἔργον ἔρεξε τοσοῦτον,
ὅσσον ὁ παντοδαὴς ἤνυσε Δημόκριτος;
ὃς θάνατον παρεόντα τρί᾽ ἤματα δώμασιν ἔσχεν,
καὶ θερμοῖς ἄρτων ἄσθμασιν ἐξένισεν.

58. ΙΟΥΛΙΑΝΟΥ ΤΟΥ ΑΠΟ ΥΠΑΡΧ. ΑΙΓΥΠΤ.

Εἰ καὶ ἀμειδήτων νεκύων ὑπὸ γαῖαν ἀνάσσεις,
Φερσεφόνη, ψυχὴν δέχνυσο Δημοκρίτου
εὐμενέως γελόωσαν, ἐπεὶ καὶ σεῖο τεκοῦσαν,
ἀχνυμένην ἐπὶ σοὶ μοῦνος ἔκαμψε γέλως.

Hosted by Google

59. ΤΟΥ ΑΥΤΟΥ.

Πλούτων, δέξο, μάκαρ, Δημόκριτον, ὥς κεν ἀνάσσων
αἰὲν ἀμειδήτων, καὶ γελόωντα λάχοις.

60. ΣΙΜΜΙΟΥ.

Σωφροσύνῃ προφέρων θνητῶν, ἤθει τε δικαίῳ
ἐνθάδε κεῖται ἀνὴρ θεῖος Ἀριστοκλέης·
εἰ δέ τις ἐκ πάντων σοφίης μέγαν ἔσχεν ἔπαινον,
οὗτος ἔχει πλεῖστον, καὶ φθόνον οὐ φέρεται.

61. ΑΔΕΣΠΟΤΟΝ.

Γαῖα μὲν ἐν κόλποις κρύπτει τόδε σῶμα Πλάτωνος,
ψυχὴ δ' ἀθάνατον τάξιν ἔχει μακάρων
υἱοῦ Ἀρίστωνος, τόν τις καὶ τηλόθι ναίων
τιμᾷ ἀνὴρ ἀγαθός, θεῖον ἰδόντα βίον.

62. ΑΛΛΟ.

Αἰετέ, τίπτε βέβηκας ὑπὲρ τάφον, ἢ τίνος, εἰπέ,
ἀστερόεντα θεῶν οἶκον ἀποσκοπέεις;
ψυχῆς εἰμὶ Πλάτωνος ἀποπταμένης ἐς Ὄλυμπον
εἰκών, σῶμα δὲ γῆ γηγενὲς Ἀτθὶς ἔχει.

63. ΑΛΛΟ.

Τὸν κύνα Διογένη, νεκυοστόλε, δέξο με, πορθμεῦ,
γυμνώσαντα βίου παντὸς ἐπισκύνιον.

64. ΑΔΗΛΟΝ.

Εἰπέ, κύον, τίνος ἀνδρὸς ἐφεστὼς σῆμα φυλάσσεις;
τοῦ Κυνός. ἀλλὰ τίς ἦν οὗτος ἀνὴρ ὁ Κύων;
Διογένης. γένος εἰπέ. Σινωπεύς. ὃς πίθον ᾤκει;
καὶ μάλα· νῦν δὲ θανὼν ἀστέρας οἶκον ἔχει.

Hosted by Google

## 65. ΑΝΤΙΠΑΤΡΟΥ.

Διογένευς τόδε σῆμα, σοφοῦ κυνός, ὅς ποτε θυμῷ
ἄρσενι γυμνήτην ἐξεπόνει βίοτον,
ᾧ μία τις πήρα, μία διπλοΐς, εἷς ἅμ᾽ ἐφοίτα
σκήπων, αὐτάρκους ὅπλα σαοφροσύνας.
ἀλλὰ τάφου τοῦδ᾽ ἐκτὸς ἴτ᾽ ἄφρονες, ὡς ὁ Σινωπεὺς
ἐχθαίρει φαῦλον πάντα, καὶ εἰν Ἀΐδῃ.

## 66. ΟΝΕΣΤΟΥ.

Βάκτρον, καὶ πήρη, καὶ διπλόον εἷμα σοφοῖο
Διογένευς, βιότου φόρτος ὁ κουφότατος.
πάντα φέρω πορθμῆϊ· λέλοιπα γὰρ οὐδὲν ὑπὲρ γῆς.
ἀλλὰ κύον σαίνοις Κέρβερε τόν με κύνα.

## 67. ΛΕΩΝΙΔΟΥ.

Ἀΐδεω λυπηρὲ διηκόνε, τοῦτ᾽ Ἀχέροντος
ὕδωρ ὃς πλώεις πορθμίδι κυανέῃ,
δέξαι μ᾽, εἰ καί σοι μέγα βρίθεται ὀκρυόεσσα
βᾶρις, ἀποφθίμενον, τὸν κύνα Διογένην.
ὄλπη μοι καὶ πήρη ἐφόλκια, καὶ τὸ παλαιὸν
ἕσθος, χὠ φθιμένους ναυστολέων ὀβολός.
πάνθ᾽ ὅσα κὴν ζωοῖς ἐπεπάμεθα, ταῦτα παρ᾽ Ἅιδαν
ἔρχομ᾽ ἔχων· λείπω δ᾽ οὐδὲν ὑπ᾽ ἠελίῳ.

## 68. ΑΡΧΙΟΥ.

Ἅιδος ὦ νεκυηγέ, κεχαρμένε δάκρυσι πάντων,
ὃς βαθὺ πορθμεύεις τοῦτ᾽ Ἀχέροντος ὕδωρ,
εἰ καί σοι βέβριθεν ὑπ᾽ εἰδώλοισι καμόντων
ὁλκάς, μὴ προλίπῃς Διογένη με κύνα.
ὄλπην καὶ σκίπωνα φέρω, καὶ διπλόον εἷμα,
καὶ πήρην, καὶ σοὶ ναυτιλίης ὀβολόν.

καὶ ζωὸς τάδε μοῦνον, ἃ καὶ νέκυς ὧδε κομίζω,
εἶχον· ὑπ' ἠελίου δ' οὔ τι λέλοιπα φάει.

### 69. ΙΟΥΛΙΑΝΟΥ ΤΟΥ ΑΠΟ ΥΠΑΡΧ. ΑΙΓΥΠΤ.

Κέρβερε, δειμαλέην ὑλακὴν νεκύεσσιν ἰάλλων,
ἤδη φρικαλέον δείδιθι καὶ σὺ νέκυν.
Ἀρχίλοχος τέθνηκε· φυλάσσεο θυμὸν ἰάμβων
δριμὺν, πικροχόλου τικτόμενον στόματος.
οἶσθα βοῆς κείνοιο μέγα σθένος, εὖτε Λυκάμβεω
νηῦς μία σοὶ δισσὰς ἤγαγε θυγατέρας.

### 70. ΤΟΥ ΑΥΤΟΥ.

Νῦν πλέον ἢ τὸ πάροιθε πύλας κρατεροῖο βερέθρου
ὄμμασιν ἀγρύπνοις τρισσὲ φύλασσε κύον.
εἰ γὰρ φέγγος ἔλειπον ἀλυσκάζουσαι ἰάμβων
ἄγριον Ἀρχιλόχου φλέγμα Λυκαμβιάδες,
πῶς οὐκ ἂν προλίποι σκοτίων πυλεῶνας ἐναύλων
νεκρὸς ἅπας, φεύγων τάρβος ἐπεσβολίης;

### 71. ΓΑΙΤΟΥΛΙΚΟΥ.

Σῆμα τόδ' Ἀρχιλόχου παραπόντιον, ὅς ποτε πικρὴν
μοῦσαν ἐχιδναίῳ πρῶτος ἔβαψε χόλῳ,
αἱμάξας Ἑλικῶνα τὸν ἥμερον. οἶδε Λυκάμβης,
μυρόμενος τρισσῶν ἅμματα θυγατέρων.
ἠρέμα δὴ παράμειψον, ὁδοιπόρε, μή ποτε τοῦδε
κινήσῃς τύμβῳ σφῆκας ἐφεζομένους.

### 72. ΜΕΝΑΝΔΡΟΥ ΚΩΜΙΚΟΥ.

Χαῖρε, Νεοκλείδα δίδυμον γένος, ὧν ὁ μὲν ὑμῶν
πατρίδα δουλοσύνας ῥύσαθ', ὁ δ' ἀφροσύνας.

### 73. *ΓΕΜΙΝΟΥ.*

*Ἀντὶ τάφου λιτοῖο θὲς Ἑλλάδα, θὲς δ' ἐπὶ ταύταν*
*δούρατα, βαρβαρικᾶς σύμβολα ναυφθορίας,*
*καὶ τύμβῳ κρηπῖδα περίγραφε Περσικὸν Ἄρη*
*καὶ Ξέρξην· τούτοις θάπτε Θεμιστοκλέα.*
*στάλα δ' ἁ Σαλαμὶς ἐπικείσεται, ἔργα λέγουσα*
*τἀμά· τί με σμικροῖς τὸν μέγαν ἐντίθετε;*

### 74. *ΔΙΟΔΩΡΟΥ.*

*Τοῦτο Θεμιστοκλεῖ κενὸν ἠρίον εἴσατο Μάγνης*
*λαός· ὅ τ' ἐκ Μήδων πατρίδα ῥυσάμενος*
*ὀθνείην ὑπέδυ χθόνα καὶ λίθον· ἤθελεν οὕτως*
*ὁ φθόνος· αἱ δ' ἀρεταὶ μεῖον ἔχουσι γέρας.*

### 75. *ΑΝΤΙΠΑΤΡΟΥ.*

*Στασίχορον, ζαπληθὲς ἀμετρήτου στόμα Μούσης,*
*ἐκτέρισεν Κατάνας αἰθαλόεν δάπεδον,*
*οὗ, κατὰ Πυθαγόρου φυσικὰν φάτιν, ἁ πρὶν Ὁμήρου*
*ψυχὰ ἐνὶ στέρνοις δεύτερον ᾠκίσατο.*

### 76. *ΔΙΟΣΚΟΡΙΔΟΥ.*

*Ἐμπορίης λήξαντα Φιλόκριτον, ἄρτι δ' ἀρότρου*
*γευόμενον, ξείνῳ Μέμφις ἔκρυψε τάφῳ,*
*ἔνθα δραμὼν Νείλοιο πολὺς ῥόος ὕδατι λάβρῳ*
*τἀνδρὸς τὴν ὀλίγην βῶλον ἀπημφίασεν.*
*καὶ ζωὸς μὲν ἔφευγε πικρὴν ἅλα· νῦν δὲ καλυφθεὶς*
*κύμασι ναυηγὸν σχέτλιος ἔσχε τάφον.*

### 77. *ΣΙΜΩΝΙΔΟΥ.*

*Οὗτος ὁ τοῦ Κείοιο Σιμωνίδου ἐστὶ σαωτήρ,*
*ὃς καὶ τεθνηὼς ζῶντ' ἀπέδωκε χάριν.*



Hosted by Google

## 78. ΔΙΟΝΥΣΙΟΥ ΚΥΖΙΚΗΝΟΥ.

Πρηΰτερον γῆράς σε, καὶ οὐ κατὰ νοῦσος ἀμαυρὴ
ἔσβεσεν· εὐνήθης δ᾽ ὕπνον ὀφειλόμενον,
ἄκρα μεριμνήσας, Ἐρατόσθενες· οὐδὲ Κυρήνη
μαῖά σε πατρῴων ἐντὸς ἔδεκτο τάφων,
Ἀγλάου υἱέ· φίλος δὲ καὶ ἐν ξείνῃ κεκάλυψαι
πὰρ τόδε Πρωτῆος κράσπεδον αἰγιαλοῦ.

## 79. ΜΕΛΕΑΓΡΟΥ.

Ὤνθρωπ᾽, Ἡράκλειτος ἐγὼ σοφὰ μοῦνος ἀνευρὼν
φημί· τὰ δ᾽ ἐς πάτραν κρέσσονα καὶ σοφίης.
λὰξ γὰρ καὶ τοκέων, Ἀσίᾳ, ξένε, δύςφρονας ἄνδρας
ὑλάκτευν· λαμπρὰ θρεψαμένοισι χάρις.
οὐκ ἀπ᾽ ἐμεῦ; μὴ τρηχύς· ἄπει· τάχα καὶ σύ τι πεύσῃ
τρηχύτερον· πάτρης χαῖρε σὺ δ᾽ ἐξ Ἐφέσου.

## 80. ΚΑΛΛΙΜΑΧΟΥ.

Εἶπέ τις, Ἡράκλειτε, τεὸν μόρον, ἐς δέ με δάκρυ
ἤγαγεν, ἐμνήσθην δ᾽ ὁσσάκις ἀμφότεροι
ἥλιον ἐν λέσχῃ κατεδύσαμεν· ἀλλὰ σὺ μέν που,
ξεῖν᾽ Ἁλικαρνησεῦ, τετράπαλαι σποδιή·
αἱ δὲ τεαὶ ζώουσιν ἀηδόνες, ᾗσιν ὁ πάντων
ἁρπακτὴρ Ἀΐδης οὐκ ἐπὶ χεῖρα βαλεῖ.

## 81. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Ἑπτὰ σοφῶν, Κλεόβουλε, σὲ μὲν τεκνώσατο Λίνδος·
φατὶ δὲ Σισυφία χθὼν Περίανδρον ἔχειν·
Πιττακὸν ἁ Μιτυλάνα· Βίαντα δὲ δῖα Πριήνη·
Μίλητος δὲ Θαλῆν, ἄκρον ἔρεισμα Δίκας·
ἁ Σπάρτα Χίλωνα· Σόλωνα δὲ Κεκροπὶς αἶα·
πάντας ἀριζάλου σωφροσύνας φύλακας.

82. *ΑΔΗΛΟΝ.*

*Δωρίδος ἐκ Μούσης κεκορυθμένον ἀνέρα Βάκχῳ*
*καὶ Σατύροις Σικελὸν τῇδ᾽ Ἐπίχαρμον ἔχω.*

83. *ΑΛΛΟ.*

*Τόνδε Θαλῆν Μίλητος Ἰὰς θρέψασ᾽ ἀνέδειξεν,*
*ἀστρολόγων πάντων πρεσβύτατον σοφίῃ.*

84. *ΑΛΛΟ.*

*Ἡ ῥ᾽ ὀλίγον τόδε σᾶμα, τὸ δὲ κλέος οὐρανόμηκες,*
*τοῦ πολυφροντίστου τοῦτο Θάλητος ὅρη.*

85. [*ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤ.*]

*Γυμνικὸν αὖ ποτ᾽ ἀγῶνα θεώμενον, ἠέλιε Ζεῦ,*
*τὸν σοφὸν ἄνδρα Θαλῆν ἥρπασας ἐκ σταδίου.*
*Αἰνέω ὅττι μιν ἐγγὺς ἀπήγαγες· ἦ γὰρ ὁ πρέσβυς*
*οὐκέθ᾽ ὁρᾷν ἀπὸ γῆς ἀστέρας ἠδύνατο.*

86. *ΑΔΗΛΟΝ.*

*Τὴν Μήδων ἄδικον παύσασ᾽ ὕβριν ἥδε Σόλωνα*
*τόνδ᾽ ἐπέχει Σαλαμὶς θεσμοθέτην ἱερόν.*

87. [*ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤ.*]

*Σῶμα μὲν ἦρε Σόλωνος ἐν ἀλλοδαπῇ Κύπριον πῦρ*
*ὀστέ᾽ ἔχει Σαλαμὶς ὧν κόνις ἀστράχυες.*
*ψυχὴν δ᾽ ἄξονες εὐθὺς ἐς οὐρανὸν ἤγαγον· εὖ γὰρ*
*θῆκε νόμους αὐτοῖς ἄχθεα κουφότατα.*

88. [*ΤΟΥ ΑΥΤΟΥ*]

*Φωσφόρε, σοί, Πολύδευκες, ἔχω χάριν, οὕνεκεν υἱὸς*
*Χίλωνος πυγμῇ χλωρὸν ἕλεν κότινον·*
*Εἰ δ᾽ ὁ πατὴρ στεφανοῦχον ἰδὼν υἱὸν ἤμυσεν ἡσθείς,*
*οὐ νεμεσητόν· ἐμοὶ τοῖος ἴτω θάνατος.*

Q 2

Hosted by Google

89. ΑΛΛΟ.

Ξεῖνος Ἀταρνείτης τις ἀνείρετο Πιττακὸν οὕτω
τὸν Μιτυληναῖον, παῖδα τὸν Ὑῤῥαδίου·
Ἄττα γέρον, δοιός με καλεῖ γάμος· ἡ μία μὲν δὴ
νύμφη καὶ πλούτῳ καὶ γενεῇ κατ' ἐμέ·
ἡ δ' ἑτέρη προβέβηκε. τί λώϊον; εἰ δ' ἄγε σύν μοι
βούλευσον, ποτέρην εἰς ὑμέναιον ἄγω.
εἶπεν· ὁ δὲ σκήπωνα, γεροντικὸν ὅπλον, ἀείρας,
Ἥνιδε, κεῖνοί σοι πᾶν ἐρέουσιν ἔπος·
(οἱ δ' ἄρ' ὑπὸ πληγῇσι θοὰς βέμβικας ἔχοντες
ἔστρεφον εὐρείῃ παῖδες ἐνὶ τριόδῳ)
κείνων ἔρχεο, φησί, μετ' ἴχνια· χὠ μὲν ἐπέστη
πλησίον· οἱ δ' ἔλεγον· τὴν κατὰ σαυτὸν ἔλα·
ταῦτ' ἀΐων ὁ ξεῖνος ἐφείσατο μείζονος οἴκου
δράξασθαι, παίδων κληδόνα συνθέμενος.
τὴν δ' ὀλίγην ὡς κεῖνος ἐς οἶκον ἐπήγετο νύμφην,
οὕτω καὶ σύ γ' ἰὼν τὴν κατὰ σαυτὸν ἔλα.

90. ΑΛΛΟ.

Κλεινοῖς ἐν δαπέδοισι Πριήνης φύντα καλύπτει
ἥδε Βίαντα πέτρη, κόσμον Ἴωσι μέγαν.

91. [ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤ.]

Τῇδε Βίαντα κέκευθα, τὸν ἀτρέμας ἤγαγεν Ἑρμῆς
εἰς Ἀΐδην, πολιῷ γήραϊ νιφόμενον·
εἶπε γάρ, εἶπε δίκην ἑτάρου τινός· εἶτ' ἀποκλινθεὶς
παιδὸς ἐς ἀγκαλίδας μακρὸν ἔτεινεν ὕπνον.

92. [ΤΟΥ ΑΥΤΟΥ.]

Ἐς Σκυθίην Ἀνάχαρσις ὅτ' ἤλυθε, πολλὰ μογήσας
πάντας ἔπειθε βιοῦν ἤθεσιν ἑλλαδικοῖς·

Hosted by Google

τὸν δ' ἔτι μῦθον ἄκραντον ἐνὶ στομάτεσσιν ἔχοντα
πτηνὸς ἐς ἀθανάτους ἥρπασεν ὦκα δόναξ.

## 93. ΑΛΛΟ.

εἰς Φερεκύδην.

Τῆς σοφίης πάσης ἐν ἐμοὶ τέλος· ἢ δέ τι πλεῖον
Πυθαγόρῃ τῷ 'μῷ, λέγε ταῦθ', ὅτι πρῶτος ἁπάντων
ἐστὶν ἀν' Ἑλλάδα γῆν. οὐ ψεύδομαι ὧδ' ἀγορεύων.

## 94. ΑΛΛΟ.

Ἐνθάδε, πλεῖστον ἀληθείης ἐπὶ τέρμα περήσας
οὐρανίου κόσμου, κεῖται Ἀναξαγόρας.

## 95. ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ.

Ἠέλιον πυρόεντα μύδρον ποτὲ φάσκεν ὑπάρχειν,
καὶ διὰ τοῦτο θανεῖν μέλλεν Ἀναξαγόρας·
ἀλλ' ὁ φίλος Περικλῆς μὲν ἐρύσατο τοῦτον· ὁ δ' αὐτὸν
ἐξάγαγεν βιότου μαλθακίῃ σοφίης.

## 96. [ΤΟΥ ΑΥΤΟΥ.]

Πῖνε νυν ἐν Διὸς ὤν, ὦ Σώκρατες, ἦ σε γὰρ ὄντως
καὶ σοφὸν εἶπε θεός, καὶ θεὸς ἡ σοφία.
πρὸς γὰρ Ἀθηναίων κώνειον ἁπλῶς σὺ ἐδέξω,
αὐτοὶ δ' ἐξέπιον τοῦτο τεῷ στόματι.

## 97. [ΤΟΥ ΑΥΤΟΥ.]

Οὐ μόνον ἐς Πέρσας ἀνέβη Ξενοφῶν διὰ Κῦρον,
ἀλλ' ἄνοδον ζητῶν ἐς Διὸς ἥτις ἄγοι·
παιδείης γὰρ ἑῆς Ἑλληνικὰ πράγματα δείξας,
ὡς καλὸν ἡ σοφίη μνήσατο Σωκράτεος.

Hosted by Google

98. [ΤΟΥ ΑΥΤΟΥ.]

*Εἰ καὶ σέ, Ξενοφῶν, Κραναοῦ Κέκροπός τε πολῖται*
*φευγέμεναι κατέγνων τοῦ φίλου χάριν Κύρου,*
*ἀλλὰ Κόρινθος ἔδεκτο φιλόξενος, ᾗ συ φιληδῶν*
*οὕτως ἀρέσκῃ κεῖθι καὶ μένειν ἔγνως.*

99. ΠΛΑΤΩΝΟΣ.

*Δάκρυα μὲν Ἑκάβῃ τε καὶ Ἰλιάδεσσι γυναιξὶ*
*Μοῖραι ἐπέκλωσαν δή ποτε γεινομέναις.*
*σοὶ δέ, Δίων, ῥέξαντι καλῶν ἐπινίκιον ἔργων*
*δαίμονες εὐρείας ἐλπίδας ἐξέχεαν.*
*κεῖσαι δ᾽ εὐρυχόρῳ ἐν πατρίδι τίμιος ἀστοῖς,*
*ὦ ἐμὸν ἐκμήνας θυμὸν ἔρωτι Δίων.*

100. ΠΛΑΤΩΝΟΣ.

*Νῦν ὅτε μηδὲν Ἄλεξις, ὅσον μόνον εἴφ᾽ ὅτι καλὸς*
*ὦπται, καὶ πάντῃ πᾶσι περιβλέπεται.*
*θυμέ, τί μηνύεις κυσὶν ὀστέον; εἶτ᾽ ἀνιήσεις*
*ὕστερον. οὐχ οὕτω Φαῖδρον ἀπωλέσαμεν;*

101. [ΔΙΟΓ. ΛΑΕΡΤ.]

*Ἀλλ᾽ εἰ μὴ Σπεύσιππον ἐμάνθανον ὧδε θανεῖσθαι*
*οὐκ ἂν ἔπεισέ μέ τις τόδε λέξαι·*
*ὡς ἦν οὐχὶ Πλάτωνι πρὸς αἵματος· οὐ γὰρ ἀθυμῶν*
*κάτθανεν ἂν διά τι σφόδρα μικρόν.*

102. [ΤΟΥ ΑΥΤΟΥ.]

*Χαλκῇ προσκόψας λεκάνῃ ποτέ, καὶ τὸ μέτωπον*
*πλήξας, ἴαχεν ὢ σύντονον, εἶτ᾽ ἔθανεν,*
*ὁ πάντα παντὶ Ξενοκράτης ἀνὴρ γεγώς.*

Hosted by Google

## 103. *ΑΛΛΟ.*

[*Μνήματι τῷδε Κράτητα θεουδέα καὶ Πολέμωνα*]
[*ἔννεπε κρύπτεσθαι, ξεῖνε, παρερχόμενος,*]
*ἄνδρας ὁμοφροσύνῃ μεγαλήτορας, ὧν ἀπὸ μῦθος*
*ἱερὸς ἤϊσσεν δαιμονίου στόματος,*
*καὶ βίοτος καθαρὸς σοφίας ἐπὶ θεῖον ἐκόσμει*
*αἰῶν' ἀστρέπτοις δόγμασι πειθόμενος.*

## 104. [*ΔΙΟΓ. ΛΑΕΡΤ.*]

*Ἀρκεσίλαε, τί μοι, τί τοσοῦτον ἄκρητον ἀφειδῶς*
*ἔσπασας, ὥςτε φρενῶν ἐκτὸς ὄλισθες ἑῶν;*
*οἰκτείρω σ' οὐ τόσσον ἐπεὶ θάνες, ἀλλ' ὅτι Μούσας*
*ὕβρισας, οὐ μετρίῃ χρησάμενος κύλικι.*

## 105. [*ΤΟΥ ΑΥΤΟΥ.*]

*Καὶ σέο, Λακύδη, φάτιν ἔκλυον, ὡς ἄρα καὶ σὺ*
*Βάκχου ἑλὼν Ἀΐδην ποσσὶν ἔσυρες ἄκρος·*
*ἦ σαφὲς ἦν, Διόνυσος ὅτ' ἂν πολὺς ἐς δέμας ἔλθῃ*
*λῦσε μέλη, διὸ δὴ μήτι Λυαῖος ἔφυ;*

## 106. [*ΤΟΥ ΑΥΤΟΥ.*]

*Χαίρετε καὶ μέμνησθε τὰ δόγματα· τοῦτ' Ἐπίκουρος*
*ὕστατον εἶπε φίλοις οἷσιν ἀποφθίμενος·*
*θερμὴν ἐς πύελον γὰρ ἐςήλυθε, καὶ τὸν ἄκρητον*
*ἔσπασεν, εἶτ' ἀΐδην ψυχρὸν ἐπεσπάσατο.*

## 107. [*ΤΟΥ ΑΥΤΟΥ.*]

*Μέλλων Εὐρυμέδων Ἀριστοτέλην ἀσεβείας*
*γράψασθαι Δηοῦς μύστιδος ὢν πρόπολος,*
*ἀλλὰ πιὼν ἀκόνιτον ὑπέκφυγε· τοῦτ' ἀκονιτὶ*
*ἦν ἄρα νικῆσαι συκοφάσεις ἀδίκους.*

Hosted by Google

108. [ΤΟΥ ΑΥΤΟΥ.]

Καὶ πῶς εἰ μὴ Φοῖβος ἀν' Ἑλλάδα φῦσε Πλάτωνα,
ψυχὰς ἀνθρώπων γράμμασιν ἠκέσατο;
Καὶ γὰρ ὁ τοῦδε γεγὼς Ἀσκληπιός ἐστιν ἰητὴρ
σώματος, ὡς ψυχῆς ἀθανάτοιο Πλάτων.

109. [ΤΟΥ ΑΥΤΟΥ.]

Φοῖβος ἔφυσε βροτοῖς Ἀσκληπιὸν ἠδὲ Πλάτωνα,
Τὸν μέν, ἵνα ψυχήν, τὸν δ' ἵνα σῶμα σάοι·
δαισάμενος δὲ γάμον, πόλιν ἤλυθεν, ἥν ποθ' ἑαυτῷ
ἔκτισε, καὶ δαπέδῳ Ζηνὸς ἐνιδρύσατο.

110. [ΤΟΥ ΑΥΤΟΥ.]

Οὐκ ἄρα τοῦτο μάταιον ἔπος μερόπων τιν' ἐλέχθη,
ῥήγνυσθαι σοφίης τόξον ἀνιέμενον·
δὴ γὰρ καὶ Θεόφραστος ἕως ἐπόνει μὲν ἄπηρος,
ἦν δέμας, εἶτ' ἀνεθεὶς κάτθανε πηρομελής.

111. [ΤΟΥ ΑΥΤΟΥ.]

Λεπτὸς ἀνὴρ δέμας ἦν· εἰ μὴ προσέχῃς, ἀπόχρη μοι·
Στράτωνα τοῦτον φημί γε.
Λαμψακὸς ὅν ποτ' ἔφυσεν, ἀεὶ δὲ νόσοισι παλαίων
θνήσκει λαθών, οὐδ' ᾔσθετο.

112. [ΤΟΥ ΑΥΤΟΥ.]

Οὐ μὰ τόν, οὐδὲ Λύκωνα παρήσομεν, ὅττι ποδαλγὴς
κάτθανε· θαυμάζω τοῦτο μάλιστα δ' ἐγώ,
τὴν οὕτως ἀΐδαο μακρὴν ὁδόν, ἃ πρὶν ὁ ποσσὶν
ἀλλοτρίοις βαδίσας, ἔδραμε νυκτὶ μιῇ.

113. [ΤΟΥ ΑΥΤΟΥ.]

Ανεῖλεν ἀσπὶς τὸν σοφὸν Δημήτριον
ἰὸν ἔχουσα πολὺν

ἄσμηκτον, οὐ στιλβοῦσα φῶς ἀπ' ὀμμάτων
ἀλλ' ἀΐδην μέλανα.

114. [ΤΟΥ ΑΥΤΟΥ.]

Ἤθελες ἀνθρώποισι λιπεῖν φάτιν, Ἡρακλείδη,
ὥς ῥα θανὼν ἐγένου ζωὸς ἅπασι δράκων·
ἀλλὰ διεψεύσθης σεσοφισμένε· δὴ γὰρ ὁ μὲν θὴρ
ἦε δράκων, σὺ δὲ θήρ, οὐ σοφὸς ὤν, ἑάλως.

115. [ΤΟΥ ΑΥΤΟΥ.]

Τὸν βίον ἦσθα Κύων, Ἀντίσθενες, ὧδε πεφυκώς,
ὥςτε δακεῖν κραδίην ῥήμασιν, οὐ στόμασιν·
ἀλλ' ἔθανες φθισικός, τάχ' ἐρεῖ τις ἴσως· τί δὲ τοῦτο;
πάντως εἰς ἀΐδην δεῖ τιν' ὁδηγὸν ἔχειν.

116. [ΤΟΥ ΑΥΤΟΥ.]

Διόγενες, ἄγε, λέγε, ἔλαβέ σε μόρος
ἐς ἀΐδος; ἔλαβέ με κυνὸς ἄγριον ὀδάξ.

117. ΑΔΗΛΟΝ.

Ἔκτισας αὐτάρκειαν, ἀφεὶς κενεαυχέα πλοῦτον,
Ζήνων, σὺν πολιῷ σεμνὸς ἐπισκυνίῳ·
ἄρσενα γὰρ λόγον εὗρες, ἐνηθλήσω δὲ προνοίᾳ,
αἵρεσιν, ἀτρέστου μητέρ' ἐλευθερίης·
εἰ δὲ πάτρα Φοίνισσα, τίς ὁ φθόνος; ἦν καὶ ὁ Κάδμος
κεῖνος, ἀφ' οὗ γραπτὰν Ἑλλὰς ἔχει σελίδα.

118. [ΔΙΟΓ. ΛΑΕΡΤ.]

Τὸν Κιτιέα Ζήνωνα θανεῖν λόγος ὡς ὑπὸ γήρως
πολλὰ καμὼν ἐλύθη, οἱ δέ, μένων ἄσιτος.

119. ΑΔΗΛΟΝ.

Ἡ νύκε Πυθαγόρης τὸ περικλεὲς εὕρετο γράμμα
κεῖν', ἐφ' ὅτῳ κλεινὴν ἤγαγε βουθυσίην....

Hosted by Google

120. ΞΕΝΟΦΑΝΟΥΣ.

Καί ποτέ μιν στυφελιζομένου σκύλακος παριόντα
φασὶν ἐποικτεῖραι, καὶ τόδε φάσθαι ἔπος·
Παῦσαι, μηδὲ ῥάπιζ', ἐπειὴ φίλου ἀνέρος ἐστὶ
ψυχή, τὴν ἔγνων, φθεγξαμένης ἀΐων.

121. [ΔΙΟΓΕΝ. ΛΑΕΡΤ.

Οὐ μόνος ἐμψύχων ἄπεχες χέρας, ἀλλὰ καὶ ἡμεῖς·
τίς γὰρ ὃς ἐμψύχων ἥψατο, Πυθαγόρα;
ἀλλ' ὅταν ἑψηθῇ τι, καὶ ὀπτηθῇ, καὶ ἁλισθῇ,
δὴ τότε καὶ ψυχὴν μὴ ἔχον ἐσθίομεν.

122. [ΤΟΥ ΑΥΤΟΥ.

Αἴ, αἴ, Πυθαγόρης τί τόσον κυάμους ἐσεβάσθη;
καὶ θάνε φοιτηταῖς ἅμμιγα τοῖς ἰδίοις·
χωρίον ἦν κυάμων· ἵνα μὴ τούτους δὲ πατήσῃ
ἐξ Ἀκραγαντίνων κάτθαν' ἐνὶ τριόδῳ.

123. [ΤΟΥ ΑΥΤΟΥ.]

Καὶ σύ ποτ', Ἐμπεδόκλεις, διερῇ φλογὶ σῶμα καθήρας
πῦρ ἀπὸ κρητήρων ἔκπιες ἀθανάτων·
οὐκ ἐρέω δ' ὅτι σαυτὸν ἑκὼν βάλες ἐς ῥόον Αἴτνης,
ἀλλὰ λαθεῖν ἐθέλων ἔμπεσες οὐκ ἐθέλων.

124. [ΤΟΥ ΑΥΤΟΥ.]

Ναὶ μὴν Ἐμπεδοκλῆα θανεῖν λόγος ὥς ποτ' ἀμάξης
ἔκπεσε, καὶ μηρὸν κλάσσατο δεξιτερόν·
εἰ δὲ πυρὸς κρητῆρας ἐσήλατο, καὶ πίε τὸ ζῆν,
πῶς ἂν ἔτ' ἐν Μεγάροις δείκνυτο τοῦδε τάφος.

125. [ΤΟΥ ΑΥΤΟΥ.]

Εἴ τι παραλλάσσει φαέθων μέγας ἅλιος ἄστρων,
καὶ πόντος ποταμῶν μεῖζον' ἔχει δύναμιν,

φαμὶ τοσοῦτον ἐγὼ σοφίᾳ προέχειν Ἐπίχαρμον,
ὃν πατρὶς ἐστεφάνωσ᾽ ἅδε Συρακοσίων.

126. [ΤΟΥ ΑΥΤΟΥ.]

Τὴν ὑπόνοιαν πᾶσι μάλιστα λέγω θεραπεύειν·
εἰ γὰρ καὶ μὴ δρᾷς, ἀλλὰ δοκεῖς, ἀτυχεῖς.
οὕτω καὶ Φιλόλαον ἀνεῖλε Κρότων ποτὲ πάτρη,
ὥς μιν ἔδοξε θέλειν δῶμα τύραννον ἔχειν.

127. [ΤΟΥ ΑΥΤΟΥ

Πολλάκις Ἡράκλειτον ἐθαύμασα, πῶς ποτὲ τὸ ζῆν
ὧδε διαντλήσας δύσμορος, εἶτ᾽ ἔθανεν·
σῶμα γὰρ ἀρδεῦσα κακὴ νόσος ὕδατι φέγγος
ἔσβεσεν ἐκ βλεφάρων καὶ σκότον ἠγάγετο.

128. ΑΛΛΟ.

Ἡράκλειτος ἐγώ· τί με ὦ κάτω ἕλκετ᾽ ἄμουσοι;
οὐχ ὑμῖν ἐπόνουν, τοῖς δέ μ᾽ ἐπισταμένοις.
εἷς ἐμοὶ ἄνθρωπος, τρισμύριοι· οἱ δ᾽ ἀνάριθμοι,
οὐδείς. ταῦτ᾽ αὐδῶ καὶ παρὰ Περσεφόνῃ.

129. [ΔΙΟΓΕΝ. ΛΑΕΡΤ.

Ἤθελες, ὦ Ζήνων, καλὸν ἤθελες, ἄνδρα τύραννον
κτείνας ἐκλῦσαι δουλοσύνης Ἐλέαν·
ἀλλ᾽ ἐδάμης· δὴ γάρ σε λαβὼν ὁ τύραννος ἐν ὅλμῳ
κόψε· τί τοῦτο λέγω; σῶμα γάρ, οὐχὶ δὲ σέ.

130. [ΤΟΥ ΑΥΤΟΥ.]

Καὶ σέ, Πρωταγόρη, φάτιν ἔκλυον, ὡς ἄρ᾽ Ἀθηνῶν
ἔκ ποτ᾽ ἰών, καθ᾽ ὁδόν, πρέσβυς ἰὼν ἔθανες·
εἵλετο γάρ σε φυγεῖν Κέκροπος πόλις· ἀλλὰ σὺ μέν που
Παλλάδος ἄστυ φύγες, Πλουτέα δ᾽ οὐκ ἔφυγες.

131. *ΑΛΛΟ.*

*Πρωταγόρην λόγος ὧδε θανεῖν φέρει· ἀλλὰ γὰρ οὔτι*
** ἤκατο σῶμα γαῖαν, ψυχὰ δ' ἅλτο * σοφοῖς.*

132. *ΑΛΛΟ.*

*Καὶ σέ, Πρωταγόρη, σοφίης ἴδμεν βέλος ὀξύ,*
*ἀλλ' οὐ τιτρώσκον, * ὢν δὲ γλυκὺ κρῆμα.*

133. [*ΔΙΟΓΕΝ· ΛΑΕΡΤ.*

*Πτίσσετε, Νικοκρέων, ἔτι καὶ μάλα θύλακός ἐστι,*
*πτίσσετ', Ἀνάξαρχος δ' ἐν Διός ἐστι πάλαι·*
*καί σε * διαστείλας γένειφει ὀλίγον, τάδε λέξει*
*ῥήματα Περσεφόνη· ἔῤῥε μυλωθρὲ κακέ.*

134. *ΑΔΗΛΟΝ.*

*Ἐνθάδε Γοργίου ἡ κεφαλὴ κυνικοῦ κατάκειμαι,*
*οὐκέτι χρεμπτομένη, οὔτ' ἀπομυσσομένη.*

135. *ΑΛΛΟ.*

*Θεσσαλὸς Ἱπποκράτης, Κῷος γένος, ἐνθάδε κεῖται,*
*Φοίβου ἀπὸ ῥίζης ἀθανάτου γεγαώς,*
*πλεῖστα τρόπαια νόσων στήσας ὅπλοις Ὑγιείης,*
*δόξαν ἑλὼν πολλῶν οὐ τύχῃ, ἀλλὰ τέχνῃ.*

136. *ΑΝΤΙΠΑΤΡΟΥ.*

*Ἥρωος Πριάμου βαιὸς τάφος, οὐχ ὅτι τοίου*
*ἄξιος, ἀλλ' ἐχθρῶν χερσὶν ἐχωννύμεθα.*

137. *ΑΔΕΣΠΟΤΟΝ.*

*Μή με τάφῳ σύγκρινε τὸν Ἕκτορα, μηδ' ἐπὶ τύμβῳ*
*μέτρει τὸν πάσης Ἑλλάδος ἀντίπαλον.*
*Ἰλιάς, αὐτὸς Ὅμηρος ἐμοὶ τάφος, Ἑλλάς, Ἀχαιοὶ*
*φεύγοντες, τούτοις πᾶσιν ἐχωννύμεθα·*

εἰ δ' ὀλίγην ἀθρεῖς ἐπ' ἐμοὶ κόνιν, οὐκ ἐμοὶ αἶσχος·
Ἑλλήνων ἐχθραῖς χερσὶν ἐχωννύμεθα.

## 138. ΑΚΗΡΑΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Ἕκτορ Ὁμηρείῃσιν ἀεὶ βεβοημένε βίβλοις,
θειοδόμου τείχευς ἕρκος ἐρυμνότατον,
ἐν σοὶ Μαιονίδης ἀνεπαύσατο· σοῦ δὲ θανόντος,
Ἕκτορ, ἐσιγήθη καὶ σελὶς Ἰλιάδος.

## 139. ΑΛΛΟ.

Ἕκτορι μὲν Τροίη συγκάτθανεν· οὐδ' ἔτι χεῖρας
ἀντῆρεν Δαναῶν παισὶν ἐπερχομένοις.
Πέλλα δ' Ἀλεξάνδρῳ συναπώλετο. πατρίδες ἄρα
ἀνδράσιν, οὐ πάτραις ἄνδρες ἀγαλλόμεθα.

## 140. ΑΡΧΙΟΥ.

Καὶ γενέταν τοῦ νέρθε, καὶ οὔνομα, καὶ χθόνα φώνει,
στάλα, καὶ ποίᾳ κηρὶ δαμεὶς ἔθανεν.
* πατὴρ μὲν Πρίαμος, γᾶ δ' Ἴλιον, οὔνομα δ' Ἕκτωρ,
ὦ 'νερ, ὑπὲρ πάτρας δ' ὤλετο μαρνάμενος.

## 141. ΑΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ.

Θεσσαλὲ Πρωτεσίλαε, σὲ μὲν πολὺς ᾄσεται αἰών,
Τροίᾳ ὀφειλομένου πτώματος ἀρξάμενον·
σᾶμα δέ τοι πτελέῃσι συνηρεφὲς ἀμφικομεῦσι
Νύμφαι, ἀπεχθομένης Ἰλίου ἀντιπέρας.
δένδρεα δυσμήνιτα, καὶ ἥν ποτε τεῖχος ἴδωσι
Τρώϊον, αὐαλέην φυλλαχοεῦντι κόμην.
ὅσσος ἐν ἡρώεσσι τότ' ἦν χόλος, οὗ μέρος ἀκμὴν
ἐχθρὸν ἐν ἀψύχοις σώζεται ἀκρέμοσιν.

## 142. ΑΔΗΛΟΝ.

Τύμβος Ἀχιλλῆος ῥηξήνορος, ὅν ποτ' Ἀχαιοὶ
δώμησαν, Τρώων δεῖμα καὶ ἐσσομένων·
αἰγιαλῷ δὲ νένευκεν, ἵνα στοναχῇσι θαλάσσης
κυδαίνοιτο πάϊς τῆς ἁλίας Θέτιδος.

## 143. ΑΔΗΛΟΝ.

Ἄνδρε δύω φιλότητι καὶ ἐν τεύχεσσιν ἀρίστω
χαίρετον, Αἰακίδη, καὶ σύ, Μενοιτιάδη

## 144. ΑΔΕΣΠΟΤΟΝ.

Ἡδυεπὴς Νέστωρ Πύλιος Νηλήϊος ἥρως
ἐν Πύλω ἠγαθέῃ τύμβον ἔχει τριγέρων.

## 145. ΑΣΚΛΗΠΙΑΔΟΥ.

Ἅδ' ἐγὼ ἁ τλάμων ἀρετὰ παρὰ τῷδε κάθημαι
Αἴαντος τύμβῳ κειρομένα πλοκάμους·
θυμὸν ἄχει μεγάλῳ βεβολημένα, εἰ παρ' Ἀχαιοῖς
ἁ δολόφρων ἀπάτα κρέσσον ἐμεῦ δύναται.

## 146. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Σῆμα παρ' Αἰάντειον ἐπὶ Ῥοιτήϊσιν ἀκταῖς
θυμοβαρὴς Ἀρετὰ μύρομαι ἑζομένα,
ἀπλόκαμος, πινόεσσα, διὰ κρίσιν ὅττι Πελασγῶν
οὐκ ἀρετὰ νικᾶν ἔλλαχεν, ἀλλὰ δόλος.
τεύχεα δ' ἂν λέξειεν Ἀχιλλέος· Ἄρσενος ἀκμᾶς,
οὐ σκολιῶν μύθων ἄμμες ἐφιέμεθα.

## 147. ΑΡΧΙΟΥ.

Μοῦνος ἐναιρομένοισιν ὑπέρμαχος ἀσπίδα τείνας,
νηυσὶ βαρὺν Τρώων, Αἶαν, ἔμεινας ἄρην

οὐδέ σε χερμαδίων ὦσεν κτύπος, οὐ νέφος ἰῶν,
οὐ πῦρ, οὐ δοράτων, οὐ ξιφέων πάταγος.
ἀλλ' αὔτως προβλής τε, καὶ ἔμπεδος, ὥς τις ἐρίπνα,
ἱδρυνθείς, ἔτλης λαίλαπα δυσμενέων.
εἰ δέ σε μὴ τεύχεσσιν Ἀχιλλέος ὥπλισεν Ἑλλάς,
ἄξιον ἀντ' ἀρετᾶς ὅπλα πορoῦσα γέρας,
Μοιράων βουλῇσι τάδ' ἤμπλακεν, ὡς ἂν ὑπ' ἐχθρῶν
μή τινος, ἀλλὰ σὺ σῇ πότμον ἕλῃς παλάμῃ.

## 148. ΑΔΕΣΠΟΤΟΝ.

Σῆμα τόδ' Αἴαντος Τελαμωνίου, ὃν κτάνε Μοῖρα,
αὐτοῦ χρησαμένη καὶ χερὶ καὶ ξίφεϊ.
οὐδὲ γὰρ ἐν θνητοῖσι δυνήσατο καὶ μεμαυῖα
εὑρέμεναι **Κλωθὼ** τῷδ' ἕτερον φονέα.

## 149. ΛΕΟΝΤΙΟΥ ΣΧΟΛΑΣ.

Κεῖται ἐνὶ Τροίῃ Τελαμώνιος, οὔ τινι δ' ἔμπης
ἀντιβίων ὀπάσας εὖχος ἑοῦ θανάτου·
τόσσης γὰρ χρόνος ἄλλον ἐπάξιον ἀνέρα τόλμης
οὐχ εὑρών, παλάμῃ θῆκεν ὑπ' αὐτοφόνῳ.

## 150. ΤΟΥ ΑΥΤΟΥ.

Αἴας ἐν Τροίῃ μετὰ μυρίον εὖχος ἀέθλων
μέμφεται οὐκ ἐχθροῖς κείμενος, ἀλλὰ φίλοις

## 151. ΑΛΛΟ.

Ἕκτωρ Αἴαντι ξίφος ὤπασεν· Ἕκτορι δ' Αἴας
ζωστῆρ'· ἀμφοτέρων ἡ χάρις εἰς θάνατος.

## 152. ΑΛΛΟ.

Πικρὴν ἀλλήλοις Ἕκτωρ χάριν, ἠδὲ φέριστος
Αἴας ἐκ πολέμου μνῆμ' ἔπορον φιλίης·

Hosted by Google

Ἕκτωρ γὰρ ζωστῆρα λαβὼν ξίφος ἔμπαλι δῶκεν·
τὴν δὲ χάριν δώρων πείρασαν ἐν θανάτῳ.
τὸ ξίφος εἷλ' Αἴαντα μεμηνότα, καὶ πάλι ζωστὴρ
εἵλκυσε Πριαμίδην δίφρια συρόμενον.
οὕτως ἐξ ἐχθρῶν αὐτοκτόνα πέμπετο δῶρα,
ἐν χάριτος προφάσει μοῖραν ἔχοντα μόρου.

## 153. ΟΜΗΡΟΥ οἱ δὲ ΚΛΕΟΒΟΥΛΟΥ ΤΟΥ ΛΙΝΔΙΟΥ.

Χαλκῆ παρθένος εἰμί, Μίδα δ' ἐπὶ σήματι κεῖμαι.
ἔστ' ἂν ὕδωρ τε νάῃ, καὶ δένδρεα μακρὰ τεθήλῃ,
αὐτοῦ τῇδε μένουσα πολυκλαύτῳ ἐπὶ τύμβῳ,
ἀγγελέω παριοῦσι, Μίδας ὅτι τῇδε τέθαπται.

## 154. ΑΔΗΛΟΝ.

Εἰς Κόροιβον.

Κοινὸν ἐγὼ Μεγαρεῦσι καὶ Ἰναχίδαισιν ἄθυρμα
ἵδρυμαι, Ψαμάθης ἔκδικον οὐλομένης·
Εἰμὶ δὲ Κὴρ τυμβοῦχος· ὁ δὲ κτείνας με Κόροιβος·
κεῖται δ' ὧδ' ὑπ' ἐμοῖς ποσσὶ διὰ τρίποδα·
Δελφὶς γὰρ φάμα τόδ' ἐθέσπισεν, ὄφρα γενοίμαν
τᾶς κείνου νύμφας σῆμα καὶ ἱστορίης.

## 155. ΑΔΕΣΠΟΤΟΝ.

εἰς Φιλιστίωνα τὸν Νικαέα γελωτοποιόν.

Ὁ τὸν πολυστένακτον ἀνθρώπων βίον
γέλωτι κεράσας Νικαεὺς Φιλιστίων
ἐνταῦθα κεῖμαι, λείψανον παντὸς βίου·
πολλάκις ἀποθανών, ὧδε δ' οὐδεπώποτε.

## 156. ΙΣΙΔΩΡΟΥ ΑΙΓΕΑΤΟΥ.

Ἰξῷ καὶ καλάμοισιν ἀπ' ἠέρος αὐτὸν ἔφερβεν
Εὔμηλος, λιτῶς, ἀλλ' ἐν ἐλευθερίῃ.
οὔποτε δ' ὀθνείην ἔκυσεν χέρα γαστρὸς ἕκητι·
τοῦτο τρυφὴν κείνῳ, τοῦτ' ἔφερ' εὐφροσύνην.
τρὶς δὲ τριηκοστὸν ζήσας ἔτος ἐνθάδ' ἰαύει,
παισὶ λιπὼν ἰξόν, καὶ πτερά, καὶ καλάμους.

## 157. ΑΔΗΛΟΝ.

Τρεῖς ἐτέων δεκάδας, τριάδας δύο, μέτρον ἔθηκαν
ἡμετέρης βιοτῆς μάντιες αἰθέριοι.
ἀρκοῦμαι τούτοισιν· ὁ γὰρ χρόνος ἄνθος ἄριστον
ἡλικίης· ἔθανεν χὠ τριγέρων Πύλιος.

## 158. ΑΔΗΛΟΝ.

εἰς Μάρκελλον τὸν Σιδίτην ἰατρόν.

Μαρκέλλου τόδε σῆμα περικλυτοῦ ἰητῆρος,
φωτὸς κυδίστοιο, τετιμένου ἀθανάτοισιν,
οὗ βίβλους ἀνέθηκεν ἐϋκτιμένῃ ἐνὶ Ῥώμῃ
Ἀδριανὸς προτέρων προφερέστερος ἡγεμονήων,
καὶ πάϊς Ἀδριανοῖο μέγ' ἔξοχος Ἀντωνῖνος,
ὄφρα καὶ ἐσσομένοισι μετ' ἀνδράσι κῦδος ἄροιτο,
εἵνεκεν εὐεπίης, τήν οἱ πόρε Φοῖβος Ἀπόλλων,
ἡρῴῳ μέλψαντι μέτρῳ θεραπήϊα νούσων
βίβλοις ἐν πινυταῖς χειρωνίσι τεσσαράκοντα.

## 159. ΝΙΚΑΡΧΟΥ.

Ὀρφεὺς μὲν κιθάρᾳ πλεῖστον γέρας εἵλετο θνητῶν,
Νέστωρ δὲ γλώσσης ἡδυλόγου σοφίῃ,
τεκτοσύνῃ δ' ἐπέων πολυΐστωρ θεῖος Ὅμηρος,
Τηλεφάνης δ' αὐλοῖς, οὗ τάφος ἐστὶν ὅδε.



Hosted by Google

## 160. ΑΝΑΚΡΕΟΝΤΟΣ.

Καρτερὸς ἐν πολέμοις Τιμόκριτος, οὗ τόδε σᾶμα.
  Ἄρης δ᾽ οὐκ ἀγαθῶν φείδεται, ἀλλὰ κακῶν.

## 161. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Ὄρνι, Διὸς Κρονίδαο διάκτορε, τεῦ χάριν ἕστας
  γοργὸς ὑπὲρ μεγάλου τύμβον Ἀριστομένους;
ἀγγέλλω μερόπεσσιν ὅθ᾽ οὕνεκεν ὅσσον ἄριστος
  οἰωνῶν γενόμαν, τόσσον ὅδ᾽ ἠϊθέων.
δειλαί τοι δειλοῖσιν ἐφεδρήσσουσι πέλειαι·
  ἄμμες δ᾽ ἀτρέστοις ἀνδράσι τερπόμεθα.

## 162. ΔΙΟΣΚΟΡΙΔΟΥ.

Εὐφράτην μὴ καῖε, Φιλώνυμε, μηδὲ μιήνῃς
  πῦρ ἐπ᾽ ἐμοί· Πέρσης εἰμὶ καὶ ἐκ πατέρων,
Πέρσης αὐθιγενής, ναὶ δέσποτα· πῦρ δὲ μιῆναι
  ἡμῖν τοῦ χαλεποῦ πικρότερον θανάτου.
ἀλλὰ περιστείλας με δίδου χθονί· μηδ᾽ ἐπὶ νεκρῷ
  λουτρὰ χέῃς· σέβομαι, δέσποτα, καὶ ποταμούς.

## 163. ΛΕΩΝΙΔΟΥ.

Τίς, τίνος εὖσα, γύναι, Παρίην ὑπὸ κίονα κεῖσαι;
  Πρηξὼ Καλλιτέλευς. καὶ ποδαπή; Σαμίη.
τίς δέ σε καὶ κτερέϊξε; Θεόκριτος, ᾧ με γονῆες
  ἐξέδοσαν. θνήσκεις δ᾽ ἐκ τίνος; ἐκ τοκετοῦ.
εὖσα πόσων ἐτέων; δύο κεἴκοσιν. ἦ ῥά γ᾽ ἄτεκνος;
  οὐκ, ἀλλά, τριετῆ Καλλιτέλην ἔλιπον.
ζώοι σοὶ κεῖνός γε, καὶ ἐς βαθὺ γῆρας ἵκοιτο.
  καὶ σοί, ξεῖνε, πόροι πάντα Τύχη τὰ καλά.

Hosted by Google

## 164. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Φράζε, γύναι, γενεήν, ὄνομα, χθόνα. Καλλιτέλης μὲν
ὁ σπείρας· Πρηξὼ δ' οὔνομα· γῆ δὲ Σάμος.
σᾶμα δὲ τίς τόδ' ἔχωσε; Θεόκριτος, ὁ πρὶν ἄθικτα
ἁμετέρας λύσας ἅμματα παρθενίης.
πῶς δ' ἔθανες; λοχίοισιν ἐν ἄλγεσιν. εἰπὲ δὲ ποίην
ἦλθες ἐς ἡλικίην. δισσάκις ἑνδεκέτις.
ἦ καὶ ἄπαις; οὔ, ξεῖνε· λέλοιπα γὰρ ἐν νεότητι
Καλλιτέλη, τριετῆ παῖδ' ἔτι νηπίαχον.
ἔλθοι ἐς ὀλβίστην ἱερὴν τρίχα. καὶ σόν, ὁδῖτα,
οὔριον ἰθύνοι πάντα Τύχη βίοτον.

## 165. ΤΟΥ ΑΥΤΟΥ οἱ δὲ ΑΡΧΙΟΥ.

Εἰπέ, γύναι, τίς ἔφυς. Πρηξώ. τίνος ἔπλεο πατρός;
Καλλιτέλευς. πάτρας δ' ἐκ τίνος ἐσσί; Σάμου.
μνᾶμα δέ σου τίς ἔτευξε; Θεόκριτος· ὅς με σύνευνον
ἤγετο· πῶς δ' ἐδάμης; ἄλγεσιν ἐν λοχίοις.
εἶν ἔτεσιν τίσιν εὖσα; δὶς ἕνδεκα. παῖδα δὲ λείπεις;
νηπίαχον τρισσῶν Καλλιτέλην ἐτέων.
ζωῆς τέρμαθ' ἵκοιτο μετ' ἀνδράσι. καὶ σέο δοίη
παντὶ Τύχη βιότῳ τερπνόν, ὁδῖτα, τέλος.

## 166. ΔΙΟΣΚΟΡΙΔΟΥ οἱ δὲ ΝΙΚΑΡΧΟΥ.

Τὴν γοεραῖς πνεύσασαν ἐν ὠδίνεσσι Λαμίσκην
ὕστατα, Νικαρέτης παῖδα καὶ Εὐπόλιδος,
σὺν βρέφεσιν διδύμοις, Σαμίην γένος, αἱ παρὰ Νείλῳ
κρύπτουσιν Λιβύης ἠόνες εἰκοσέτιν.
ἀλλά, κόραι, τῇ παιδὶ λεχώϊα δῶρα φέρουσαι,
θερμὰ κατὰ ψυχροῦ δάκρυα χεῖτε τάφου.

## 167. ΤΟΥ ΑΥΤΟΥ οἱ δὲ ΕΚΑΤΑΙΟΥ ΘΑΣΙΟΥ.

Ἀρχέλεώ με δάμαρτα Πολυξείνην, Θεοδέκτου
παῖδα καὶ αἰνοπαθοῦς ἔννεπε Δημαρέτης,
ὅσσον ἐπ' ὠδῖσιν καὶ μητέρα· παῖδα δὲ δαίμων
ἔφθασεν οὐδ' αὐτῶν εἴκοσιν ἠελίων.
ὀκτωκαιδεκέτις δ' αὐτὴ θάνον, ἄρτι τεκοῦσα,
ἄρτι δὲ καὶ νύμφη, πάντ' ὀλιγοχρόνιος.

## 168. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Εὐχέσθω τις ἔπειτα γυνὴ τόκον, εἶπε Πολυξώ,
γαστέρ' ὑπὸ τρισσῶν ῥηγνυμένη τεκέων·
μαίης δ' ἐν παλάμῃσι χύθη νέκυς· οἱ δ' ἐπὶ γαῖαν
ὤλισθον κοίλων ἄῤῥενες ἐκ λαγόνων,
μητέρος ἐκ νεκρῆς ζωὸς γόνος· εἷς ἄρα δαίμων
τῆς μὲν ἀπὸ ζωὴν εἵλετο, τοῖς δ' ἔπορεν.

## 169. ΑΔΕΣΠΟΤΟΝ.

εἰς τὴν δάμαλιν τὴν ἱσταμένην πέραν Βυζαντίου ἐν Χρυσοπόλει.

Ἰναχίης οὐκ εἰμὶ βοὸς τύπος, οὐδ' ἀπ' ἐμεῖο
κλῄζεται ἀντωπὸν Βοσπόριον πέλαγος.
κείνην γὰρ τὸ πάροιθε βαρὺς χόλος ἤλασεν Ἥρης
ἐς Φάρον· ἥδε δ' ἐγὼ Κεκροπίς εἰμι νέκυς.
εὐνέτις ἦν δὲ Χάρητος· ἔπλων δ' ὅτ' ἔπλωεν ἐκεῖνος
τῇδε, Φιλιππείων ἀντίπαλος σκαφέων.
Βοΐδιον δὲ καλεῦμ' ἐγὼ ὡς τότε· νῦν δὲ Χάρητος
εὐνέτις ἠπείροις τέρπομαι ἀμφοτέραις.

Hosted by Google

170. ΠΟΣΕΙΔΙΠΠΟΥ. ἢ ΚΑΛΛΙΜΑΧΟΥ.

Τὸν τριετῆ παίζοντα περὶ φρέαρ Ἀρχιάνακτα
εἴδωλον μορφᾶς κωφὸν ἐπεσπάσατο.
ἐκ δ' ὕδατος τὸν παῖδα διάβροχον ἅρπασε μάτηρ,
σκεπτομένα ζωᾶς εἴ τινα μοῖραν ἔχει.
Νύμφας δ' οὐκ ἐμίηνεν ὁ νήπιος, ἀλλ' ἐπὶ γούνων
ματρὸς κοιμαθεὶς τὸν βαθὺν ὕπνον ἔχει.

171. ΜΝΑΣΑΛΚΟΥ ΣΙΚΥΩΝΙΟΥ.

Ἀμπαύσει καὶ τῇδε θοὸν πτερὸν ἱερὸς ὄρνις,
τᾶςδ' ὑπὲρ ἁδείας ἑζόμενος πλατάνου.
ὤλετο γὰρ Ποίμανδρος ὁ Μάλλιος, οὐδ' ἔτι νεῖται
ἰξὸν ἐπ' ἀγρευταῖς χευάμενος καλάμοις.

172. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Ὁ πρὶν ἐγὼ καὶ ψῆρα, καὶ ἁρπάκτειραν ἐρύκων
σπέρματος, ὑψιπετῆ Βιστονίαν γέρανον,
ῥινοῦ χερμαστῆρος εὔστροφα κῶλα τιταίνων,
Ἀλκιμένης, πτανῶν εἶργον ἄπωθε νέφος.
κἀμέ τις οὐτήτειρα παρὰ σφυρὰ διψὰς ἔχιδνα
σαρκὶ τὸν ἐκ γενύων πικρὸν ἐνεῖσα χόλον
ἠελίου χήρωσεν· ἴδ' ὡς τὰ κατ' αἰθέρα λεύσσων
τοὐν ποσὶν οὐκ ἐδάην πῆμα κυλινδόμενον.

173. ΔΙΟΤΙΜΟΥ οἱ δὲ ΛΕΩΝΙΔΟΥ.

Αὐτόμαται δειλαὶ ποτὶ ταὔλιον αἱ βόες ἦλθον
ἐξ ὄρεος, πολλῇ νιφόμεναι χιόνι.
αἴ, αἴ, Θηρίμαχος δὲ παρὰ δρυῒ τὸν μακρὸν εὕδει
ὕπνον· ἐκοιμήθη δ' ἐκ πυρὸς οὐρανίου.

## 174. ΕΡΥΚΙΟΥ.

Οὐκέτι συρίγγων νόμιον μέλος ἀγχόθι ταύτας
 ἁρμόζῃ βλωθρᾶς, Θηρίμαχε, πλατάνου·
οὐδέ σευ ἐκ καλάμων κεραοὶ βόες ἁδὺ μέλισμα
 δέξονται, σκιερᾷ πὰρ δρυῒ κεκλιμένου.
ὤλεσε γάρ πρηστήρ σε κεραύνιος· αἱ δ' ἐπὶ μάνδραν
 ὀψὲ βόες νιφετῷ σπερχόμεναι κατέβαν.

## 175. ΑΝΤΙΦΙΛΟΥ.

Οὕτω πᾶσ' ἀπόλωλε, γεωπόνε, βῶλος ἀρότροις;
 ἤδη καὶ τύμβους νωτοβατοῦσι βόες,
ἡ δ' ὕνις ἐν νεκύεσσι. τί τοι πλέον; ἢ πόσος οὗτος
 πυρός, ὃν ἐκ τέφρης, κοὐ χθονὸς ἁρπάσετε;
οὐκ αἰεὶ ζήσεσθε, καὶ ὑμέας ἄλλος ἀρώσει,
 τοίης ἀρξαμένους πᾶσι κακοσπορίης.

## 176. ΤΟΥ ΑΥΤΟΥ.

Οὐχ ὅτι με φθίμενον κῆδος λίπεν, ἐνθάδε κεῖμαι
 γυμνὸς ὑπὲρ γαίης πυροφόροιο νέκυς·
ταρχύθην γὰρ ἐγὼ τὸ πρίν ποτε, νῦν δ' ἀροτῆρος
 χερσὶ σιδηρείῃ μ' ἐξεκύλισεν ὕνις·
ἦ ῥα κακῶν θάνατόν τις ἐρεῖ λύσιν, ὁππότ' ἐμεῖο,
 ξεῖνε, πέλει παθέων ὕστατον οὐδὲ τάφος;

## 177. ΣΙΜΩΝΙΔΟΥ.

Σᾶμα τόδε Σπίνθηρι πατὴρ ἐπέθηκε θανόντι.

## 178. ΔΙΟΣΚΟΡΙΔΟΥ ΝΙΚΟΠΟΛΙΤΟΥ.

Λυδὸς ἐγώ, ναὶ Λυδός, ἐλευθερίῳ δέ με τύμβῳ,
 δέσποτα, Τιμάνθῃ τὸν σὸν ἔθευ τροφέα.
εὐαίων ἀσινῆ τείνοις βίον· ἢν δ' ὑπὸ γήρως
 πρός με μόλῃς, σὸς ἐγώ, δέσποτα, κεἰν Ἀΐδῃ.

Hosted by Google

## 179. ΑΔΗΛΟΝ.

Σοὶ καὶ νῦν ὑπὸ γῆν, ναὶ δέσποτα, πιστὸς ὑπάρχω,
ὡς πάρος, εὐνοίης οὐκ ἐπιληθόμενος,
ὥς με τότ' ἐκ νούσου τρὶς ἐπ' ἀσφαλὲς ἤγαγες ἴχνος,
καὶ νῦν ἀρκούσῃ τῇδ' ὑπέθου καλύβῃ,
Μάνην ἀγγείλας, Πέρσην γένος· εὖ δέ με ῥέξας
ἕξεις ἐν χρείῃ δμῶας ἑτοιμοτέρους.

## 180. ΑΠΟΛΛΩΝΙΔΟΥ.

Ηλλάχθη θανάτοιο τεὸς μόρος, ἀντὶ δὲ σεῖο,
δέσποτα, δοῦλος ἐγὼ στυγνὸν ἔπλησα τάφον,
ἡνίκα σοὶ δακρυτὰ κατὰ χθονὸς ἠρία τεῦχον,
ὡς ἂν ἀποφθιμένου κεῖθι δέμας κτερίσω·
ἀμφὶ δέ μ' ὤλισθεν γυρὴ κόνις. οὐ βαρὺς ἡμῖν
ἔστ' Ἀΐδης· ζήσω τὸν σὸν ὑπ' ἠέλιον.

## 181. ΑΝΔΡΟΝΙΚΟΥ.

Οἰκτρὰ δὴ δνοφερὸν δόμον ἤλυθες εἰς Ἀχέροντος,
Δαμοκράτεια φίλα, ματρὶ λιποῦσα γόους.
ἁ δέ, σέθεν φθιμένας, πολιοὺς νεοθῆγι σιδάρῳ
κείρατο γηραλέας ἐκ κεφαλῆς πλοκάμους.

## 182. ΜΕΛΕΑΓΡΟΥ.

Οὐ γάμον, ἀλλ' Ἀΐδαν ἐπινυμφίδιον Κλεαρίστα
δέξατο, παρθενίας ἅμματα λυομένα.
ἄρτι γὰρ ἑσπέριοι νύμφας ἐπὶ δικλίσιν ἆχευν
λωτοί, καὶ θαλάμων ἐπλαταγεῦντο θύραι·
ἠῷοι δ' ὀλολυγμὸν ἀνέκραγον, ἐκ δ' Ὑμέναιος
σιγαθεὶς γοερὸν φθέγμα μεθαρμόσατο.
αἱ δ' αὐταὶ καὶ φέγγος ἐδᾳδούχουν παρὰ παστῷ
πεῦκαι, καὶ φθιμένᾳ νέρθεν ἔφαινον ὁδόν.

Hosted by Google

183. *ΠΑΡΜΕΝΙΩΝΟΣ.*

*Παρθενικῆς τάφος εἴμ' Ἑλένης, πένθει δ' ἐπ' ἀδελφοῦ*
*Ἀιδης τὴν * κροκάλης ἔφθασε παρθενίην.*
*εἰς δὲ γόους Ὑμέναιος ἐπαύσατο· τὰς δὲ γαμούντων*
*ἐλπίδας οὐ θάλαμος κοίμισεν, ἀλλὰ τάφος.*

184. *ΤΟΥ ΑΥΤΟΥ.*

*Παρθενικῆς τάφος εἴμ' Ἑλένης, πένθει δ' ἐπ' ἀδελφοῦ*
*προφθιμένου διπλᾶ μητρὸς ἔχω δάκρυα.*
*μνηστῆρσιν δ' ἔλιπον κοίν' ἄλγεα· τὴν γὰρ ἔτ' οὔπω*
*οὐδενὸς ἡ πάντων ἐλπὶς ἔκλαυσεν ἴσως.*

185. *ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚ.*

*Αὐσονίη με Λίβυσσαν ἔχει κόνις, ἄγχι δὲ Ῥώμης*
*κεῖμαι παρθενικὴ τῇδε παρὰ ψαμάθῳ·*
*ἡ δέ με θρεψαμένη Πομπηΐη ἀντὶ θυγατρός,*
*κλαυσαμένη τύμβῳ θῆκεν ἐλευθερίῳ,*
*πῦρ' ἕτερον σπεύδουσα· τὸ δ' ἔφθασεν, οὐδὲ κατ' εὐχὴν*
*ἡμετέραν ἧψεν λαμπάδα Περσεφόνη.*

186. *ΦΙΛΙΠΠΟΥ.*

*Ἄρτι μὲν ἐν θαλάμοις Νικιππίδος ἡδὺς ἐπήχει*
*λωτός, καὶ γαμικοῖς ὕμνος ἔχαιρε κρότοις.*
*θρῆνος δ' εἰς ὑμέναιον ἐκώμασεν· ἡ δὲ τάλαινα,*
*οὔπω πάντα γυνή, καὶ νέκυς ἐβλέπετο.*
*δακρυόεις Ἀΐδη, τί πόσιν νύμφης διέλυσας,*
*αὐτὸς ἐφ' ἁρπαγίμοις τερπόμενος λέχεσιν;*

187. *ΤΟΥ ΑΥΤΟΥ.*

*Ἡ γρῆϋς Νικὼ Μελίτης τάφον ἐστεφάνωσε*
*παρθενικῆς. Ἀΐδη, τοῦθ' ὁσίως κέκρικας;*

188. ΑΝΤΩΝΙΟΥ ΘΑΛΛΟΥ.

Δύςδαιμον Κλεάνασσα, σὺ μὲν γάμῳ ἔπλεο, κούρη,
ὥριος, ἀκμαίης οἷά τ' ἐφ' ἡλικίης·
ἀλλὰ τεοῖς θαλάμοισι γαμοστόλος οὐχ Ὑμέναιος,
οὐδ' Ἥρης ζυγίης λαμπάδες ἠντίασαν,
πένθιμος ἀλλ' Ἀΐδης ἐπεκώμασεν, ἀμφὶ δ' Ἐρινὺς
φοίνιος ἐκ στομάτων μόρσιμον ἧκεν ὄπα·
ἤματι δ' ᾧ νυμφεῖος ἀνήπτετο λαμπάδι παστάς,
τούτῳ πυρκαϊῆς, οὐ θαλάμων ἔτυχες.

189. ΑΡΙΣΤΟΔΙΚΟΥ ΡΟΔΙΟΥ.

Οὐκέτι δή σε λίγεια κατ' ἀφνεὸν Ἀλκίδος οἶκον
ἀκρὶ μελιζομέναν ὄψεται Ἀέλιος·
ἤδη γὰρ λειμῶνας ἐπὶ Κλυμένου πεπότησαι,
καὶ δροσερὰ χρυσέας ἄνθεα Περσεφόνας.

190. ΑΝΥΤΗΣ οἱ δὲ ΛΕΩΝΙΔΟΥ.

Ἀκρίδι τᾷ κατ' ἄρουραν ἀηδόνι, καὶ δρυοκοίτᾳ
τέττιγι ξυνὸν τύμβον ἔτευξε Μυρώ,
παρθένιον στάξασα κόρα δάκρυ· δισσὰ γὰρ αὐτᾶς
παίγνι' ὁ δυςπειθὴς ᾤχετ' ἔχων Ἀΐδας.

191. ΑΡΧΙΟΥ.

Ἁ πάρος ἀντίφθογγον ἀποκλάγξασα νομεῦσι
πολλάκι, καὶ δρυτόμοις κίσσα καὶ ἰχθυβόλοις,
πολλάκι δὲ κρέξασα πολύθροον, οἷά τις ἀχώ,
κέρτομον ἀντῳδοῖς χείλεσιν ἁρμονίαν,
νῦν εἰς γᾶν ἄγλωσσος, ἀναύδητός τε πεσοῦσα,
κεῖμαι, μιμητὰν ζᾶλον ἀνηναμένα.

Hosted by Google

### 192. ΜΝΑΣΑΛΚΟΥ.

*Οὐκέτι δὴ πτερύγεσσι λιγυφθόγγοισιν ἀείσεις,*
*ἀκρί, κατ᾽ εὐκάρπους αὔλακας ἑζομένα,*
*οὐδέ με κεκλιμένον σκιερὴν ὑπὸ φυλλάδα τέρψεις,*
*ξουθᾶν ἐκ πτερύγων ἡδὺ κρέκουσα μέλος.*

### 193. ΣΙΜΜΙΟΥ.

*Τάνδε κατ᾽ εὔδενδρον στείβων δρίος εἴρυσα χειρὶ*
*πτώσσουσαν βρομίης οἰνάδος ἐν πετάλοις,*
*ὄφρα μοι εὐερκεῖ καναχὰν δόμῳ ἔνδοθι θείη,*
*τερπνὰ δι᾽ ἀγλώσσου φθεγγομένα στόματος.*

### 194. ΜΝΑΣΑΛΚΟΥ.

*Ἀκρίδα Δημοκρίτου μελεσίπτερον ἅδε θανοῦσαν*
*Ἄργιλος δολιχὰν ἀμφὶ κέλευθον ἔχει,*
*ἅς καί, ὅτ᾽ ἰθύσειε πανέσπερον ὕμνον ἀείδειν,*
*πᾶν μέλαθρον μολπᾶς ἴαχ᾽ ὑπ᾽ εὐκελάδου.*

### 195. ΜΕΛΕΑΓΡΟΥ.

*Ἀκρίς, ἐμῶν ἀπάτημα πόθων, παραμύθιον ὕπνου,*
*ἀκρίς, ἀρουραίη Μοῦσα, λιγυπτέρυγε,*
*αὐτοφυὲς μίμημα λύρας, κρέκε μοί τι ποθεινόν,*
*ἐγκρούουσα φίλοις ποσσὶ λάλους πτέρυγας,*
*ὥς με πόνων ῥύσαιο παναγρύπνοιο μερίμνης,*
*ἀκρί, μιτωσαμένη φθόγγον ἐρωτοπλάνον.*
*δῶρα δέ σοι γήτειον ἀειθαλὲς ὀρθρινὰ δώσω,*
*καὶ δροσερὰς στόμασι σχιζομένας ψακάδας*

### 196. ΤΟΥ ΑΥΤΟΥ.

*Ἀχήεις τέττιξ δροσεραῖς σταγόνεσσι μεθυσθείς,*
*ἀγρονόμαν μέλπεις μοῦσαν ἐρημολάλον.*

ἄκρα δ' ἐφεζόμενος πετάλοις πριονώδεσι κώλοις
αἰθίοπι κλάζεις χρωτὶ μέλισμα λύρας.
ἀλλά, φίλος, φθέγγου τι νέον δενδρώδεσι Νύμφαις
παίγνιον, ἀντῳδὸν Πανὶ κρέκων κέλαδον,
ὄφρα φυγὼν τὸν Ἔρωτα, μεσημβρινὸν ὕπνον ἀγρεύσω
ἐνθάδ' ὑπὸ σκιερῇ κεκλιμένος πλατάνῳ.

197. ΦΑΕΝΝΟΥ.

Δαμοκρίτῳ μὲν ἐγὼ λιγυρὰν ὅκα μοῦσαν ἐνείην
ἀκρὶς ἀπὸ πτερύγων, τὸν βαθὺν ἆγον ὕπνον·
Δαμόκριτος δ' ἐπ' ἐμοὶ τὸν ἐοικότα τύμβον, ὁδῖτα,
ἐγγύθεν Ὠρωποῦ χεῦεν ἀποφθιμένᾳ.

198. ΛΕΩΝΙΔΟΥ ΤΑΡΕΝΤΙΝΟΥ.

Εἰ μικρός τις ἰδεῖν καὶ ἐπ' οὔδεος, ὦ παροδῖτα,
λᾶας ὁ τυμβίτης ἄμμιν ἐπικρέμαται,
αἰνοίης, ὤνθρωπε, Φιλαινίδα· τὴν γὰρ ἀοιδὸν
ἀκρίδα, τὴν εὖσαν τὸ πρὶν ἀκανθοβάτιν,
διπλοῦς ἐς λυκάβαντας ἐφίλατο τὴν καλαμῖτιν,
καὶ θέτ' ἔφ' ὑπνιδίῳ χηραμένην πατάγῳ·
καί μ' οὐδὲ φθιμένην ἀπανήνατο· τοῦτο δ' ἐφ' ἡμῖν
τὠλίγον ὤρθωσεν σᾶμα πολυστροφίης.

199. ΤΥΜΝΕΩ.

Ὄρνεον ὦ Χάρισιν μεμελημένον, ὦ παρόμοιον
ἀλκυόσιν τὸν σὸν φθόγγον ἰσωσάμενον,
ἡρπάσθης, φίλε λάρε· σὰ δ' ἤθεα, καὶ τὸ σὸν ἡδὺ
πνεῦμα σιωπηραὶ νυκτὸς ἔχουσιν ὁδοί.

200. ΝΙΚΙΟΥ.

Οὐκέτι δὴ τανύφυλλον ὑπ' ὄρπακα κλωνὸς ἑλιχθεὶς
τέρψομ' ἀπὸ ῥαδινῶν φθόγγον ἱεὶς πτερύγων

χεῖρα γὰρ εἰς ἀραιὰν παιδὸς πέσον, ὅς με λαθραίως
μάρψεν, ἐπὶ χλωρῶν ἑζόμενον πετάλων.

## 201. ΠΑΜΦΙΛΟΥ.

Οὐκέτι δὴ χλωροῖσιν ἐφεζόμενος πετάλοισιν
ἁδεῖαν μέλπων ἐκπροχέεις ἰαχάν·
ἀλλά σε γηρύοντα κατήναρεν, ἠχέτα τέττιξ,
παιδὸς ἀπ᾽ ἠϊθέου χεὶρ ἀναπεπταμένα.

## 202. ΑΝΥΤΗΣ.

Οὐκέτι μ᾽ ὡς τὸ πάρος πυκιναῖς πτερύγεσσιν ἐρέσσων
ὄρσεις ἐξ εὐνῆς ὄρθριος ἐγρόμενος·
ἦ γάρ σ᾽ ὑπνώοντα σίνις λαθρηδὸν ἐπελθὼν
ἔκτεινεν λαιμῷ ῥίμφα καθεὶς ὄνυχα.

## 203. ΣΙΜΜΙΟΥ.

Οὐκέτ᾽ ἀν᾽ ὑλῆεν δρίος εὔσκιον, ἀγρότα πέρδιξ,
ἠχήεσσαν ἵης γῆρυν ἀπὸ στομάτων,
θηρεύων βαλίους συνομήλικας ἐν νομῷ ὕλης·
ᾤχεο γὰρ πυμάταν εἰς Ἀχέροντος ὁδόν.

## 204. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Οὐκέτι που τλῆμον, σκοπέλων μετανάστρια πέρδιξ,
πλεκτὸς λεπταλέαις οἶκος ἔχει σε λύγοις,
οὐδ᾽ ὑπὸ μαρμαρυγῇ θαλερώπιδος Ἠριγενείης
ἄκρα παραιθύσσεις θαλπομένων πτερύγων.
σὴν κεφαλὴν αἴλουρος ἀπέθρισε· τἆλλα δὲ πάντα
ἥρπασα, καὶ φθονερὴν οὐκ ἐκόρεσσε γένυν.
νῦν δέ σε μὴ κούφη κρύπτοι κόνις, ἀλλὰ βαρεῖα,
μὴ τὸ τεὸν κείνη λείψανον ἐξερύσῃ.

Hosted by Google

## 205. ΤΟΥ ΑΥΤΟΥ.

*Οἰκογενὴς αἴλουρος ἐμὴν πέρδικα φαγοῦσα*
*ζώειν ἡμετέροις ἔλπεται ἐν μεγάροις.*
*οὔ σέ, φίλη πέρδιξ, φθιμένην ἀγέραστον ἐάσω,*
*ἀλλ' ἐπὶ σοὶ κτείνω τὴν σέθεν ἀντιβίην.*
*ψυχὴ γὰρ σέο μᾶλλον ὀρίνεται, εἰςόκε ῥέξω*
*ὅσσ' ἐπ' Ἀχιλλῆος Πύῤῥος ἔτευξε τάφῳ.*

## 206. ΔΑΜΟΧΑΡΙΔΟΣ ΓΡΑΜΜΑΤΙΚΟΥ.

*Ἀνδροβόρων ὁμότεχνε κυνῶν, αἴλουρε κακίστη,*
*τῶν Ἀκταιονίδων ἐσσὶ μία σκυλάκων.*
*κτήτορος Ἀγαθίαο τεοῦ πέρδικα φαγοῦσα,*
*λυπεῖς, ὡς αὐτὸν κτήτορα δασσαμένη.*
*καὶ σὺ μὲν ἐν πέρδιξιν ἔχεις νόον· οἱ δὲ μύες νῦν*
*ὀρχοῦνται, τῆς σῆς δραξάμενοι σπατάλης.*

## 207 ΜΕΛΕΑΓΡΟΥ.

*Τὸν ταχύπουν, ἔτι παῖδα συναρπασθέντα τεκούσης*
*ἄρτι μ' ἀπὸ στέρνων, οὐατόεντα λαγὼν*
*ἐν κόλποις στέργουσα διέτρεφεν ἁ γλυκερόχροις*
*Φανίον, εἰαρινοῖς ἄνθεσι βοσκόμενον.*
*οὐδέ με μητρὸς ἔτ' εἶχε πόθος· θνήσκω δ' ὑπὸ θοίνης*
*ἀπλήστου, πολλῇ δαιτὶ παχυνόμενος.*
*καί μου πρὸς κλισίαις κρύψεν νέκυν, ὡς ἐν ὀνείροις*
*αἰὲν ὁρᾷν κοίτης γειτονέοντα τάφον.*

## 308. ΑΝΥΤΗΣ.

*Μνᾶμα τόδε φθιμένου μενεδαΐου εἵσατο Δᾶμις*
*ἵππου, ἐπεὶ στέρνον τοῦδε δαφοινὸς Ἄρης*
*τυψε· μέλαν δέ οἱ αἷμα ταλαυρίνου διὰ χρωτὸς*
*ζέσσ', ἐπὶ δ' ἀργαλέαν βῶλον ἔδευσε φόνῳ*

Hosted by Google

## 209. ΑΝΤΙΠΑΤΡΟΥ.

Αὐτοῦ σοὶ παρ' ἅλωνι, δυηπαθὲς ἐργάτα μύρμηξ,
ἠρίον ἐκ βώλου διψάδος ἐκτισάμαν,
ὄφρα σε καὶ φθίμενον Δηοῦς σταχυητρόφος αὖλαξ
θέλγῃ, ἀροτραίῃ κείμενον ἐν θαλάμῃ.

## 210. ΤΟΥ ΑΥΤΟΥ.

Ἄρτι νεηγενέων σέ, χελιδονί, μητέρα τέκνων,
ἄρτι σε θάλπουσαν παῖδας ὑπὸ πτέρυγι,
ἀΐξας ἔντοσθε νεοσσοκόμοιο καλιῆς
νόσφισεν ὠδίνων τετραέλικτος ὄφις,
καὶ σὲ κινυρομέναν ὁπότ' ἀθρόος ἦλθε δαΐζων,
ἤριπεν ἐσχαρίου λαβρὸν ἐπ' ἆσθμα πυρός.
ὧς θάνεν ἠλιτοεργός· ἴδ' ὡς Ἥφαιστος ἀμύντωρ
τὰν ἀπ' Ἐριχθονίου παιδὸς ἔσωσε γονάν.

## 211. ΤΥΜΝΕΩ.

Τῇδε τὸν ἐκ Μελίτης ἀργὸν κύνα φησὶν ὁ πέτρος
ἴσχειν, Εὐμήλου πιστότατον φύλακα.
Ταῦρόν μιν καλέεσκον, ὅτ' ἦν ἔτι· νῦν δὲ τὸ κείνου
φθέγμα σιωπηραὶ νυκτὸς ἔχουσιν ὁδοί.

## 212. ΜΝΑΣΑΛΚΟΥ.

Αἰθυίας, ξένε, τόνδε ποθηνέμου ἔννεπε τύμβον,
τᾶς ποτ' ἐλαφρότατον χέρσος ἔθρεψε γόνυ·
πολλαῖς γὰρ νάεσσιν ἰσόδρομον ἄνυσε μᾶκος,
ὄρνις ὅπως, δολιχὰν ἐκπονέουσα τρίβον.

## 213. ΑΡΧΙΟΥ.

Πρὶν μὲν ἐπὶ χλωροῖς ἐριθηλέος ἔρνεσι πεύκας
ἥμενος, ἢ σκιερᾶς ἀκροκόμου πίτυος,

ἔκρεκες εὐτάρσοιο δι᾽ ἰξύος, ἀχέτα, μολπάν,
τέττιξ, οἰονόμοις, τερπνότερον χέλυος.
νῦν δέ σε, μυρμάκεσσιν ὑπ᾽ εἰνοδίοισι δαμέντα,
Ἄϊδος ἀπροϊδὴς ἀμφεκάλυψε μυχός.
εἰ δ᾽ ἑάλως, συγγνωστόν, ἐπεὶ καὶ κοίρανος ὕμνων
Μαιονίδας γρίφοις ἰχθυβόλων ἔθανεν.

## 214. ΤΟΥ ΑΥΤΟΥ.

Οὐκέτι παφλάζοντα διαΐσσων βυθὸν ἅλμης,
δελφίς, πτοιήσεις εἰναλίων ἀγέλας,
οὐδὲ πολυτρήτοιο μέλος καλάμοιο χορεύων
ὑγρὸν ἀναῤῥίψεις ἅλμα παρὰ σκαφίσιν.
οὐδὲ σύ γ᾽, ἀφρηστά, Νηρηΐδας, ὡς πρὶν ἀείρων
νώτοις, πορθμεύσεις Τηθύος εἰς πέρατα.
ἢ γὰρ ἴσον πρηῶνι Μαλειῆς, ὡς ἐκυκήθη,
κῦμα * πολυψάμμους ὦσεν ἐπὶ ψαμάθους.

## 215. ΑΝΥΤΗΣ.

Οὐκέτι δὴ πλωτοῖσιν ἀγαλλόμενος πελάγεσσιν
αὐχέν᾽ ἀναῤῥίψω βυσσόθεν ὀρνύμενος,
οὐδὲ * περὶ σκαλμοῖσι νεὼς περικάλλεα χείλη
ποιφύσσω, τἀμᾷ τερπόμενος προτομᾷ·
ἀλλά με πορφυρέα πόντου νοτὶς ὦσ᾽ ἐπὶ χερσόν,
κεῖμαι δὲ ῥαδινὰν τάνδε παρ᾽ ἠϊόνα.

## 216. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Κύματα καὶ τρηχύς με κλύδων ἐπὶ χέρσον ἔσυρεν
δελφῖνα, ξείνοις κοινὸν ὅραμα τύχης.
ἀλλ᾽ ἐπὶ μὲν γαίης ἐλέῳ τόπος· οἱ γὰρ ἰδόντες
εὐθύ με πρὸς τύμβους ἔστεφον εὐσεβέες·

Hosted by Google

ἡ δὲ τεκοῦσα θάλασσα διώλεσε. τίς παρὰ πόντῳ
πίστις, ὃς οὐδ' ἰδίης φείσατο συντροφίης;

## 217. ΑΣΚΛΗΠΙΑΔΟΥ.

Ἀρχεάνασσαν ἔχω, τὰν ἐκ Κολοφῶνος ἑταῖραν,
ἇς καὶ ἐπὶ ῥυτίδων ὁ γλυκὺς ἕζετ' Ἔρως.
ἆ νέον ἥβης ἄνθος ἀποδρέψαντες, ἐρασταί,
πρωτοβόλου, δι' ὅσης ἤλθετε πυρκαϊῆς.

## 218. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Τὴν καὶ ἅμα χρυσῷ καὶ ἁλουργίδι, καὶ σὺν Ἔρωτι
θρυπτομένην, ἁπαλῆς Κύπριδος ἁβροτέραν
Λαΐδ' ἔχω, πολιῆτιν ἁλιζώνοιο Κορίνθου,
Πειρήνης λευκῶν φαιδροτέραν λιβάδων,
τὴν θνητὴν Κυθέρειαν, ἐφ' ᾗ μνηστῆρες ἀγαυοὶ
πλείονες, ἢ νύμφης εἵνεκα Τυνδαρίδος,
δρεπτόμενοι χάριτάς τε καὶ ὠνητὴν ἀφροδίτην·
ἧς καὶ ὑπ' εὐώδει τύμβος ὄδωδε κρόκῳ,
ἧς ἔτι κηώεντι μύρῳ τὸ διάβροχον ὀστεῦν,
καὶ λιπαραὶ θυόεν ἆσθμα πνέουσι κόμαι·
ἧς ἔπι καλὸν ἄμυξε κατὰ ῥέθος Ἀφρογένεια,
καὶ γοερὸν λύζων ἐστονάχησεν Ἔρως.
εἰ δ' οὐ πάγκοινον δούλην θέτο κέρδεος εὐνήν,
Ἑλλὰς ἄν, ὡς Ἑλένης, τῆσδ' ὕπερ ἔσχε πόνον.

## 219. ΠΟΜΠΗΪΟΥ ΝΕΩΤΕΡΟΥ.

Ἡ τὸ καλὸν καὶ πᾶσιν ἐράσμιον ἀνθήσασα,
ἡ μούνη Χαρίτων λείρια δρεψαμένη,
οὐκέτι χρυσοχάλινον ὁρᾷ δρόμον ἠελίοιο
Λαΐς, ἐκοιμήθη δ' ὕπνον ὀφειλόμενον,

κώμους, καὶ τὰ νέων ζηλώματα, καὶ τὰ ποθεύντων
κνίσματα, καὶ μύστην λύχνον ἀπειπαμένη.

## 220. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Ερπων εἰς Ἐφύρην τάφυν ἔδρακον ἀμφὶ κέλευθον
Λαΐδος ἀρχαίης, ὥς τὸ χάραγμα λέγει.
δάκρυ δ' ἐπισπείσας, Χαίροις γύναι, ἐκ γὰρ ἀκουῆς
οἰκτείρω σε, ἔφην, ἣν πάρος οὐκ ἰδόμην.
ἆ πόσον ἠϊθέων νόον ἤκαχες· ἀλλ' ἴδε Λήθην
ναίεις, ἀγλαΐην ἐν χθονὶ κατθεμένη.

## 221. ΑΔΕΣΠΟΤΟΝ.

Ἀκμαίη πρὸς ἔρωτα καὶ ἡδέα Κύπριδος ἔργα,
Πατροφίλα, κανθοὺς τοὺς γλυκεροὺς ἔμυσας·
ἐσβέσθη δε τὰ φίλτρα τὰ κωτίλα, χῶ μετ' ἀοιδῆς
ψαλμός, καὶ κυλίκων αἱ λαμυραὶ προπόσεις.
Ἅιδη δυςκίνητε, τί τὴν ἐπέραστον ἑταίρην
ἥρπασας; ἢ καὶ σὴν Κύπρις ἔμηνε φρένα;

## 222. ΦΙΛΟΔΗΜΟΥ.

Ἐνθάδε τῆς Τρυφέρας μαλακὸν ῥέθος, ἐνθάδε κεῖται
τρυγόνιον, σαβακῶν ἄνθεμα σαλμακίδων·
ᾗ καλύβη καὶ δοῦπος ἐνέπρεπεν, ᾗ φιλοπαίγμων
στωμυλίη, Μήτηρ ἣν ἐφίλησε θεῶν·
ἡ μούνη στέρξασα τὰ Κύπριδος ἀμφὶ γυναικῶν
ὄργια, καὶ φίλτρων Λαΐδος ἁψαμένη.
φῦε κατὰ στήλης, ἱερὴ κόνι, τῇ φιλοβάκχῳ
μὴ βάτον, ἀλλ' ἁπαλὰς λευκοΐων κάλυκας.

## 223. ΘΥΙΛΛΟΥ.

Η κροτάλοις ὀρχηστρὶς Ἀρίστιον, ἡ περὶ πεύκαις
καὶ Κυβέλῃ πλοκάμους ῥίψαι ἐπισταμένη,



Hosted by Google

ἡ λωτῷ κρούεντι φορουμένη, ἡ τρὶς ἐφεξῆς
εἰδυῖ' ἀκρήτου χειλοποτεῖν κύλικας,
ἐνθάδ' ὑπὸ πτελέαις ἀναπαύεται, οὐκέτ' ἔρωτι,
οὐκέτι παννυχίδων τερπομένη καμάτοις.
κῶμοι καὶ μανίαι μέγα χαίρετε· κεῖθ' * ἁ μυρίπνους
ἡ τὸ πρὶν στεφάνων ἄνθεσι κρυπτομένη.

## 224. ΑΔΕΣΠΟΤΟΝ.

Εἴκοσι Καλλικράτεια καὶ ἐννέα τέκνα τεκοῦσα,
οὐδ' ἑνὸς, οὔτε μιῆς ἐδρακόμην θάνατον.
ἀλλ' ἑκατὸν καὶ πέντε διηνυσάμην ἐνιαυτούς,
σκήπωνι τρομερὰν οὐκ ἐπιθεῖσα χέρα.

## 225. ΑΔΕΣΠΟΤΟΝ.

Ψήχει καὶ πέτρην ὁ πολὺς χρόνος, οὐδὲ σιδήρου
φείδεται, ἀλλὰ μιῇ πάντ' ὀλέκει δρεπάνῃ·
ὡς καὶ Λαέρταο τόδ' ἠρίον, ὃ σχεδὸν ἀκτᾶς
βαιὸν ἄπο, ψυχρῶν λείβεται ἐξ ὑετῶν.
οὔνομα μὴν ἥρωος ἀεὶ νέον· οὐ γὰρ ἀοιδὰς
ἀμβλύνειν αἰών, κἢν ἐθέλῃ, δύναται.

## 226. ΑΝΑΚΡΕΟΝΤΟΣ ΤΗΙΟΥ.

Ἀβδήρων προθανόντα τὸν αἰνοβίην Ἀγάθωνα
πᾶσ' ἐπὶ πυρκαϊῆς ἤδ' ἐβόησε πόλις.
οὔ τινα γὰρ τοιόνδε νέων ὁ φιλαίματος Ἄρης
ἠνάρισεν στυγερῆς ἐν στροφάλιγγι μάχης.

## 227. ΔΙΟΤΙΜΟΥ.

Οὐδὲ λέων ὡς δεινὸς ἐν οὔρεσιν, ὡς ὁ Μίκωνος
υἱὸς Κριναγόρης ἐν σακέων πατάγῳ.
εἰ δὲ κάλυμμ' ὀλίγον, μὴ μέμφεο· μικρὸς ὁ χῶρος,
ἀλλ' ἄνδρας πολέμου τλήμονας οἶδε φέρειν.

Hosted by Google

## 228. ΑΔΕΣΠΟΤΟΝ.

Αὐτῷ καὶ τεκέεσσι γυναικί τε τύμβον ἔδειμεν
Ἀνδροτίων· οὔπω δ᾽ οὐδενός εἰμι τάφος.
οὕτω καὶ μείναιμι πολὺν χρόνον· εἰ δ᾽ ἄρα καὶ δεῖ,
δεξαίμην ἐν ἐμοὶ τοὺς προτέρους προτέρους.

## 229. ΔΙΟΣΚΟΡΙΔΟΥ.

Τᾷ Πιτάνᾳ Θρασύβουλος ἐπ᾽ ἀσπίδος ἤλυθεν ἄπνους,
ἑπτὰ πρὸς Ἀργείων τραύματα δεξάμενος,
δεικνὺς ἀντία πάντα· τὸν αἱματόεντα δ᾽ ὁ πρέσβυς
παῖδ᾽ ἐπὶ πυρκαϊὴν Τύννιχος εἶπε τιθείς·
Δειλοὶ κλαιέσθωσαν· ἐγὼ δὲ σέ, τέκνον, ἄδακρυς
θάψω, τὸν καὶ ἐμὸν καὶ Λακεδαιμόνιον.

## 230. ΕΡΥΚΙΟΥ ΚΥΖΙΚΗΝΟΥ.

Ανίκ᾽ ἀπὸ πτολέμου τρέσσαντά σε δέξατο μάτηρ,
πάντα τὸν ὁπλιστὰν κόσμον ὀλωλεκότα,
αὐτά τοι φονίαν, Δαμάτριε, αὐτίκα λόγχαν
εἶπε διὰ πλατέων ὠσαμένα λαγόνων·
Κάτθανε, μηδ᾽ ἐχέτω Σπάρτα ψόγον· οὐ γὰρ ἐκεῖνα
ἤμπλακεν, εἰ δειλοὺς τοὐμὸν ἔθρεψε γάλα.

## 231. ΔΑΜΑΓΗΤΟΥ.

Ωδ᾽ ὑπὲρ Ἀμβρακίας ὁ βοαδρόμος ἀσπίδ᾽ ἀείρας
τεθνάμεν ἢ φεύγειν εἵλετ᾽ Ἀρισταγόρας,
υἱὸς ὁ Θευπόμπου· μὴ θαῦμ᾽ ἔχε· Δωρικὸς ἀνὴρ
πατρίδος, οὐχ ἥβας ὀλλυμένας ἀλέγει.

## 232. ΑΝΤΙΠΑΤΡΟΥ.

Λύδιον οὖδας ἔχει τόδ᾽ Ἀμύντορα, παῖδα Φιλίππου,
πολλὰ σιδηρείης χερσὶ θιγόντα μάχης·

οὐδέ μιν ἀλγινόεσσα νόσος δόμον ἄγαγε Νυκτός,
ἀλλ' ὄλετ' ἀμφ' ἑτάρῳ σχὼν κυκλόεσσαν ἴτυν.

## 233. ΑΠΟΛΛΩΝΙΔΟΥ.

Αἴλιος Αὐσονίης στρατίης πρόμος, ὁ χρυσέοισι
στέμμασι σωρεύσας αὐχένας ὁπλοφόρους,
νοῦσον ὅτ' εἰς ὑπάτην ὠλίσθανε, τέρμα τ' ἄφυκτον,
εἶδεν ἀριστείην ἐμφανὲς εἰς ἰδίην.
πῆξε δ' ὑπὸ σπλάγχνοισιν ἑὸν ξίφος, εἶπέ τε θνήσκων·
Αὐτὸς ἑκὼν ἐδάμην, μὴ νόσος εὖχος ἔχῃ.

## 234. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Αἴλιος ὁ θρασύχειρ, Ἄργους πρόμος, ὁ ψελιώσας
αὐχένα χρυσοδέτοις ἐκ πολέμου στεφάνοις,
τηξιμελεῖ νούσῳ κεκολουμένος, ἔδραμε θυμῷ
ἐς προτέρην ἔργων ἄρσενα μαρτυρίην,
ὦσε δ' ὑπὸ σπλάγχνοις πλατὺ φάσγανον, ἓν μόνον εἰπών·
Ἄνδρας Ἄρης κτείνει, δειλοτέρους δὲ νόσος.

## 235. ΔΙΟΔΩΡΟΥ ΤΑΡΣΕΩΣ.

Μὴ μέτρει Μάγνητι τὸ πηλίκον οὔνομα τύμβῳ,
μηδὲ Θεμιστοκλέους ἔργα σε λανθανέτω.
τεκμαίρου Σαλαμῖνι καὶ ὁλκάσι τὸν φιλόπατριν,
γνώσῃ δ' ἐκ τούτων μείζονα Κεκροπίης.

## 236. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΥ.

Οὐχὶ Θεμιστοκλέους Μάγνης τάφος, ἀλλὰ κέχωσμαι
Ἑλλήνων φθονερῆς σῆμα κακοκρισίης.

Hosted by Google

## 237. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ ἢ ΑΛΦΕΙΟΥ ΜΙΤΥΛ.

Οὔρεά μευ καὶ πόντον ὑπὲρ τύμβοιο χάρασσε,
καὶ μέσον ἀμφοτέρων μάρτυρα Λητοΐδην,
ἀενάων τε βαθὺν ποταμῶν ῥόον, οἵ ποτε ῥείθροις
Ξέρξου μυριόναυν οὐχ ὑπέμειναν Ἄρην.
ἔγγραφε καὶ Σαλαμῖνα, Θεμιστοκλέους ἵνα σῆμα
κηρύσσει Μάγνης δῆμος ἀποφθιμένου.

## 238. ΑΔΔΑΙΟΥ.

Ἠμαθίην ὃς πρῶτος ἐς Ἄρεα βῆσα Φίλιππος,
Αἰγαίην κεῖμαι βῶλον ἐφεσσάμενος,
ῥέξας οἷ᾽ οὔπω βασιλεὺς τὸ πρίν· εἰ δέ τις αὐχεῖ
μεῖζον ἐμεῦ, καὶ τοῦθ᾽ αἵματος ἡμετέρου.

## 239. ΠΑΡΜΕΝΙΩΝΟΣ.

Φθίσθαι Ἀλέξανδρον ψευδὴς φάτις, εἴπερ ἀληθὴς
Φοῖβος. ἀνικήτων ἅπτεται οὐδ᾽ Ἀίδης.

## 240. ΑΔΔΑΙΟΥ.

Τύμβον Ἀλεξάνδροιο Μακηδόνος ἤν τις ἀείδῃ,
ἠπείρους κείνου σῆμα λέγ᾽ ἀμφοτέρας.

## 241. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Μυρία τοι, Πτολεμαῖε, πατήρ, ἐπὶ μυρία μάτηρ
τειρομένα θαλεροὺς ᾐκίσατο πλοκάμους·
πολλὰ τιθηνητὴρ ὀλοφύρατο, χερσὶν ἀμήσας
ἀνδρομάχοις δνοφερὰν κρατὸς ὕπερθε κόνιν.
ἁ μεγάλα δ᾽ Αἴγυπτος ἑὰν ὠλόψατο χαίταν,
καὶ πλατὺς Εὐρώπας ἐστονάχησε δόμος

καὶ δ' αὐτὰ διὰ πένθος ἀμαυρωθεῖσα Σελάνα
ἄστρα καὶ οὐρανίας ἀτραπιτοὺς ἔλιπεν.
ὤλεο γὰρ διὰ λοιμὸν ὅλας Φοινήτορα χέρσου,
πρὶν πατέρων νεαρᾷ σκᾶπτρον ἑλεῖν παλάμᾳ·
οὐ δέ σε νὺξ ἐκ νυκτὸς ἐδέξατο· δὴ γὰρ ἄνακτας
τοίους οὐκ Ἀίδας, Ζεὺς δ' ἐς Ὄλυμπον ἄγει.

## 242. ΜΝΑΣΑΛΚΟΥ.

Οἵδε πάτραν, πολύδακρυν ἐπ' αὐχένι δεσμὸν ἔχουσαν,
ῥυόμενοι, δνοφερὰν ἀμφεβάλοντο κόνιν·
ἄρνυνται δ' ἀρετᾶς αἶνον μέγαν. ἀλλά τις ἀστῶν
τούσδ' ἐσιδὼν θνάσκειν τλάτω ὑπὲρ πατρίδος.

## 243. ΔΟΛΛΙΟΥ ΒΑΣΣΟΥ.

Φωκίδι πὰρ πέτρῃ δέρκευ τάφον· εἰμὶ δ' ἐκείνων
τῶν ποτὲ Μηδοφόνων μνᾶμα τριηκοσίων,
οἳ Σπάρτας ἀπὸ γᾶς τηλοῦ πέσον, ἀμβλύναντες
Ἄρεα καὶ Μήδων καὶ Λακεδαιμονίων.
ἣν δ' ἐσορῇς ἐπ' ἐμεῖο * βοόστρυχον εἰκόνα θηρός,
ἔννεπε· Τοῦ ταγοῦ μνᾶμα Λεωνίδεω.

## 244. ΓΑΙΤΟΥΛΙΚΟΥ.

Δισσὰ τριηκοσίων τάδε φάσγανα θούριος Ἄρης
ἔσπασεν Ἀργείων καὶ Λακεδαιμονίων,
ἔνθα μάχην ἔτλημεν ἀνάγγελον, ἄλλος ἐπ' ἄλλῳ
πίπτοντες· Θυρέα δ' ἦσαν ἄεθλα δορός.

## 245. ΤΟΥ ΑΥΤΟΥ.

Ὦ Χρόνε, παντοίων θνητοῖς πανεπίσκοπε δαῖμον,
ἄγγελος ἡμετέρων πᾶσι γενοῦ παθέων·
ὡς ἱερὰν σώζειν πειρώμενοι Ἑλλάδα χώρην,
Βοιωτῶν κλεινοῖς θνήσκομεν ἐν δαπέδοις.

Hosted by Google

## 246. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Ἰσσοῦ ἐπὶ προμολῇσιν ἁλὸς παρὰ κῦμα Κιλίσσης
ἄγριον, αἱ Περσῶν κείμεθα μυριάδες,
ἔργον Ἀλεξάνδροιο Μακηδόνος, οἵ ποτ' ἄνακτι
Δαρείῳ πυμάτην οἶμον ἐφεσπόμεθα.

## 247. ΑΛΚΑΙΟΥ.

Ἄκλαυστοι καὶ ἄθαπτοι, ὁδοιπόρε, τῷδ' ἐπὶ τύμβῳ
Θεσσαλίας τρισσαὶ κείμεθα μυριάδες,
Ἠμαθίῃ μέγα πῆμα· τὸ δὲ θρασὺ κεῖνο Φιλίππου
πνεῦμα θοῶν ἐλάφων ᾤχετ' ἐλαφρότερον.

## 248. ΣΙΜΩΝΙΔΟΥ.

Μυριάσιν ποτὲ τῇδε τριηκοσίαις ἐμάχοντο
ἐκ Πελοποννάσου χιλιάδες τέτορες.

## 249. ΤΟΥ ΑΥΤΟΥ.

Ὦ ξεῖν', ἄγγειλον Λακεδαιμονίοις ὅτι τῇδε
κείμεθα, τοῖς κείνων ῥήμασι πειθόμενοι.

## 250. ΤΟΥ ΑΥΤΟΥ.

Ἀκμᾶς ἑστακυῖαν ἐπὶ ξυροῦ Ἑλλάδι πᾶσαν
ταῖς αὐτῶν ψυχαῖς κείμεθα ῥυσάμενοι.

## 251. ΤΟΥ ΑΥΤΟΥ.

Ἄσβεστον κλέος οἵδε φίλῃ περὶ πατρίδι θέντες
κυάνεον θανάτου ἀμφεβάλοντο νέφος.
οὐδὲ τεθνᾶσι θανόντες, ἐπεί σφ' ἀρετὴ καθύπερθεν
κυδαίνουσ' ἀνάγει δώματος ἐξ Ἀΐδεω.

## 252. ΑΝΤΙΠΑΤΡΟΥ.

Οὐδ' Ἀΐδαν στέρξαντες ἐνύπνιον, οὐχ, ἅπερ ἄλλος,
στάλαν, ἀλλ' ἀρετὰν ἀντ' ἀρετᾶς ἔλαχον.

## 253. ΣΙΜΩΝΙΔΟΥ.

Εἰ τὸ καλῶς θνήσκειν ἀρετῆς μέρος ἐστὶ μέγιστον,
ἡμῖν ἐκ πάντων τοῦτ᾽ ἀπένειμε Τύχη·
Ἑλλάδι γὰρ σπεύδοντες ἐλευθερίαν περιθεῖναι
κείμεθ᾽ ἀγηράντῳ χρώμενοι εὐλογίῃ.

## 254. ΤΟΥ ΑΥΤΟΥ.

Χαίρετ᾽ ἀριστῆες πολέμου μέγα κῦδος ἔχοντες,
κοῦροι Ἀθηναίων, ἔξοχοι ἱπποσύνῃ,
οἵ ποτε καλλιχόρου περὶ πατρίδος ὠλέσαθ᾽ ἥβην
πλείστοις Ἑλλάνων ἀντία μαρνάμενοι.

## 255. ΑΙΣΧΥΛΟΥ.

Κυανέη καὶ τούςδε μενέγχεας ὤλεσεν ἄνδρας
Μοῖρα, πολύῤῥηνον πατρίδα ῥυομένους.
ζωὸν δὲ φθιμένων πέλεται κλέος, οἵ ποτε γυίοις
τλήμονες Ὀσσαίαν ἀμφιέσαντο κόνιν.

## 256. ΠΛΑΤΩΝΟΣ.

Οἵδε ποτ᾽ Αἰγαίοιο βαρύβρομον οἶδμα λιπόντες
Ἐκβατάνων πεδίῳ κείμεθα ἐν μεσάτῳ.
χαῖρε κλυτή ποτε πατρὶς Ἐρέτρια, χαίρετ᾽ Ἀθῆναι
γείτονες Εὐβοίης, χαῖρε θάλασσα φίλη.

## 257. ΑΔΗΛΟΝ.

Παῖδες Ἀθηναίων Περσῶν στρατὸν ἐξολέσαντες
ἤρκεσαν ἀργαλέην πατρίδι δουλοσύναν.

## 258. ΣΙΜΩΝΙΔΟΥ.

Οἵδε παρ᾽ Εὐρυμέδοντά ποτ᾽ ἀγλαὸν ὤλεσαν ἥβην
μαρνάμενοι Μήδων τοξοφόρων προμάχοις

αἰχμηταί, πεζοί τε καὶ ὠκυπόρων ἐπὶ νηῶν·
κάλλιστον δ᾽ ἀρετῆς μνῆμ᾽ ἔλιπον φθίμενοι.

259. ΠΛΑΤΩΝΟΣ.

Εὐβοίης γένος ἐσμὲν Ἐρετρικόν, ἄγχι δὲ Σούσων
κείμεθα· φεῦ, γαίης ὅσσον ἀφ᾽ ἡμετέρης.

260. ΚΑΡΦΥΛΛΙΔΟΥ.

Μὴ μέμψῃ παριὼν τὰ μνήματά μου, παροδῖτα·
οὐδὲν ἔχω θρήνων ἄξιον οὐδὲ θανών.
τέκνων τέκνα λέλοιπα· μιῆς ἀπέλαυσα γυναικὸς
συγγήρου· τρισσοῖς παισὶν ἔδωκα γάμους,
ἐξ ὧν πολλάκι παῖδας ἐμοῖς ἐνεκοίμισα κόλποις,
οὐδενὸς οἰμώξας οὐ νόσον, οὐ θάνατον,
οἵ με κατασπείσαντες ἀπήμονα, τὸν γλυκὺν ὕπνον
κοιμᾶσθαι χώρην πέμψαν ἐπ᾽ εὐσεβέων.

261. ΔΙΟΤΙΜΟΥ.

Τί πλέον εἰς ὠδῖνα πονεῖν; τί δὲ τέκνα τεκέσθαι;
μὴ τέκοι, εἰ μέλλει παιδὸς ὁρᾶν θάνατον.
ἠϊθέῳ γὰρ σῆμα Βιάνορι χεύατο μήτηρ·
ἔπρεπε δ᾽ ἐκ παιδὸς μητέρα τοῦδε τυχεῖν.

262. ΘΕΟΚΡΙΤΟΥ.

Αὐδήσει τὸ γράμμα, τί σᾶμά τε, καὶ τίς ὑπ᾽ αὐτῷ.
Γλαύκης εἰμὶ τάφος τῆς ὀνομαζομένης.

263. ΑΝΑΚΡΕΟΝΤΟΣ ΤΗΙΟΥ.

Καὶ σέ, Κλεηνορίδη, πόθος ὤλεσε πατρίδος αἴης
θαρσήσαντα Νότου λαίλαπι χειμερίῃ.
ὥρη γάρ σε πέδησεν ἀνέγγυος· ὑγρὰ δὲ τὴν σὴν
κύματ᾽ ἀφ᾽ ἱμερτὴν ἔκλυσεν ἡλικίην.

Hosted by Google

264. ΛΕΩΝΙΔΟΥ.

Εἴη ποντοπόρῳ πλόος οὔριος· ἢν δ᾽ ἄρ᾽ ἀήτης,
ὡς ἐμέ, τοῖς Ἀΐδεω προςπελάσῃ λιμέσιν,
μεμφέσθω μὴ λαῖτμα κακόξενον, ἀλλ᾽ ἕο τόλμαν,
ὅςτις ἀφ᾽ ἡμετέρου πείσματ᾽ ἔλυσε τάφου.

265. ΠΛΑΤΩΝΟΣ.

Ναυηγοῦ τάφος εἰμί· ὁ δ᾽ ἀντίον ἐστὶ γεωργοῦ
ὡς ἁλὶ καὶ γαίῃ ξυνὸς ὕπεστ᾽ Ἀΐδης.

266. ΛΕΩΝΙΔΟΥ.

Ναυηγοῦ τάφος εἰμὶ Διοκλέος· οἳ δ᾽ ἀνάγονται,
φεῦ τόλμης, ἀπ᾽ ἐμοῦ πείσματα λυσάμενοι.

267. ΠΟΣΕΙΔΙΠΠΟΥ.

Ναυτίλοι, ἐγγὺς ἁλὸς τί με θάπτετε; πολλὸν ἄνευθε
χῶσαι ναυηγοῦ τλήμονα τύμβον ἔδει.
φρίσσω κύματος ἦχον, ἐμὸν μόρον. ἀλλὰ καὶ οὕτως
χαίρετε, Νικήτην οἵτινες οἰκτίρετε.

268. ΠΛΑΤΩΝΟΣ.

Ναυηγόν με δέδορκας· ὃν οἰκτείρασα θάλασσα
γυμνῶσαι πυμάτου φάρεος ᾐδέσατο,
ἄνθρωπος παλάμῃσιν ἀταρβήτοις μ᾽ ἀπέδυσε,
τόσσον ἄγος τόσσου κέρδεος ἀράμενος.
κεῖνο μὲν ἐνδύσαιτο, καὶ εἰν Ἀΐδαο φέροιτο,
καί μιν ἴδοι Μίνως τοὐμὸν ἔχοντα ῥάκος.

269. ΤΟΥ ΑΥΤΟΥ.

Πλωτῆρες σώζοισθε καὶ εἰν ἁλὶ καὶ κατὰ γαῖαν·
ἴστε δὲ ναυηγοῦ σῆμα παρερχόμενοι.

Hosted by Google

## 270. *ΣΙΜΩΝΙΔΟΥ.*

*Τούςδε ποτ' ἐκ Σπάρτας ἀκροθίνια Φοίβῳ ἄγοντας*
*ἓν πέλαγος, μία νύξ, εἷς τάφος ἐκτέρισεν.*

## 271. *ΚΑΛΛΙΜΑΧΟΥ.*

*Ὤφελε μηδ' ἐγένοντο θοαὶ νέες· οὐ γὰρ ἂν ἡμεῖς*
*παῖδα Διοκλείδου Σώπολιν ἐστένομεν·*
*νῦν δ' ὁ μὲν εἰν ἁλί που φέρεται νέκυς· ἀντὶ δ' ἐκείνου*
*οὔνομα καὶ κενεὸν σᾶμα παρερχόμεθα.*

## 272. *ΤΟΥ ΑΥΤΟΥ.*

*Νάξιος οὐκ ἐπὶ γῆς ἔθανεν Λύκος, ἀλλ' ἐνὶ πόντῳ*
*ναῦν ἅμα καὶ ψυχὴν εἶδεν ἀπολλυμένην,*
*ἔμπορος Αἰγίνηθεν ὅτ' ἔπλεε· χῶ μὲν ἐν ὑγρῇ*
*νεκρός· ἐγὼ δ' ἄλλως οὔνομα τύμβος ἔχων,*
*κηρύσσω πανάληθες ἔπος τόδε· Φεῦγε θαλάσσῃ*
*συμμίσγειν, ἐρίφων, ναυτίλε, δυομένων.*

## 273. *ΛΕΩΝΙΔΟΥ.*

*Εὔρου με τρηχεῖα καὶ αἰπήεσσα καταιγίς,*
*καὶ νύξ, καὶ δνοφερῆς κύματα πανδυσίης*
*ἔβλαψ' Ὠρίωνος· ἀπώλισθον δὲ βίοιο*
*Κάλλαισχρος, Λιβυκοῦ μέσσα θέων πελάγευς·*
*κἀγὼ μὲν πόντῳ δινεύμενος, ἰχθύσι κύρμα,*
*οἴχευμαι· ψεύστης δ' οὗτος ἔπεστι λίθος.*

## 274. *ΟΝΕΣΤΟΥ ΒΥΖΑΝΤΙΟΥ.*

*Οὔνομα κηρύσσω Τιμοκλέος, εἰς ἅλα πικρὴν*
*πάντη σκεπτομένη ποῦ ποτ' ἄρ' ἐστὶ νέκυς.*
*αἴ, αἴ, τὸν δ' ἤδη φάγον ἰχθύες· ἡ δὲ περισσὴ*
*πέτρος ἐγὼ τὸ μάτην γράμμα τορευθὲν ἔχω.*

Hosted by Google

## 275. ΓΑΙΤΟΥΛΙΚΟΥ.

Ἁ Πέλοπος νᾶσος, καὶ δύςπλοος ὤλεσε Κρήτα,
καὶ Μαλέου τυφλαὶ καμπτομένου σπιλάδες
Δάμιδος Ἀστυδάμαντα Κυδώνιον. ἀλλ᾽ ὁ μὲν ἤδη
ἔπλησεν θηρῶν νηδύας εἰναλίων·
τὸν ψεύσταν δέ με τύμβον ἐπὶ χθονὶ θέντο. τί θαῦμι
Κρῆτες ὅπου ψεῦσται, καὶ Διός ἐστι τάφος;

## 276. ΗΓΗΣΙΠΠΟΥ.

Ἐξ ἁλὸς ἡμίβρωτον ἀνηνέγκαντο σαγηνεῖς
ἄνδρα, πολυκλαύτου ναυτιλίης σκύβαλον·
κέρδεα δ᾽ οὐκ ἐδίωξαν ἃ μὴ θέμις· ἀλλὰ σὺν αὐτοῖς
ἰχθύσι τῇδ᾽ ὀλίγῃ θῆκαν ὑπὸ ψαμάθῳ.
ὦ χθών, τὸν ναυηγὸν ἔχεις ὅλον· ἀντὶ δὲ λοιπῆς
σαρκὸς τοὺς σαρκῶν γευσαμένους ἐπέχεις

## 277. ΚΑΛΛΙΜΑΧΟΥ

Τίς ξένος, ὦ ναυηγέ; Λεόντιχος ἐνθάδε νεκρὸν
εὗρεν ἐπ᾽ αἰγιαλούς, χῶσε δὲ τῷδε τάφῳ,
δακρύσας ἐπίκηρον ἑὸν βίον· οὐδὲ γὰρ αὐτὸς
ἥσυχος, αἰθυίῃ δ᾽ ἶσα θαλασσοπορεῖ.

## 278. ΑΡΧΙΟΥ ΒΥΖΑΝΤΙΟΥ.

Οὐδὲ νέκυς, ναυηγὸς ἐπὶ χθόνα Θῆρις ἐλασθεὶς
κύμασιν, ἀγρύπνων λήσομαι ἠϊόνων.
ἦ γὰρ ἁλιῤῥήκτοις ὑπὸ δειράσιν, ἀγχόθι πόντου
δυςμενέος, ξείνου χερσὶν ἔκυρσα τάφου.
αἰεὶ δὲ βρομέοντα, καὶ ἐν νεκύεσσι, θαλάσσης
ὁ τλήμων ἀΐω δοῦπον ἀπεχθόμενον.
μόχθων οὐδ᾽ Ἀίδης με κατεύνασεν, ἡνίκα μοῦνος
οὐδὲ θανὼν λείῃ κέκλιμαι ἡσυχίῃ.

Hosted by Google

## 279. ΑΔΗΛΟΝ.

Παῦσαι νηὸς ἐρετμὰ καὶ ἔμβολα τῷδ᾽ ἐπὶ τύμβῳ
αἰὲν ἐπὶ ψυχρῇ ζωγραφέων σποδιῇ.
ναυηγοῦ τὸ μνῆμα. τί τῆς ἐνὶ κύμασι λώβης
αὖτις ἀναμνῆσαι τὸν κατὰ γῆς ἐθέλεις;

## 280. ΙΣΙΔΩΡΟΥ ΑΙΓΕΑΤΟΥ.

Τὸ χῶμα, τύμβος ἐστίν· ἀλλὰ τὼ βόε
ἐπίσχες οὗτος, τὰν ὗνιν τ᾽ ἀνάσπασον·
κινεῖς σποδὸν γάρ. ἐς δὲ τοιαύταν κόνιν
μὴ σπέρμα πυρῶν, ἀλλὰ χεῦε δάκρυα.

## 281. ΗΡΑΚΛΕΙΔΟΥ.

Ἄπισχ᾽, ἄπισχε χεῖρας, ὦ γεωπόνε,
μηδ᾽ ἀμφίταμνε τὰν ἐν ἠρίῳ κόνιν.
αὐτὰ κέκλαυται βῶλος· ἐκ κεκλαυσμένας δ᾽
οὔτοι κομάτας ἀναθαλήσεται στάχυς.

## 282. ΘΕΟΔΩΡΙΔΟΥ.

Ναυηγοῦ τάφος εἰμί· σὺ δὲ πλέε· καὶ γὰρ ὅθ᾽ ἡμεῖς
ὠλόμεθ᾽, αἱ λοιπαὶ νῆες ἐποντοπόρουν.

## 283 ΛΕΩΝΙΔΟΥ.

Τετρηχυῖα θάλασσα, τί μ᾽ οὐκ οἰζυρὰ παθόντα
τηλόσ᾽ ἀπὸ ψιλῆς ἔπτυσας ἠϊόνος,
ὡς σεῦ μηδ᾽ Ἀΐδαο κακὸν ἐπιειμένος ἀχλὺν
Φιλλεὺς Ἀμφιμένευς ἆσσον ἐγειτόνεον;

## 284. ΑΣΚΛΗΠΙΑΔΟΥ.

Οκτὼ μευ πήχεις ἄπεχε τρηχεῖα θάλασσα,
καὶ κύμαινε βόα θ᾽, ἡλίκα σοι δύναμις·

Hosted by Google

ἢν δὲ τὸν Εὐμάρεω καθέλῃς τάφον, ἄλλο μὲν οὐδὲν
κρήγυον, εὑρήσεις δ' ὀστέα καὶ σποδιήν.

## 285. ΓΛΑΥΚΟΥ ΝΙΚΟΠΟΛΙΤΟΥ.

Οὐ κόνις, οὐδ' ὀλίγον πέτρης βάρος, ἀλλ' Ἐρασίππου
ἣν ἐσορᾷς αὕτη πᾶσα θάλασσα τάφος.
ὤλετο γὰρ σὺν νηΐ· τὰ δ' ὀστέα ποῦ ποτ' ἐκείνου
πύθεται, αἰθυίαις γνωστὰ μόναις ἐνέπειν.

## 286. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝ.

Δύςμορε Νικάνωρ, πολιῷ μεμορημένε πόντῳ,
κεῖσαι δὴ ξείνῃ γυμνὸς ἐπ' ἠϊόνι,
ἢ σύ γε πρὸς πέτρῃσι· τὰ δ' ὄλβια κεῖνα μέλαθρα
φροῦδα * πάσης ἐλπὶς ὄλωλε Τύρου.
οὐδέ τί σε κτεάνων ἐῤῥύσατο· φεῦ, ἐλεεινέ,
ὤλεο μοχθήσας ἰχθύσι καὶ πελάγει.

## 287. ΑΝΤΙΠΑΤΡΟΥ.

Καὶ νέκυν ἀπρήϋντος ἀνιήσει με θάλασσα,
Λῦσιν, ἐρημαίῃ κρυπτὸν ὑπὸ σπιλάδι,
στρηνὲς ἀεὶ φωνεῦσα παρ' οὔατι, καὶ παρὰ κωφὸν
σῆμα. τί μ', ἄνθρωποι, τῇδε παρῳκίσατε,
ἢ πνοιῆς χήρωσε, τὸν οὐκ ἐπὶ φορτίδι νηῒ
ἔμπορον, ἀλλ' ὀλίγης ναυτίλον εἰρεσίης
θηκαμένη ναυηγόν; ὁ δ' ἐκ πόντοιο ματεύων
ζωήν, ἐκ πόντου καὶ μόρον εἱλκυσάμην.

## 288. ΤΟΥ ΑΥΤΟΥ.

Οὐδετέρης ὅλος εἰμὶ θανὼν νέκυς, ἀλλὰ θάλασσα
καὶ χθὼν τὴν ἀπ' ἐμεῦ μοῖραν ἔχουσιν ἴσην.

σάρκα γὰρ ἐν πόντῳ φάγον ἰχθύες· ὀστέα δ' αὖτε
βέβρασται ψυχρῇ τῇδε παρ' ἠϊόνι.

## 289. ΑΝΤΙΠΑΤΡΟΥ ΜΑΚΕΔΟΝΟΣ.

Ἀνθέα τὸν ναυηγὸν ἐπὶ στόμα Πηνειοῖο
νυκτὸς ὑπὲρ βαιῆς νηξάμενον σανίδος,
μούνιος ἐκ θάμνοιο θορὼν λύκος ἄσκοπον ἄνδρα
ἔκτανεν. ὦ γαίης κύματα πιστότερα.

## 290. ΣΤΑΤΥΛΛΙΟΥ ΦΛΑΚΚΟΥ.

Λαίλαπα καὶ μανίην ὀλοῆς προφυγόντα θαλάσσης
ναυηγόν, Λιβυκαῖς κείμενον ἐν ψαμάθοις,
οὐχ ἑκὰς ἠϊόνων, πυμάτῳ βεβαρημένον ὕπνῳ,
γυμνόν, ἀπὸ στυγερῆς ὡς κάμε ναυφθορίης,
ἔκτανε λυγρὸς ἔχις. τί μάτην πρὸς κύματ' ἐμόχθει,
τὴν ἐπὶ γῆς φεύγων μοῖραν ὀφειλομένην;

## 291. ΞΕΝΟΚΡΙΤΟΥ ΡΟΔΙΟΥ.

Χαῖταί σου στάζουσιν ἔθ' ἁλμυρά, δύσμορε κούρη,
ναυηγέ, φθιμένης εἰν ἁλί, Λυσιδίκη.
ἦ γὰρ ὀρινομένου πόντου, δείσασα θαλάσσης
ὕβριν, ὑπὲρ κοίλου δούρατος ἐξέπεσες.
καὶ σὸν μὲν φωνεῖ τάφος οὔνομα, καὶ χθόνα Κύμην·
ὀστέα δὲ ψυχρῷ κλύζετ' ἐπ' αἰγιαλῷ,
πικρὸν Ἀριστομάχῳ γενέτῃ κακόν, ὅς σε κομίζων
ἐς γάμον, οὔτε κόρην ἤγαγεν, οὔτε νέκυν.

## 292. ΘΕΩΝΟΣ ΑΛΕΞΑΝΔΡΕΩΣ.

Ἀλκυόσιν, Ληναῖε, μέλεις τάχα· κωφὰ δὲ μήτηρ
μῦρεθ' ὑπὲρ * κρυεροῖο μυρομένη σε τάφου

### 293. ΙΣΙΔΩΡΟΥ ΑΙΓΕΑΤΟΥ.

Οὐ χεῖμα Νικόφημον, οὐκ ἄστρων δύσις
ἁλὸς Λιβύσσης κύμασιν κατέκλυσεν·
ἀλλ᾽ ἐν γαλήνῃ, φεῦ τάλας, ἀνηνέμῳ
πλόῳ πεδηθείς, ἐφρύγη δίψευς ὕπο.
καὶ τοῦτ᾽ ἀήτεων ἔργον· ἆ πόσον κακὸν
ναύταισιν, ἢ πνέοντες, ἢ μεμυκότες.

### 294. ΤΥΛΛΙΟΥ ΛΑΥΡΕΑ.

Γρυνέα τον πρέσβυν, τὸν ἁλιτρύτου ἀπὸ κύμβης
ζῶντα, τὸν ἀγκίστροις καὶ μογέοντα λίνοις,
ἐκ δεινοῦ τρηχεῖα Νότου κατέδυσε θάλασσα,
ἔβρασε δ᾽ εἰς κροκάλην πρῶϊον ἠϊόνα,
χεῖρας ἀποβρωθέντα. τίς οὐ νόον ἰχθύσιν εἴποι
ἔμμεναι, οἳ μούνας, αἷς ὀλέκοντο, φάγον;

### 295. ΛΕΩΝΙΔΑ ΤΑΡΕΝΤΙΝΟΥ.

Θῆριν τὸν τριγέροντα, τὸν εὐάγρων ἀπὸ κύρτων
ζῶντα, τὸν αἰθυίης πλείονα νηξάμενον,
ἰχθυοληϊστῆρα, σαγηνέα, χηραμοδύτην,
οὐχὶ πολυσκάλμου πλώτορα ναυτιλίης,
ἔμπης οὔτ᾽ Ἀρκτοῦρος ἀπώλεσεν, οὔτε καταιγὶς
ἤλασε τὰς πολλὰς τῶν ἐτέων δεκάδας·
ἀλλ᾽ ἔθαν᾽ ἐν καλύβῃ σχοινίτιδι, λύχνος ὁποῖα,
τῷ μακρῷ σβεσθεὶς ἐν χρόνῳ αὐτόματος.
σῆμα δὲ τοῦτ᾽ οὐ παῖδες ἐφήρμοσαν, οὐδ᾽ ὁμόλεκτρος,
ἀλλὰ συνεργατίνης ἰχθυβόλων θίασος.

### 296. ΣΙΜΩΝΙΔΟΥ ΤΟΥ ΚΗΙΟΥ.

Ἐξ οὗ γ᾽ Εὐρώπαν Ἀσίας δίχα πόντος ἔνειμε,
καὶ πόλεμον λαῶν θοῦρος Ἄρης ἐφέπει,

οὐδαμά πω κάλλιον ἐπιχθονίων γένετ' ἀνδρῶν
 ἔργον ἐν ἠπείρῳ καὶ κατὰ πόντον ἅμα.
οἵδε γὰρ ἐν Κύπρῳ Μήδων πολλοὺς ὀλέσαντες,
 Φοινίκων ἑκατὸν ναῦς ἕλον ἐν πελάγει
ἀνδρῶν πληθούσας· μέγα δ' ἔστεν [εν Ἀσὶς ὑπ' αὐτῶν
 πληγεῖσ' ἀμφοτέραις χερσὶ κράτει πολέμου.

## 297. ΠΟΛΥΣΤΡΑΤΟΥ.

Τὸν μέγαν Ἀκροκόρινθον Ἀχαϊκόν, Ἑλλάδος ἄστρον,
 καὶ διπλῆν Ἰσθμοῦ σύνδρομον ἠϊόνα
Λεύκιος ἐστυφέλιξε· δοριπτοίητα δὲ νεκρῶν
 ὀστέα σωρευθεὶς εἷς ἐπέχει σκόπελος.
τοὺς δὲ δόμον Πριάμοιο πυρὶ πρήσαντας Ἀχαιοὺς
 ἀκλαύστους κτερέων νόσφισαν Αἰνεάδαι.

## 298. ΑΔΕΣΠΟΤΟΝ.

Αἴ, αἴ, τοῦτο κάκιστον, ὅταν κλαίωσι θανόντα
 νυμφίον, ἢ νύμφην· ἡνίκα δ' ἀμφοτέρους —
Εὔπολιν ὡς ἀγαθήν τε Λυκαίνιον, ὧν ὑμέναιον
 ἔσβεσεν ἐν πρώτῃ νυκτὶ πεσὼν θάλαμος —
οὐκ ἄλλῳ τόδε κῆδος ἰσόῤῥοπον, ᾧ σὺ μὲν υἱόν,
 Νῖκι, σὺ δ' ἔκλαυσας, Εὔδικε, θυγατέρα.

## 299. ΝΙΚΟΜΑΧΟΥ.

Ἅδ' ἔσθ' ἅδε Πλάταια· τί τοι λέγω; ἄν ποτε σεισμὸς
 ἐλθὼν ἐξαπίνας κάββαλε πανσυδίῃ·
λείφθη δ' αὖ μοῦνον τυτθὸν γένος· οἱ δὲ θανόντες
 σᾶμ' ἐρατὰν πάτραν κείμεθ' ἐφεσσάμενοι.

## 300. ΣΙΜΩΝΙΔΟΥ.

Ἐνθάδε Πυθώνακτα κασίγνητόν τε κέκευθε
 γαῖ', ἐρατῆς ἥβης πρὶν τέλος ἄκρον ἰδεῖν.

μνῆμα δ᾽ ἀποφθιμένοισι πατὴρ Μεγάριστος ἔθηκε
ἀθάνατον, θνητοῖς παισὶ χαριζόμενος.

301. ΤΟΥ ΑΥΤΟΥ.

Εὐκλέας αἶα κέκευθε, Λεωνίδα, οἳ μετὰ σεῖο
τῇδ᾽ ἔθανον, Σπάρτας εὐρυχόρου βασιλεῦ,
πλείστων δὴ τόξων τε, καὶ ὠκυπόδων σθένος ἵππων
Μηδείων τ᾽ ἀνδρῶν δεξάμενοι πολέμῳ.

302. ΤΟΥ ΑΥΤΟΥ.

Τῶν αὑτοῦ τις ἕκαστος ἀπολλυμένων ἀνιᾶται·
Νικοδίκου δὲ φίλοι καὶ πόλις ἧδε Πόλη.

303. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Τὸν μικρὸν Κλεόδημον ἔτι ζώοντα γάλακτι,
ἴχνος ὑπὲρ τοίχων νηὸς ἐρεισάμενον,
ὁ Θρήϊξ ἐτύμως Βορέης βάλεν εἰς ἁλὸς οἶδμα,
κῦμα δ᾽ ἀπὸ ψυχὴν ἔσβεσε νηπιάχου.
Ἰνοῖ ἀνοικτίρμων τις ἔφυς θεός, ἣ Μελικέρτεω
ἥλικος οὐκ Ἀΐδην πικρὸν ἀπηλάσαο.

304. ΠΙΣΑΝΔΡΟΥ ΡΟΔΙΟΥ.

Ἀνδρὶ μὲν Ἱππαίμων ὄνομ᾽ ἦν· ἵππῳ δὲ Πόδαργος·
καὶ κυνὶ Θήραγρος· καὶ θεράποντι, Βάβης.
Θεσσαλός, ἐκ Κρήτης, Μάγνης γένος, Αἵμονος υἱός·
ὤλετο δ᾽ ἐν προμάχοις ὀξὺν Ἄρη συνάγων.

305. ΑΔΔΑΙΟΥ ΜΙΤΥΛΗΝΑΙΟΥ.

Ὁ γριπεὺς Διότιμος, ὁ κύμασιν ὁλκάδα πιστήν,
κὴν χθονὶ τὴν αὐτὴν οἶκον ἔχων πενίης,
νήγρετον ὑπνώσας, τὸν ἀμείλιχον ἵκτο [πρὸς Ἅιδην]
αὐτερέτης, ἰδίῃ νηῒ κομιζόμενος.
ἣν γὰρ ἔχε ζωῆς παραμύθιον, ἔσχεν ὁ πρέσβυς
καὶ φθίμενος πύματον πυρκαϊῆς ὄφελος.

### 306. *ΑΔΕΣΠΟΤΟΝ.*

*Ἀβρότονον Θρῄϊσσα γυνὴ πέλον· ἀλλὰ τεκέσθαι*
*τὸν μέγαν Ἕλλησιν φημὶ Θεμιστοκλέα.*

### 307. *ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.*

*Οὔνομά μοι.. τί δὲ τοῦτο; πατρὶς δέ μοι.. ἐς τί δὲ τοῦτο;*
*κλεινοῦ δ' εἰμὶ γένους. εἰ γὰρ ἀφαυροτάτου,*
*ζήσας ἐνδόξως ἔλιπον βίον. εἰ γὰρ ἀδόξως;*
*κεῖμαι δ' ἐνθάδε νῦν... τίς τίνι ταῦτα λέγεις*

### 308. *ΛΟΥΚΙΑΝΟΥ.*

*Παῖδά με πενταέτηρον, ἀκηδέα θυμὸν ἔχοντα,*
*νηλειὴς Ἀΐδης ἥρπασε, Καλλίμαχον.*
*ἀλλά με μὴ κλαίοις· καὶ γὰρ βιότοιο μετέσχον*
*παύρου, καὶ παύρων τῶν βιότοιο κακῶν.*

### 309. *ΑΔΕΣΠΟΤΟΝ.*

*Ἑξηκοντούτης Διονύσιος ἐνθάδε κεῖμαι,*
*Ταρσεύς, μὴ γήμας· αἴθε δὲ μηδ' ὁ πατήρ.*

### 310. *ΑΔΕΣΠΟΤΟΝ.*

*Θάψεν ὅ με κτείνας κρυπτὸν φόνον· εἰ δέ με τύμβῳ*
*δωρεῖται, τοίης ἀντιτύχοι χάριτος.*

### 311. *ΑΔΕΣΠΟΤΟΝ.*

*Ὁ τύμβος οὗτος ἔνδον οὐκ ἔχει νεκρόν·*
*ὁ νεκρὸς οὗτος ἐκτὸς οὐκ ἔχει τάφον.*
*ἀλλ' αὐτὸς αὑτοῦ νεκρός ἐστι καὶ τάφος.*

### 312. *ΑΣΙΝΙΟΥ ΚΟΥΑΔΡΑΤΟΥ.*

*Οἱ πρὸς Ῥωμαίους δεινὸν στήσαντες Ἄρηα*
*κεῖνται, ἀριστείης σύμβολα δεικνύμενοι·*

οὐ γάρ τις μετὰ νῶτα τυπεὶς θάνεν, ἀλλ' ἅμα πάντες
ὤλοντο κρυφίῳ καὶ δολερῷ θανάτῳ.

## 313. ΑΔΗΛΟΝ.

εἰς Τίμωνα τὸν μισάνθρωπον.

Ἐνθάδ' ἀποῤῥήξας ψυχὴν βαρυδαίμονα κεῖμαι·
οὔνομα δ' οὐ πεύσοισθε, κακοὶ δὲ κακῶς ἀπόλοισθε.

## 314. ΠΤΟΛΕΜΑΙΟΥ.

εἰς τὸν αὐτόν.

Μὴ πόθεν εἰμὶ μάθῃς μηδ' οὔνομα· πλὴν ὅτι θνήσκειν
τοὺς παρ' ἐμὴν στήλην ἐρχομένους ἐθέλω.

## 315. ΖΗΝΟΔΟΤΟΥ οἱ δὲ ΡΙΑΝΟΥ.

Τρηχείην κατ' ἐμεῦ, ψαφαρὴ κόνι, ῥάμνον ἑλίσσοις
πάντοθεν, ἢ σκολιῆς ἄγρια κῶλα βάτου,
ὡς ἐπ' ἐμοὶ μηδ' ὄρνις ἐν εἴαρι κοῦφον ἐρείδοι
ἴχνος, ἐρημάζω δ' ἥσυχα κεκλιμένος.
ἦ γὰρ ὁ μισάνθρωπος, ὁ μηδ' ἀστοῖσι φιληθείς,
Τίμων, οὐδ' Ἀΐδῃ γνήσιός εἰμι νέκυς.

## 316. ΛΕΩΝΙΔΑ ἢ ΑΝΤΙΠΑΤΡΟΥ.

Τὴν ἐπ' ἐμεῦ στήλην παραμείβεο, μήτε με χαίρειν
εἰπών, μήθ' ὅστις, μὴ τίνος ἐξετάσας·
ἢ μὴ τὴν ἀνύεις τελέσαις ὁδόν· ἢ δὲ παρέλθῃς
σιγῇ, μηδ' οὕτως ἣν ἀνύεις τελέσαις.

## 317. ΚΑΛΛΙΜΑΧΟΥ.

Τίμων (οὐ γὰρ ἔτ' ἐσσί) τί τοι, σκότος ἢ φάος, ἐχθρόν
τὸ σκότος· ὑμέων γὰρ πλείονες εἰν Ἀΐδῃ.

## 318. ΤΟΥ ΑΥΤΟΥ.

Μὴ χαίρειν εἴπῃς με, κακὸν κέαρ, ἀλλὰ πάρελθε·
ἶσον ἐμοὶ χαίρειν ἐστὶ τὸ μὴ σὲ γελᾷν.

319. ΑΔΗΛΟΝ.

Καὶ νέκυς ὢν Τίμων ἄγριος· σὺ δέ γ', ὦ πυλαωρὲ
Πλούτωνος, τάρβει, Κέρβερε, μή σε δάκῃ.

320. ΗΓΗΣΙΠΠΟΥ.

Ὀξεῖαι πάντῃ περὶ τὸν τάφον εἰσὶν ἄκανθαι
καὶ σκόλοπες· βλάψεις τοὺς πόδας, ἢν προσίῃς·
Τίμων μισάνθρωπος ἐνοικέω· ἀλλὰ πάρελθε,
οἰμώζειν εἴπας πολλά, πάρελθε μόνον.

321. ΑΔΕΣΠΟΤΟΝ.

Γαῖα φίλη τὸν πρέσβυν Ἀμύντιχον ἔνθεο κόλποις,
πολλῶν μνησαμένη τῶν ἐπὶ σοὶ καμάτων.
αἰ γὰρ ἀεὶ πρέμνον σοι ἀνεστήριξεν ἐλαίης,
πολλάκι καὶ Βρομίου κλήμασιν ἠγλάϊσεν,
καὶ Δηοῦς ἔπλησε, καὶ ὕδατος αὔλακας ἕλκων
θῆκε μὲν εὐλάχανον, θῆκε δ' ὀπωροφόρον.
ἀνθ' ὧν σὺ πρηεῖα κατὰ κροτάφου πολιοῖο
κεῖσο, καὶ εἰαρινὰς ἀνθοκόμει βοτάνας.

322. ΑΔΕΣΠΟΤΟΝ.

Κνωσίου Ἰδομενῆος ὅρα τάφον· αὐτὰρ ἐγώ τοι
πλησίον ἵδρυμαι Μηριόνης ὁ Μόλου.

323. ΑΔΕΣΠΟΤΟΝ.

Εἷς δύ' ἀδελφειοὺς ἐπέχει τάφος· ἓν γὰρ ἐπέσχον
ἦμαρ καὶ γενεῆς οἱ δύο καὶ θανάτου.

324. ΑΔΕΣΠΟΤΟΝ.

Ἆδ' ἐγὼ ἁ περίβωτος ὑπὸ πλακὶ τῇδε τέθαμμαι,
μούνῳ ἐνὶ ζώναν ἀνέρι λυσαμενα.

Hosted by Google

### 325. ΑΔΕΣΠΟΤΟΝ.

εἰς τὸν Σαρδανάπαλλον·

Τόσσ' ἔχω, ὅσσ' ἔφαγόν τε καὶ ἔπιον, καὶ * μετ' ἐρώτων
τέρπν' ἐδάην· τὰ δὲ πολλὰ καὶ ὄλβια πάντα λέλειπται.

### 326. ΚΡΑΤΗΤΟΣ ΘΗΒΑΙΟΥ.

Ταῦτ' ἔχω ὅσσ' ἔμαθον, καὶ ἐφρόντισα, καὶ μετὰ Μουσῶν
σέμν' ἐδάην· τὰ δὲ πολλὰ καὶ ὄλβια τῦφος ἔμαρψεν.

### 327. ΑΔΕΣΠΟΤΟΝ.

Μή σύγε θνητὸς ἐὼν, ὡς ἀθάνατός τι λογίζου.
οὐδὲν γὰρ βιότου πιστὸν ἐφημερίοις,
εἰ καὶ τόνδε Κάσανδρον ἔχει σορὸς ἥδε θανόντα,
ἄνθρωπον φύσεως ἄξιον ἀθανάτου.

### 328. ΑΔΕΣΠΟΤΟΝ.

Τίς λίθος οὐκ ἐδάκρυσε, σέθεν φθιμένοιο, Κάσανδρε;
τίς πέτρος, ὃς τῆς σῆς λήσεται ἀγλαΐης;
ἀλλά σε νηλειὴς καὶ βάσκανος ὤλεσε δαίμων,
ἡλικίην ὀλίγην εἴκοσιν ἓξ ἐτέων,
ὃς χήρην ἄλοχον θῆκεν, μογεροὺς τε τοκῆας
γηραλέους, στυγερῷ πένθεϊ τειρομένους.

### 329. ΑΛΛΟ.

Μυρτάδα, τὴν ἱεραῖς με Διωνύσου παρὰ ληνοῖς
ἄφθονον ἀκρήτου σπασσαμένην κύλικα,
οὐ κεύθει φθιμένην βαιὴ κόνις· ἀλλὰ πίθος μοι,
σύμβολον εὐφροσύνης, τερπνὸς ἔπεστι τάφος.

### 330. ΑΛΛΟ.

Τὴν σορὸν, ἣν ἐσορᾷς, ζῶν Μάξιμος αὐτὸς ἑαυτῷ
θῆκεν, ὅπως ναίῃ πανσάμενος βιότου·

Hosted by Google

σὺν τε, γυναικὶ Καληποδίῃ τεῦξεν τόδε σῆμα
ὧς, ἵνα τὴν στοργὴν κὴν φθιμένοισιν ἔχοι.

331. ΑΛΛΟ.

Τύμβον ἐμοὶ τοῦτον γαμέτης δωρήσατο ΦΡΟΥΡΗΣ,
ἄξιον ἡμετέρης εὐσεβίης στέφανον.
λείπω δ' ἐν θαλάμοις γαμέτου χορὸν εὐκλέα παίδων,
πιστὸν ἐμοῦ βιότου μάρτυρα σωφροσύνης.
μουνόγαμος θνήσκω, δέκα δ' ἐν ζωοῖσιν ἔτι ζῶ,
νυμφικὸν εὐτεκνίης καρπὸν ἀειραμένη.

332. ΑΛΛΟ.

Αἰνόμορον Βάκχη με κατέκτανε θηροτρόφον πρίν·
οὐ κρίσει ἐν σταδίοις, γυμνασίαις δὲ κλυταῖς.

333. ΑΛΛΟ.

Μηδὲ καταχθονίοις μετὰ δαίμοσιν ἄμμορυς εἴης
ἡμετέρων δώρων, ὦ σ' ἐπέοικε τυχεῖν,
Αμμία, οὕνεκα Νικόμαχος, θυγάτηρ τε Διώνη
τύμβον καὶ στήλην σὴν ἐθέμεσθα χάριν.

334. ΑΛΛΟ.

Νηλεὲς ὦ δαῖμον, τί δέ μοι καὶ φέγγος ἔδειξας
εἰς ὀλίγων ἐτέων μέτρα μινυνθάδια;
ἦ ἵνα λυπήσῃς δι' ἐμὴν βιότοιο τελευτὴν
μητέρα δειλαίην δάκρυσι καὶ στοναχαῖς,
ἥ μ' ἔτεχ', ἥ μ' ἀτίτηλε, καὶ ἣ πολὺ μείζονα πατρὸς
φροντίδα παιδείης ἤνυσεν ἡμετέρης;
ὃς μὲν γὰρ τυτθόν τε καὶ ὀρφανὸν ἐν μεγάροισι
κάλλιπεν· ἡ δ' ἐπ' ἐμοὶ πάντας ἔτλη καμάτους.
ἦ μὲν ἐμοὶ φίλον ἦεν ἐφ' ἁγνῶν ἡγεμονήων
ἐμπρεπέμεν μύθοις ἀμφὶ δικασπολίης.

ἀλλά μοι οὐ γενύων ὑπεδέξατο κούριμον ἄνθος
ἡλικίης ἐρατῆς, οὐ γάμον, οὐ δαΐδας·
οὐχ ὑμέναιον ἄεισε περικλυτόν, οὐ τέκος εἶδε,
δύσποτμος, ἐκ γενεῆς λείψανον ἡμετέρης,
τῆς πολυθρηνήτου· λυπεῖ δέ με, καὶ τεθνεῶτα,
μητρὸς Πωλίττης πένθος ἀεξόμενον,
Φρόντωνος γοεραῖς ἐπὶ φροντίσιν, ἣ τέκε παῖδα
ὠκύμορον, κενεὸν χάρμα φίλης πατρίδος.

## 335. ΑΛΛΟ.

Πώλιττα, τλῆθι πένθος, εὔνασον δάκρυ.
πολλαὶ θανόντας εἶδον υἱεῖς μητέρες.
ἀλλ' οὐ τοιούτους τὸν τρόπον καὶ τὸν βίον,
οὐ μητέρων σέβοντας ἡδίστην θέαν.
τί περισσὰ θρηνεῖς; τί δὲ μάτην ὀδύρεαι;
εἰς κοινὸν Ἅιδην πάντες ἥξουσι βροτοί.

## 336. ΑΛΛΟ.

Γήραϊ καὶ πενίῃ τετρυμένος, οὐδ' ὀρέγοντος
οὐδενὸς ἀνθρώπου δυστυχίης ἔρανον,
τοῖς τρομεροῖς κώλοισιν ὑπήλυθον ἠρέμα τύμβον,
εὑρὼν οἰζυροῦ τέρμα μόλις βιότου.
ἠλλάχθη δ' ἐπ' ἐμοὶ νεκύων νόμος· οὐ γὰρ ἔθνησκον
πρῶτον, ἔπειτ' ἐτάφην· ἀλλὰ ταφεὶς ἔθανον.

## 337. ΑΔΗΛΟΝ.

Μή με θοῶς κύδιστε παρέρχεο τύμβον ὁδῖτα,
σοῖσιν ἀκοιμήτοις ποσσὶ κελευθοπόρε·
δερκόμενος δ' ἐρέεινε, τίς ἢ πόθεν; Ἁρμονίαν γὰρ
γνώσεαι, ἧς γενεὴ λάμπεται ἐν Μεγάροις·

Hosted by Google

παντα γάρ, ὅσσα βροτοῖσι φέρει κλέος, ἦεν ἰδέσθαι,
εὐγενίην ἐρατήν, ἤθεα, σωφροσύνην·
τοίης τύμβον ἄθρησον· ἐς οὐρανίας γὰρ ἀταρποὺς
ψυχὴ παπταίνει σῶμ᾽ ἀποδυσαμένη.

## 338. ΑΔΗΛΟΝ.

Ἅδε τοι, Ἀρχίου υἱὲ Περίκλεες, ἁ λιθίνα ᾽γὼ
ἕστακα στάλα, μνᾶμα κυναγεσίας·
πάντα δέ τοι περὶ σᾶμα τετεύχαται, ἵπποι, ἄκοντες,
αἱ κύνες, αἱ στάλικες, δίκτυ᾽ ὑπὲρ σταλίκων,
αἴ, αἴ, λάϊνα πάντα· περιτροχάουσι δὲ θῆρες·
αὐτὸς δ᾽ εἰκοσέτας νήγρετον ὕπνον ἔχεις.

## 339. ΑΔΗΛΟΝ.

Οὐδὲν ἁμαρτήσας γενόμην παρὰ τῶν με τεκόντων·
γεννηθεὶς δ᾽ ὁ τάλας ἔρχομαι εἰς Ἀΐδην.
ὢ μίξις γονέων θανατηφόρος. ὤ μοι ἀνάγκης,
ἥ με προσπελάσει τῷ στυγερῷ θανάτῳ.
οὐδὲν ἐὼν γενόμην· πάλιν ἔσσομαι, ὡς πάρος, οὐδέν.
οὐδὲν καὶ μηδὲν τῶν μερόπων τὸ γένος·
λοιπόν μοι τὸ κύπελλον ἀποστίλβωσον, ἑταῖρε,
καὶ λύπης * ὀδύνην τὸν Βρόμιον πάρεχε.

## 340. ΑΔΗΛΟΝ.

Νικόπολιν Μαράθωνις ἐθήκατο τῇδ᾽ ἐνὶ πέτρῃ,
ὀμβρήσας δακρύοις λάρνακα μαρμαρέην.
ἀλλ᾽ οὐδὲν πλέον ἔσχε· τί γὰρ πλέον ἀνέρι κήδευς
μούνῳ ὑπὲρ γαίης, οἰχομένης ἀλόχου;

## 341. ΑΔΗΛΟΝ.

Πρόκλος ἐγὼ Λύκιος γενόμην γένος, ὃν Συριανὸς
ἐνθάδ᾽ ἀμοιβὸν ἑῆς θρέψε διδασκαλίης.

Hosted by Google

ξυνὸς δ' ἀμφοτέρων ὅδε σώματα δέξατο τύμβος,
αἴθε δὲ καὶ ψυχὰς χῶρος ἕεις λελάχοι.

## 342. ΑΔΗΛΟΝ.

Κάτθανον, ἀλλὰ μένω σε· μενεῖς δέ τε καὶ σύ τιν' ἄλλον.
πάντας ὁμῶς θνητοὺς εἷς Ἀΐδης δέχεται.

## 343. ΑΔΗΛΟΝ.

Πατέριον * λιγύθυμον, ἐπήρατον, ἔλλαχε τύμβος,
Μιλτιάδου φίλον υἷα, καὶ Ἀττικίης βαρυτλήτου,
Κεκροπίης βλάστημα, κλυτὸν γένος Αἰακιδάων,
ἔμπλεον Αὐσονίων θεσμῶν, σοφίης τ' ἀναπάσης,
τῶν πισύρων ἀρετῶν ἀμαρύγματα πάντα φέροντα,
ἠΐθεον χαρίεντα, τὸν ἥρπασε μόρσιμος αἶσα,
οἷά τε ἀγλαόμορφον ἀπὸ χθονὸς ἔρνος ἀήτης,
εἰκοσικαιτέτρατον βιότου λυκάβαντα περῶντα.
λεῖψε φίλοις δὲ τοκεῦσι γόον καὶ πένθος ἄλαστον.

## 344. ΣΙΜΩΝΙΔΟΥ.

Θηρῶν μὲν κάρτιστος ἐγώ, θνατῶν δ', ὃν ἐγὼ νῦν
φρουρῶ, τῷδε τάφῳ λαΐνῳ ἐμβεβαώς.
ἀλλ' εἰ μὴ θυμόν γε Λέων ἐμόν, οὔνομά τ' εἶχεν,
οὐκ ἂν ἐγὼ τύμβῳ τῷδ' ἐπέθηκα πόδας.

## 345. ΑΙΣΧΡΙΩΝΟΣ οἱ δὲ ΣΙΜΩΝΙΔΟΥ

Ἐγὼ Φιλαινὶς ἡ 'πίβωτος ἀνθρώποις
ἐνταῦθα γήρᾳ τῷ μακρῷ κεκοίμημαι.
μή μ', ὦ μάταιε ναῦτα, τὴν ἄκραν κάμπτων,
χλεύην τε ποιεῦ, καὶ γέλωτα καὶ λάσθην.
οὐ γάρ, μὰ τὸν Ζῆν', οὐδὲ τοὺς κάτω κούρους,
οὐκ ἦν ἐς ἄνδρας μάχλος οὐδὲ δημώδης·

Πολυκράτης δὲ τὴν γονὴν Ἀθηναῖος,
λόγων τι παιπάλημα, καὶ κακὴ γλῶσσα,
ἔγραψεν οἷ᾽ ἔγραψεν· ἐγὼ δ᾽ οὐκ οἶδα.

### 346. ΑΔΕΣΠΟΤΟΝ.

Τοῦτό τοι ἡμετέρης μνημήϊον, ἐσθλὲ Σαβῖνε,
ἡ λίθος ἡ μικρή, τῆς μεγάλης φιλίης.
αἰεὶ ζητήσω σε· σὺ δ᾽, εἰ θέμις, ἐν φθιμένοισι
τοῦ Λήθης ἐπ᾽ ἐμοὶ μή τι πίῃς ὕδατος.

### 347. ΣΙΜΩΝΙΔΟΥ ΤΟΥ ΚΗΪΟΥ.

Οὗτος Ἀδειμάντου κείνου τάφος, οὗ διὰ βουλὰς
Ἑλλὰς ἐλευθερίης ἀμφέθετο στέφανον.

### 348. ΤΟΥ ΑΥΤΟΥ.

Πολλὰ πιὼν καὶ πολλὰ φαγών, καὶ πολλὰ κάκ᾽ εἰπὼν
ἀνθρώπους, κεῖμαι Τιμοκρέων Ῥόδιος.

### 349. ΑΔΗΛΟΝ.

Βαιὰ φαγὼν, καὶ βαιὰ πιών, καὶ πολλὰ νοσήσας,
ὀψὲ μέν, ἀλλ᾽ ἔθανον. ἔῤῥετε πάντες ὁμοῦ.

### 350. ΑΔΗΛΟΝ.

Ναυτίλε, μὴ πεύθου τίνος ἐνθάδε τύμβος ὅδ᾽ εἰμί,
ἀλλ᾽ αὐτὸς πόντου τύγχανε χρηστοτέρου.

### 351. ΔΙΟΣΚΟΡΙΔΟΥ.

Οὐ μὰ τόδε φθιμένων σέβας ὅρκιον, αἵδε Λυκάμβεω,
αἳ λάχομεν στυγερὴν κληδόνα, θυγατέρες,
οὔτε τι παρθενίην ᾐσχύναμεν, οὔτε τοκῆας,
οὔτε Πάρον, νήσων αἰπυτάτην ἱερῶν.
ἀλλὰ καθ᾽ ἡμετέρης γενεῆς ῥιγηλὸν ὄνειδος
φήμην τε στυγερὴν ἔφλυσεν Ἀρχίλοχος.

Ἀρχίλοχον, μὰ θεοὺς καὶ δαίμονας, οὔτ' ἐν ἀγυιαῖς
εἴδομεν, οὔθ' Ἥρης ἐν μεγάλῳ τεμένει.
εἰ δ' ἦμεν μάχλοι καὶ ἀτάσθαλοι, οὐκ ἂν ἐκεῖνος
ἤθελεν ἐξ ἡμέων γνήσια τέκνα τεκεῖν.

## 352. ΑΔΕΣΠΟΤΟΝ. οἱ δὲ ΜΕΛΕΑΓΡΟΥ.

Δεξιτερὴν Ἀΐδαο θεοῦ χέρα, καὶ τὰ κελαινὰ
ὄμνυμεν ἀῤῥήτου δέμνια Περσεφόνης,
παρθένοι ὡς ἔτυμον καὶ ὑπὸ χθονί· πολλὰ δ' ὁ πικρὸς
αἰσχρὰ καθ' ἡμετέρης ἔβλυσε παρθενίης
Ἀρχίλοχος· ἐπέων δὲ καλὴν φάτιν οὐκ ἐπὶ καλὰ
ἔργα, γυναικεῖον δ' ἔτραπεν ἐς πόλεμον.
Πιερίδες, τί κόρησιν ἐφ' ὑβριστῆρας ἰάμβους
ἐτράπετ', οὐχ ὁσίῳ φωτὶ χαριζόμεναι;

## 353. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Τῆς πολιῆς τόδε σῆμα Μαρωνίδος, ἧς ἐπὶ τύμβῳ
γλυπτὴν ἐκ πέτρης αὐτὸς ὁρῇς κύλικα.
ἡ δὲ φιλάκρητος καὶ ἀεὶ λάλος οὐκ ἐπὶ τέκνοις
μύρεται, οὐ τεκέων ἀκτεάνῳ πατέρι·
ἓν δὲ τόδ' αἰάζει καὶ ὑπ' ἠρίον, ὅττι τὸ Βάκχου
ἄρμενον οὐ Βάκχου πλῆρες ἔπεστι τάφῳ.

## 354. ΓΑΙΤΟΥΛΙΚΟΥ.

Παίδων Μηδείης οὗτος τάφος, οὓς ὁ πυρίπνους
ζῆλος τῶν Γλαύκης θῦμ' ἐποίησε γάμων,
οἷς αἰεὶ πέμπει μειλίγματα Σισυφὶς αἶα,
μητρὸς ἀμείλικτον θυμὸν ἱλασκομένα.

## 355. ΔΑΜΑΓΗΤΟΥ.

Τὴν ἱλαρὰν φωνὴν καὶ τίμιον, ὦ παριόντες,
τῷ χρηστῷ χαίρειν εἴπατε Πραξιτέλει

ἦν δ' ὡ 'νὴρ Μουσῶν ἱκανὴ μερίς, ἡδὲ παρ' οἴνῳ
κρήγυος· ὦ χαίροις Ἄνδριε Πραξιτελες

## 356. ΑΔΗΛΟΝ.

εἴς τινα ὑπὸ λῃστοῦ ἀναιρεθέντα καὶ ὑπ' αὐτοῦ θαπτόμενον.

Ζωὴν συλήσας, δωρῇ τάφον· ἀλλά με κρύπτεις,
οὐ θάπτεις. τοίου καὐτὸς ὄναιο τάφου.

## 357. ΑΛΛΟ.

εἰς τὸν αὐτόν.

Κἂν με κατακρύπτῃς, ὡς οὐδενὸς ἀνδρὸς ὁρῶντος,
ὄμμα Δίκης καθορᾷ πάντα τὰ γινόμενα.

## 358. ΑΛΛΟ.

Ἔκτανες, εἶτά μ' ἔθαπτες, ἀτάσθαλε, χερσὶν ἐκείναις,
αἷς με διεχρήσω· μή σε λάθοι Νέμεσις.

## 359. ΑΛΛΟ.

Εἴ με νέκυν κατέθαπτες ἰδὼν οἰκτίρμονι θυμῷ,
εἶχες ἂν ἐκ μακάρων μισθὸν ἐπ' εὐσεβίῃ·
νῦν δ' ὅτε δὴ τύμβῳ με κατακρύπτεις ὁ φονεύσας,
τῶν αὐτῶν μετέχοις ὧνπερ ἐμοὶ παρέχεις.

## 360. ΑΛΛΟ.

Χερσὶ κατακτείνας τάφον ἔκτισας, οὐχ ἵνα θάψῃς,
ἀλλ' ἵνα με κρύψῃς· ταὐτὸ δὲ καὶ σὺ πάθοις.

## 361. ΑΔΗΛΟΝ.

Υἱῖ πατὴρ τόδε σῆμα· τὸ δ' ἔμπαλιν ἦν τὸ δίκαιον·
ἦν δὲ δικαιοσύνης ὁ φθόνος ὀξύτερος.

## 362. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Ἐνθάδε τὴν ἱερὴν κεφαλὴν σορὸς ἥδε κέκευθεν
Ἀετίου χρηστοῦ, ῥήτορος εὐπρεπέος.

Hosted by Google

ἦλυθε δ' εἰς Ἀΐδαο δέμας, ψυχὴ δ' ἐς Ὄλυμπον.

* * * * * *

## 363. ΑΔΕΣΠΟΤΟΝ.

* Τετμενάνης ὅδε τύμβος ἐϋγλύπτοιο μετάλλου
ἥρωος μεγάλου, νέκυος κατὰ σῶμα καλύπτει
Ζηνοδότου· ψυχὴ δὲ κατ' οὐρανόν, ἧχί περ Ὀρφεύς,
ἧχι Πλάτων, ἱερὸν θεοδέγμονα θῶκον ἐφεῦρεν.
ἱππεὺς μὲν γὰρ ἔην βασιλήϊος ἄλκιμος οὗτος,
κύδιμος, ἀρτιεπής, θεοείκελος· ἐν δ' ἄρα μύθοις
Σωκράτεος μίμημα παρ' Αὐσονίοισιν ἐτύχθη·
παισὶ δὲ καλλείψας πατρώϊον αἴσιον ὄλβον,
ὠμογέρων τέθνηκε, λιπὼν ἀπερείσιον ἄλγος
ἐγγενέεσσι φίλοισι, καὶ ἄστεϊ, καὶ πολιήταις.

## 364. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Ἀκρίδι καὶ τέττιγι Μυρὼ τόδε θήκατο σῆμα,
λιτὴν ἀμφοτέροις χερσὶ βαλοῦσα κόνιν·
ἵμερα δακρύσασα πυρῆς ἔπι· τὸν γὰρ ἀοιδὸν
Ἅδης, τὴν δ' ἑτέρην ἥρπασε Περσεφόνη.

## 365. ΖΩΝΑ ΣΑΡΔΙΑΝΟΥ. τοῦ καὶ ΔΙΟΔΩΡΟΥ.

Ἀΐδη, ὃς ταύτης καλαμώδεος ὕδατι λίμνης
κωπεύεις, νεκύων βᾶριν * ἑλὼν ὀδύνης,
τῷ Κινύρου τὴν χεῖρα βατηρίδος ἐκβαίνοντι
κλίμακος ἐκτείνας, δέξο κελαινὲ Χάρον·
πλάζει γὰρ τὸν παῖδα τὰ σάνδαλα· γυμνὰ δὲ θεῖναι
ἴχνια δειμαίνει ψάμμον ἐπ' ἠονίην.

## 366. ΑΝΤΙΣΤΙΟΥ.

Ἀώου προχοαὶ σέ, Μενέστρατε, καὶ σέ, Μένανδρε,
λαίλαψ Καρπαθίη, καὶ σὲ πόρος Σικελὸς

ὤλεσεν ἐν πόντῳ, Διονύσιε· φεῦ πόσον ἄλγος
Ἑλλάδι· τοὺς πάντων κρέσσονας ἀθλοφόρων.

367. *ΑΝΤΙΠΑΤΡΟΥ.*

Αὔσονος Ἡγερίου μ᾽ ἐλέει νέκυν, ᾧ μετιόντι
νύμφην ὀφθαλμοὺς ἀμβλὺ κατέσχε νέφος·
ὄμμασι δὲ πνοιὴν συναπέσβεσε μοῦνον ἰδόντος
κούρην. φεῦ κείνης, Ἥλιε, θευμορίης.
ἔῤῥοι δὴ κεῖνο φθονερὸν σέλας, εἴθ᾽ Ὑμέναιος
ἧψέ μιν οὐκ ἐθέλων, εἶτ᾽ Ἀΐδης ἐθέλων.

368. *ΕΡΥΚΙΟΥ.*

Ἀτθὶς ἐγώ· κείνη γὰρ ἐμὴ πόλις. ἐκ δέ μ᾽ Ἀθηνῶν
λοιγὸς Ἄρης Ἰταλῶν πρίν ποτ᾽ ἐληΐσατο,
καὶ θέτο Ῥωμαίων πολιήτιδα· νῦν δὲ θανούσης
ὀστέα νησαίη Κύζικος ἠμφίασεν.
χαίροις ἡ θρέψασα, καὶ ἡ μετέπειτα λαχοῦσα
χθών με, καὶ ἡ κόλποις ὕστατα δεξαμένη.

369. *ΑΝΤΙΠΑΤΡΟΥ.*

Ἀντιπάτρου ῥητῆρος ἐγὼ τάφος· ἡλίκα δ᾽ ἔπνει
ἔργα, Πανελλήνων πεύθεο μαρτυρίης.
κεῖται δ᾽ ἀμφήριστος, Ἀθηνόθεν, εἴτ᾽ ἀπὸ Νείλου
ἦν γένος. ἠπείρων δ᾽ ἄξιος ἀμφοτέρων.
ἄστεα καὶ δ᾽ ἄλλως ἑνὸς αἵματος, ὡς λόγος ἕλλην·
κλήρῳ δ᾽ ἡ μὲν ἀεὶ Παλλάδος, ἡ δὲ Διός.

370. *ΔΙΟΔΩΡΟΥ.*

Βάκχῳ καὶ Μούσῃσι μεμηλότα, τὸν Διοπείθους,
Κεκροπίδην ὑπ᾽ ἐμοί, ξεῖνε, Μένανδρον ἔχω
ἐν πυρὶ τὴν ὀλίγην ὃς ἔχει κόνιν· εἰ δὲ Μένανδρον
δίζηαι, δήεις ἐν Διός, ἢ μακάρων.

### 371. ΚΡΙΝΑΓΟΡΟΥ.

Γῆ μευ καὶ μήτηρ κικλήσκετο· γῆ με καλύπτει
καὶ νέκυν. οὐ κείνης ἥδε χερειοτέρη.
ἔσσομαι ἐν ταύτῃ δηρὸν χρόνον· ἐκ δέ με μητρὸς
ἥρπασεν ἠελίου καῦμα τὸ θερμότατον.
κεῖμαι δ' ἐν ξείνῃ, ὑπὸ χερμάδι, μακρὰ γοηθείς,
Ἴναχος, εὐπειθὴς Κριναγόρου θεράπων.

### 372. ΛΟΛΛΙΟΥ ΒΑΣΣΟΥ.

Γαῖα Ταραντίνων ἔχε μείλιχος ἀνέρος ἐσθλοῦ
τόνδε νέκυν. ψεῦσται δαίμονες ἀμερίων.
ἦ γὰρ ἰὼν Θήβηθεν Ἀτύμνιος οὐκέτι πρόσσω
ἤνυσεν, ἀλλὰ τεὴν βῶλον ὑπῳκίσατο.
ὀρφανικῷ δ' ἐπὶ παιδὶ λιπὼν βίον, εὖνιν ἔθηκεν
ὀφθαλμῶν. κείνῳ μὴ βαρὺς ἔσσο τάφος.

### 373. ΘΑΛΛΟΥ ΜΙΛΗΣΙΟΥ

Δισσὰ φάη, Μίλητε, τεῆς βλαστήματα γαίης,
Ἰταλὶς ὠκυμόρους ἀμφεκάλυψε κόνις·
πένθεα δὲ στεφάνων ἠλλάξαο· λείψανα δ', αἴ, αἴ,
ἔδρακες ἐν βαιῇ κάλπιδι κευθόμενα.
φεῦ, πάτρα τριτάλαινα· πόθεν πάλιν, ἢ πότε τοίους
ἀστέρας αὐχήσεις Ἑλλάδι λαμπομένους;

### 374. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Δύσμορος ἐκρύφθην πόντῳ νέκυς, ὃν παρὰ κῦμα
ἔκλαυσεν μήτηρ μυρία Λυσιδίκη,
ψεύστην αὐγάζουσα κενὸν τάφον· ἀλλά με δαίμων
ἄπνουν αἰθυίαις θῆκεν ὁμοῤῥόθιον
Πυθαγόρην· ἔσχεν δὲ κατ' Αἰγαίην ἅλα πότμον,
πρυμνούχους στέλλων ἐκ Βορέαο κάλους.

Hosted by Google

ἀλλ᾽ οὐδ᾽ ὧς ναύτην ἔλιπον δρόμον, ἀλλ᾽ ἀπὸ νηὸς
ἄλλην πὰρ φθιμένοις εἰςενέβην ἄκατον.

375. ΑΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ.

Δώματά μοι σεισθέντα κατήριπεν· ἀλλ᾽ ἐμὸς ἀπτὼς
ἦν θάλαμος, τοίχων ὀρθὰ τιναξαμένων,
οἷς ὑποφωλεύουσαν ὑπήλυθον αἱ κακόμοιροι
ὠδῖνες· σεισμῷ δ᾽ ἄλλον ἔμιξα φόβον.
μαῖα δέ μοι λοχίων αὐτὴ φύσις. ἀμφότεροι δὲ
κοινὸν ὑπὲρ γαίης εἴδομεν ἠέλιον.

376. ΚΡΙΝΑΓΟΡΟΥ.

Δείλαιοι, τί κεναῖσιν ἀλώμεθα θαρσήσαντες
ἐλπίσιν, ἀτηροῦ ληθόμενοι θανάτου;
ἦν ὅδε καὶ μύθοισι καὶ ἤθεσι πάντα Σέλευκος
ἄρτιος, ἀλλ᾽ ἥβης βαιὸν ἐπαυρόμενος.
ὑστατίοις ἐν Ἴβηρσι, τόσον δίχα τηλόθι Λέσβου,
κεῖται ἀμετρήτων ξεῖνος ἐπ᾽ αἰγιαλῶν.

377. ΕΡΥΚΙΟΥ.

Εἰ καὶ ὑπὸ χθονὶ κεῖται, ὅμως ἔτι καὶ κατὰ πίσσαν
τοῦ μιαρογλώσσου χεύατε Παρθενίου,
οὕνεκα Πιερίδεσσιν ἐνήμεσε μυρία κεῖνα
φλέγματα, καὶ μυσαρῶν ἀπλυσίην ἐλέγων.
ἤλασε καὶ μανίης ἐπὶ δὴ τόσον, ὥστ᾽ ἀγορεῦσαι
πηλὸν Ὀδυσσείην, καὶ βάτον Ἰλιάδα.
τοιγὰρ ὑπὸ ζοφίαισιν Ἐρινύσιν ἀμμέσον ἦπται
Κωκυτοῦ, κλοιῷ λαιμὸν ἀπαγχόμενος.

378 ΑΠΟΛΛΩΝΙΔΟΥ.

Ἔφθανεν Ἡλιόδωρος, ἐφέσπετο δ᾽, οὐδ᾽ ὅσον ὥρη
ὕστερον, ἀνδρὶ φίλῳ Διογένεια δάμαρ.

ἄμφω δ᾽ ὡς * ὑμέναιον ἐπὶ πλακὶ τυμβεύονται,
    ξυνὸν ἀγαλλόμενοι καὶ τάφον ὡς θάλαμον.

### 379. ΑΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ.

Εἰπέ, Δικαιάρχεια, τί σοι τόσον εἰς ἅλα χῶμα
    βέβληται, μέσσου γευόμενον πελάγους;
Κυκλώπων τάδε χεῖρες ἐνιδρύσαντο θαλάσσῃ
    τείχεα· μέχρι πόσου, Γαῖα, βιαζόμεθα;
κόσμου νηΐτην δέχομαι στόλον· εἴςιδε Ῥώμην
    ἐγγύθεν, εἰ ταύτης μέτρον ἔχω λιμένα.

### 380. ΚΡΙΝΑΓΟΡΟΥ.

Εἰ καὶ τὸ σῆμα λυγδίνης ἀπὸ πλακός,
καὶ ξεστὸν ὀρθῇ λαοτέκτονος στάθμῃ,
οὐκ ἀνδρὸς ἐσθλοῦ. μὴ λίθῳ τεκμαίρεο,
ὦ λῷστε, τὸν θανόντα. κωφὸν ἡ λίθος,
τῇ καὶ ζοφώδης ἀμφιέννυται νέκυς.
κεῖται δὲ τῇδε τὠλιγηπελὲς ῥάκος
Εὐνικίδαο, σήπεται δ᾽ ὑπὸ σποδῷ.

### 381. ΕΤΡΟΥΣΚΟΥ ΑΠΟ ΜΕΣΣΗΝΗΣ.

Η μία καὶ βιότοιο καὶ Ἄϊδος ἤγαγεν εἴσω
    ναῦς Ἱεροκλείδην, κοινὰ λαχοῦσα τέλη.
ἔτρεφεν ἰχθυβολεῦντα, κατέφλεγε τεθνειῶτα,
    σύμπλοος εἰς ἄγρην, σύμπλοος εἰς Ἀΐδην.
ὄλβιος ὁ γριπεὺς ἰδίῃ καὶ πόντον ἐπέπλει
    νηΐ, καὶ ἐξ ἰδίης ἔδραμεν εἰς Ἀΐδην.

### 382. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Ηπείρῳ μ᾽ ἀποδοῦσα νέκυν, τρηχεῖα θάλασσα,
    σύρεις καὶ τέφρης λοιπὸν ἔτι σκύβαλον.

Hosted by Google

κὴν Ἀΐδῃ ναυηγὸς ἐγὼ μόνος, οὐδ' ἐπὶ χέρσου
εἰρήνην ἔξω φρικαλέης σπιλάδος.
ἢ τύμβευε κενοῦσα καθ' ὕδατος, ἢ παραδοῦσα
γαίῃ, τὸν κείνης μηκέτι κλέπτε νέκυν.

## 383. ΤΟΥ ΑΥΤΟΥ.

Ἠιόνιον τόδε σῶμα βροτοῦ παντλήμονος ἄθρει
σπαρτὸν, ἁλιῤῥαγέων ἐκχύμενον σκοπέλων·
τῇ μὲν ἐρημοκόμης κεῖται καὶ χῆρος ὀδόντων
κόρση· τῇ δὲ χερῶν πενταφυεῖς ὄνυχες,
πλευρά τε σαρκολιπῆ, ταρσοὶ δ' ἑτέρωθεν ἄμοιροι
νευρῶν, καὶ κώλων ἔκλυτος ἁρμονίη.
οὗτος ὁ πουλυμερὴς εἷς ἦν ποτε. φεῦ μακαριστοί,
ὅσσοι ἀπ' ὠδίνων οὐκ ἴδον ἠέλιον.

## 384. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Ἡ Βρόμιον στέρξασα πολὺ πλέον ἢ τροφὸς Ἰνώ,
ἡ λάλος ἀμπελίνη γρῆϋς Ἀριστομάχη,
ἡνίκα τὴν ἱερὴν ὑπέδυ χθόνα, πᾶν τ' ἐμαράνθη
πνεῦμα πάρος κυλίκων πλεῖστον ἐπαυρομένης.
εἶπε τάδ', ὦ Μινοῖ, πῆλαι, φέρε, κάλπιν ἐλαφρήν,
οἴσω κυάνεον τοὐξ Ἀχέροντος ὕδωρ·
καὐτὴ παρθένιον γὰρ ἀπώλεσα. τοῦτο δ' ἔλεξε
ψευδές, ἵν' αὐγάζῃ κὴν φθιμένοισι πίθον.

## 385. ΦΙΛΙΠΠΟΥ.

Ἡρὼς Πρωτεσίλαε, σὺ γὰρ πρώτην ἐμύησας
Ἴλιον Ἑλλαδικοῦ θυμὸν ἰδεῖν δόρατος,
καὶ περὶ σοῖς τύμβοις ὅσα δένδρεα μακρὰ τέθηλε,
πάντα τὸν εἰς Τροίην ἐκκεκύηκε χόλον.

Ἴλιον ἣν ἐςίδῃ γὰρ ἀπ' ἀκρεμόνων κορυφαίων,
καρφοῦται, πετάλων κόσμον ἀναινόμενα.
θυμὸν ἐπὶ Τροίῃ πόσον ἔζεσας, ἡνίκα τὴν σὴν
σώζει καὶ στελέχη μῆνιν ἐπ' ἀντιπάλους;

## 386. ΒΑΣΣΟΥ ΛΟΛΛΙΟΥ.

Ηδ' ἐγὼ ἡ τοσάκις Νιόβη λίθος, ὁσσάκι μήτηρ·
δύςμορος, ἧ μαστῶν . . . . . ἔπηξα γάλα.
Ἀΐδεω πολὺς ὄλβος ἐμῆς ὠδῖνος ἀριθμοὺς
ἧ τέκον. ὦ μεγάλης λείψανα πυρκαϊῆς.

## 387. ΒΙΑΝΟΡΟΣ.

Θειονόης ἔκλαιον ἐμῆς μόρον, ἀλλ' ἐπὶ παιδὸς
ἐλπίσι κουφοτέρας ἔστενον εἰς ὀδύνας.
νῦν δέ με καὶ παιδὸς φθονερὴν * ἀπενόσφισε Μοῖρα·
φεῦ, βρέφος ἐψεύσθην καὶ σὲ τὸ λειπόμενον.
Περσεφόνη, τόδε πατρὸς ἐπὶ θρήνοισιν ἄκουσον,
θὲς βρέφος ἐς κόλπους μητρὸς ἀποιχομένης.

## 388. ΤΟΥ ΑΥΤΟΥ.

Ἰχθύσι καὶ ποταμῷ Κλειτώνυμον ἐχθρὸς ὅμιλος
ὦσεν, ὅτ' εἰς ἄκρην ἦλθε τυραννοφόνος.
ἀλλὰ Δίκα μιν ἔθαψεν· ἀποσπασθεῖσα γὰρ ὄχθη
πᾶν δέμας ἐς κορυφὴν ἐκ ποδὸς ἐκτέρισεν·
κεῖται δ' οὐχ ὑδάτεσσι διάβροχος· αἰδομένα δὲ
Γᾶ κεύθει τὸν ἑᾶς ὅρμον ἐλευθερίας.

## 389. ΑΠΟΛΛΩΝΙΔΟΥ.

Καὶ τίς, ὃς οὐκ ἔτλη κακὸν ἔσχατον, υἱέα κλαύσας;
ἀλλ' ὁ Ποσειδίππου πάντας ἔθαψε δόμος

τέσσαρας, οὓς Ἀίδαο συνήριθμον ἥρπασεν ἦμαρ,
    τὴν πολλὴν παίδων ἐλπίδα κειράμενον.
πατρὸς δ' ὄμματα λυγρὰ κατομβρηθέντα γόοισιν
    ὤλετο· κοινή που νὺξ μία πάντας ἔχει.

## 390. ΑΝΤΙΠΑΤΡΟΥ.

Κυλλήνην ὄρος Ἀρκάδων ἀκούεις·
αὕτη σῆμ' ἐπίκειτ' Ἀπολλοδώρῳ.
Πίσηθέν μιν ἰόντα νυκτὸς ὥρῃ
ἔκτεινεν Διόθεν πεσὼν κεραυνός.
τηλοῦ δ' Αἰγανέης τε καὶ Βεροίης,
νικηθεὶς Διὸς ὁ δρομεὺς καθεύδει.

## 391. ΒΑΣΣΟΥ ΛΟΛΛΙΟΥ.

Κλειδοῦχοι νεκύων, πάσας Ἀίδαο κελεύθους
    φράγνυτε, καὶ στομίοις κλεῖθρα δέχοισθε, πύλαι.
αὐτὸς ἐγὼν Ἀίδας ἐνέπω. Γερμανικὸς ἄστρων,
    οὐκ ἐμός· οὐ χωρεῖ νῆα τόσην Ἀχέρων.

## 392. ΗΡΑΚΛΕΙΔΟΥ ΣΙΝΩΠΕΩΣ.

Λαίλαψ καὶ πολὺ κῦμα, καὶ ἀντολαὶ Ἀρκτούροιο,
    καὶ σκότος, Αἰγαίου τ' οἶδμα κακὸν πελάγευς,
ταῦθ' ἅμα πάνθ' ἐκύκησεν ἐμὴν νέα· τριχθὰ δὲ κλασθεὶς
    ἱστὸς ὁμοῦ φόρτῳ κἀμὲ κάλυψε βυθῷ.
ναυηγὸν κλαίοιτε παρ' αἰγιαλοῖσι γονῆες,
    Τλησιμένῃ κωφὴν στησάμενοι λίθακα.

## 393. ΔΙΟΚΛΕΟΥΣ ΚΑΡΥΣΤΙΟΥ.

Μή με κόνι κρύψητε· τί γὰρ πάλι; μηδ' ἐπὶ ταύτας
    ἠόνας οὐκ ὀνοτὴν γαῖαν ἐμοὶ τίθετε.

μαίνετ᾽ ἴδ᾽ εἴς με θάλασσα, καὶ ἐν χέρσοισί με δειλὸν
εὑρίσκει ῥαχίαις, οἶδέ με κεὶν᾽ Ἀΐδῃ.
χέρσον ἐπεκβαίνειν εἴ μευ χάριν ὕδατι θυμός,
* πάρκειμαι σταθερῇ μιμνέμεν ὡς ἄταφος.

## 394. ΦΙΛΙΠΠΟΥ ΚΑΡΥΣΤΙΟΥ.

Μυλεργάτας ἀνήρ με κὴν ζωᾶς χρόνοις
βαρυβρομήταν εἶχε δινητὸν πέτρον,
πυρηφάτον Δάματρος εὐκάρπου λάτριν,
καὶ κατθανὼν στάλωσε τῷδ᾽ ἐπ᾽ ἠρίῳ,
σύνθημα τέχνας· ὡς ἔχει μ᾽ ἀεὶ βαρύν,
καὶ ζῶν ἐν ἔργοις, καὶ θανὼν ἐπ᾽ ὀστέοις.

## 395. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Οὗτος ὁ Καλλαίσχρου κενεὸς τάφος, ὃν βαθὺ χεῦμα
ἔσφηλεν Λιβυκῶν ἐνδρομέοντα πόρων,
συρμὸς ὅτ᾽ Ὠρίωνος ἀνεστρώφησε θαλάσσης
βένθος, ὑπὸ στυγερῆς οἴδματα πανδυσίης.
καὶ τὸν μὲν δαίσαντο κυκώμενον εἰν ἁλὶ θῆρες,
κωφὸν δὲ στήλη γράμμα λέλογχε τόδε.

## 396. ΒΙΑΝΟΡΟΣ ΒΙΘΗΝΟΥ.

Οἰδίποδος παίδων Θήβη τάφος· ἀλλ᾽ ὁ πανώλης
τύμβος ἔτι ζώντων αἰσθάνεται πολέμων.
κείνους οὔτ᾽ Ἀΐδης ἐδαμάσσατο, κὴν Ἀχέροντι
μάρνανται· κείνων χὠ τάφος ἀντίπαλος,
καὶ πυρὶ πῦρ ἤλεγξαν ἐναντίον. ὦ ἐλεεινοὶ
παῖδες, ἀκοιμήτων ἁψάμενοι δοράτων.

## 397. ΕΡΥΚΙΟΥ ΘΕΤΤΑΛΟΥ.

Οὐχ ὅδε δειλαῖος Σατύρου τάφος, οὐδ᾽ ὑπὸ ταύτῃ,
ὡς λόγος, εὔνηται πυρκαϊῇ Σάτυρος.

ἀλλ' εἴ που τινὰ πόντον ἀκούετε, πικρὸν ἐκεῖνον,
τὸν πέλας αἰγονόμου κλυζόμενον Μυκάλας,
κείνῳ δινήεντι καὶ ἀτρυγέτῳ ἔτι κεῖμαι
ὕδατι, μαινομένῳ μεμφόμενος Βορέῃ.

## 398. ΑΝΤΙΠΑΤΡΟΥ.

Οὐκ οἶδ' εἰ Διόνυσον ὀνόσσομαι, ἢ Διὸς ὄμβρον
μέμψομ'· ὀλισθηροὶ δ' εἰς πόδας ἀμφότεροι.
ἀγρόθε γάρ κατιόντα Πολύξενον ἔκ ποτε δαιτὸς
τύμβος ἔχει γλίσχρων ἐξεριπόντα λόφων·
κεῖται δ' Αἰολίδος Σμύρνης ἑκάς. ἀλλά τις ὄρφνης
δειμαίνοι μεθύων ἀτραπὸν ὑετίην.

## 399. ΑΝΤΙΦΙΛΟΥ.

Τηλοτάτω χεύασθαι ἔδει τάφον Οἰδιπόδαο
παισὶν ἀπ' ἀλλήλων, οἷς πέρας οὐδ' Ἀΐδας·
ἀλλὰ καὶ εἰς Ἀχέροντος ἕνα πλόον ἠρνήσαντο,
χὠ στυγερὸς ζώει κὴν φθιμένοισιν Ἄρης.
ἤνιδε πυρκαϊῆς ἄνισον φλόγα· δαιομένα γὰρ
ἐξ ἑνὸς εἰς δισσὰν δῆριν ἀποστρέφεται.

## 400. ΣΕΡΑΠΙΩΝΟΣ ΑΛΕΞΑΝΔΡΕΩΣ.

Τοῦτ' ὀστεῦν φωτὸς πολυεργέος. ἦ ῥά τις ἦσθα
ἔμπορος, ἢ τυφλοῦ κύματος ἰχθυβόλος.
ἄγγειλον θνητοῖσιν ὅτι σπεύδοντες ἐς ἄλλας
ἐλπίδας εἰς τοίην ἐλπίδα λυόμεθα.

## 401. ΚΡΙΝΑΓΟΡΟΥ.

Τήνδ' ὑπὸ δύσβωλον θλίβει χθόνα φωτὸς ἀλιτροῦ
ὀστέα μισητῆς τύμβος ὑπὲρ κεφαλῆς,

στέρνα τ' ἐποκριόεντα, καὶ οὐκ εὔοδμον ὀδόντων
πρίονα, καὶ κώλων δούλιον οἰοπέδην,
ἄτριχα καὶ κόρσην, Εὐνιδίκου ἡμιπύρωτα
λείψαν', ἔτι χλωρῆς ἔμπλεα τηκεδόνος.
χθὼν ὦ δυςνύμφευτε, κακοσκήνευς ἐπὶ τέφρης
ἀνδρὸς μὴ κούφη κέκλισο, μηδ' ὀλίγη.

## 402. ΑΝΤΙΠΑΤΡΟΥ

Χειμερίου νιφετοῖο περὶ θριγκοῖσι τακέντος
δῶμα πεσὸν τὴν γραῦν ἔκτανε Λυσιδίκην·
σῆμα δέ οἱ κωμῆται ὁμώλακες οὐκ ἀπ' ὀρυκτῆς
γαίης, ἀλλ' αὐτὸν πυργὸν ἔθεντο τάφον.

## 403. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Ψύλλος, ὃ τὰς ποθινὰς ἐπιμισθίδας αἰὲν ἑταίρας
πέμπων ἐς τὰ νέων ἡδέα συμπόσια,
οὗτος ὁ θηρεύων ἁπαλόφρονας, ἐνθάδε κεῖται,
αἰσχρὸν ἀπ' ἀνθρώπων μισθὸν ἐνεγκάμενος.
ἀλλὰ λίθους ἐπὶ τύμβον, ὁδοιπόρε, μήτε σὺ βάλλε,
μήτ' ἄλλον πείσῃς· σῆμα λέλογχε νέκυς.
φεῖσαι δ' οὐχ ὅτι κέρδος ἐπήνεσεν, ἀλλ' ὅτι κοινὰς
θρέψας, μοιχεύειν οὐκ ἐδίδαξε νέους.

## 404. ΖΩΝΑ ΣΑΡΔΙΑΝΟΥ.

Ψυχράν σευ κεφαλᾶς ἐπαμήσομαι αἰγιαλῖτιν
θῖνα κατὰ κρυεροῦ χευάμενος νέκυος·
οὐ γάρ σευ μήτηρ ἐπιτύμβια κωκύουσα
εἶδεν ἁλίξαντον σὸν μόρον εἰνάλιον·
ἀλλά σ' ἐρημαῖοί τε καὶ ἄξεινοι πλαταμῶνες
δέξαντ' Αἰγαίης γείτονες ἠϊόνος·

ὥστ᾽ ἔχε μὲν ψαμάθου μόριον βραχύ, πουλὺ δὲ δάκρυ,
ξεῖν᾽, ἐπεὶ εἰς ὀλοὴν ἔδραμες ἐμπορίην.

## 405. ΦΙΛΙΠΠΟΥ.

Ὦ ξεῖνε, φεῦγε τὸν χαλαζεπῆ τάφον,
τὸν φρικτὸν, Ἱππώνακτος, οὗ τε χἀ τέφρα
ἰαμβιάζει Βουπάλειον ἐς στύγος,
μή πως ἐγείρῃς σφῆκα τὸν κοιμώμενον,
ὃς οὐδ᾽ ἐν Ἅιδῃ νῦν κεκοίμικεν χόλον,
σκάζουσι μέτροις ὀρθὰ τοξεύσας ἔπη.

## 406. ΘΕΟΔΩΡΙΔΑ.

Εὐφορίων, ὁ περισσὸν ἐπιστάμενός τι ποῆσαι.
Πειραϊκοῖς κεῖται τοῖςδε παρὰ σκέλεσιν.
ἀλλὰ σὺ τῷ μύστῃ ῥοιὴν ἢ μῆλον ἄπαρξαι,
ἢ μύρτον· καὶ γὰρ ζωὸς ἐὼν ἐφίλει.

## 407. ΔΙΟΣΚΟΡΙΔΟΥ.

Ἥδιστον φιλέουσι νέοις προςανάκλιμ᾽ ἐρώτων,
Σαπφώ, σὺν Μούσαις ἤ ῥά σε Πιερίη
ἢ Ἑλικὼν εὔκισσος, ἴσα πνείουσαν ἐκείναις,
κοσμεῖ, τὴν Ἐρέσῳ Μοῦσαν ἐν Αἰολίδι·
ἢ καὶ Ὑμὴν Ὑμέναιος ἔχων εὐφεγγέα πεύκην
σὺν σοὶ νυμφιδίων ἵσταθ᾽ ὑπὲρ θαλάμων·
ἢ Κινύρεω νέον ἔρνος ὀδυρομένη, Ἀφροδίτη
σύνθρηνος, μακάρων ἱερὸν ἄλσος ὁρῇς·
πάντη, πότνια, χαῖρε· θεοῖς ἴσας γὰρ ἀοιδάς,
ἀθανάτας ἔχομεν νῦν ἔτι θυγατέρας.

## 408. ΛΕΩΝΙΔΑ.

Ἀτρέμα τὸν τύμβον παραμείβετε, μὴ τὸν ἐν ὕπνῳ
πικρὸν ἐγείρητε σφῆκ᾽ ἀναπαυόμενον.

ἄρτι γὰρ Ἱππώνακτος ὁ καὶ τοκέων καταβαΰξας
ἄρτι κεκοίμηται θυμὸς ἐν ἡσυχίῃ.
ἀλλὰ προμηθήσασθε· τὰ γὰρ πεπυρωμένα κείνου
ῥήματα πημαίνειν οἶδε καὶ εἰν Ἀίδῃ.

409. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚ.

Ὄβριμον ἀκαμάτου στίχον αἴνεσον Ἀντιμάχοιο,
ἄξιον ἀρχαίων ὀφρύος ἡμιθέων,
Πιερίδων χαλκευτὸν ἐπ' ἄκμοσιν, εἰ τορὸν οὖας
ἔλλαχες, εἰ ζαλοῖς τὰν ἀγέλαστον ὄπα,
εἰ τὰν ἄτριπτον καὶ ἀνέμβατον ἀτραπὸν ἄλλοις
μαίεαι. εἰ δ' ὕμνων σκᾶπτρον Ὅμηρος ἔχει,
καὶ Ζεὺς τοι κρέσσων Ἐνοσίχθονος· ἀλλ' Ἐνοσίχθων
τοῦ μὲν ἔφυ μείων, ἀθανάτων δ' ὕπατος.
καὶ ναετὴρ Κολοφῶνος ὑπέζευκται μὲν Ὁμήρῳ,
ἁγεῖται δ' ἄλλων πλάθεος ὑμνοπόλων.

410. ΔΙΟΣΚΟΡΙΔΟΥ.

Θέσπις ὅδε, τραγικὴν ὃς ἀνέπλασε πρῶτος ἀοιδὴν
κωμήταις νεαρὰς καινοτομῶν χάριτας,
Βάκχος ὅτε * τριθὺν κατάγοι χορὸν, ᾧ τράγος * ἄθλων,
χὠττικὸς ἦν σύκων ἄῤῥιχος ἆθλον ἔτι.
οἱ δὲ μεταπλάσσουσι νέοι τάδε. μυρίος αἰὼν
πολλὰ προσευρήσει χἄτερα· τἄλλα δ' ἐμά.

411. ΤΟΥ ΑΥΤΟΥ.

Θέσπιδος εὕρεμα τοῦτο· τὰ δ' ἀγροιῶτιν ἀν' ὕλαν
παίγνια, καὶ κώμους τούσδ' ἔτι μειοτέρους
Αἰσχύλος ἐξύψωσεν, ὁ μὴ σμιλευτὰ χαράξας
γράμματα, χειμάῤῥῳ δ' οἷα καταρδόμενα,

καὶ τὰ κατὰ σκηνὴν μετεκαίνισεν. ὢ στόμα πάντων
δεξιόν, ἀρχαίων ἦσθά τις ἡμιθέων.

## 412. ΑΛΚΑΙΟΥ ΜΕΣΣΗΝΙΟΥ.

Πᾶσά τοι οἰχομένῳ, Πυλάδη, κωκύεται Ἑλλάς,
ἄπλεκτον χαίταν ἐν χροῒ κειραμένα·
αὐτὸς δ' ἀτμήτοιο κόμας ἀπεθήκατο δάφνας
Φοῖβος, ἑὸν τιμῶν ἦ θέμις ὑμνοπόλον·
Μοῦσαι δ' ἐκλαύσαντο· ῥόον δ' ἔστησεν ἀκούων
Ἀσωπὸς γοερῶν ἦχον ἀπὸ στομάτων·
ἔλληξεν δὲ μέλαθρα Διωνύσοιο χορείης,
εὖτε σιδηρείην οἶμον ἔβης Ἀίδεω.

## 413. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝ.

Οὐχὶ βαθυστόλμων Ἱππαρχία ἔργα γυναικῶν,
τῶν δὲ Κυνῶν ἑλόμαν ῥωμαλέον βίοτον·
οὐδέ μοι ἀμπεχόναι περονήτιδες, οὐ βαθύπελμος
εὐμαρίς, οὐ λιπόων εὔαδε κεκρύφαλος·
θυλὰς δὲ σκήπωνι συνέμπορος, ἅ τε συνῳδὸς
δίπλαξ, καὶ κοίτας βλῆμα χαμαιλεχέος.
ἄμμι δὲ Μαιναλίας κάῤῥων * ἄμιν Ἀταλάντας
τόσσον, ὅσον σοφίη κρέσσον ὀρειδρομίης.

## 414. ΝΟΣΣΙΔΟΣ.

Καὶ καπυρὸν γελάσας παραμείβεο, καὶ φίλον εἰπὼν
ῥῆμ' ἐπ' ἐμοί. Ῥίνθων εἰμ' ὁ Συρακόσιος,
Μουσάων ὀλίγη τις ἀηδονίς· ἀλλὰ φλυάκων
ἐκ τραγικῶν ἴδιον κισσὸν ἐδρεψάμεθα.

## 415. ΚΑΛΛΙΜΑΧΟΥ.

Βαττιάδεω παρὰ σῆμα φέρεις πόδας, εὖ μὲν ἀοιδὴν
εἰδότος, εὖ δ' οἴνῳ καίρια συγγελάσαι.

Hosted by Google

### 416. *ΑΛΛΟ.*

*Εὐκράτεω Μελέαγρον ἔχω, ξένε, τὸν σὺν Ἔρωτι*
*καὶ Μούσαις κεράσανθ᾽ ἡδυλόγους Χάριτας.*

### 417. *ΜΕΛΕΑΓΡΟΥ.*

*Νᾶσος ἐμὰ θρέπτειρα Τύρος· πάτρα δέ με τεκνοῖ*
*Ἀτθὶς ἐν Ἀσσυρίοις ναιομένα Γαδάροις.*
*Εὐκράτεω δ᾽ ἔβλαστον ὁ σὺν Μούσαις Μελέαγρος*
*πρῶτα Μενιππείαις συντροχάσας Χάρισιν.*
*εἰ δὲ Σύρος, τί τὸ θαῦμα; μίαν, ξένε, πατρίδ κόσμον*
*ναίομεν· ἓν θνατοὺς πάντας ἔτικτε Χάος.*
*πουλυετὴς δ᾽ ἐχάραξα τάδ᾽ ἐν δέλτοισι πρὸ τύμβου*
*γήρως γὰρ γείτων ἐγγύθεν Ἀίδεω.*
*ἀλλά με τὸν λάλιον καὶ πρεσβύτην * προςειπὼν*
*χαίρειν, εἰς γῆρας καὐτὸς ἵκοιο λάλον.*

### 418. *ΤΟΥ ΑΥΤΟΥ.*

*Πρώτα μοι Γαδάρων κλεινὰ πόλις ἔπλετο πάτρα,*
*ἤνδρωσεν δ᾽ ἱερὰ δεξαμένη με Τύρος·*
*εἰς γῆρας δ᾽ ὅτ᾽ ἔβην, ἡ καὶ Δία θρεψαμένα Κῶς*
*κἀμὲ θετὸν Μερόπων ἀστὸν ἐγηροτρόφει.*
*Μοῦσαι δ᾽ εἰν ὀλίγοις με, τὸν Εὐκράτεω Μελέαγρο*
*παῖδα, Μελητείοις ἠγλάϊσαν Χάρισιν.*

### 419. *ΤΟΥ ΑΥΤΟΥ.*

*Ατρέμας, ὦ ξένε, βαῖνε· παρ᾽ εὐσεβέσιν γὰρ πρέσβυς*
*εὕδει, κοιμηθεὶς ὕπνον ὀφειλόμενον,*
*Εὐκράτεω Μελέαγρος, ὁ τὸν γλυκύδακρυν Ἔρωτα*
*καὶ Μούσας ἱλαραῖς συστολίσας Χάρισιν·*

ὅν θεόπαις ἤνδρωσε Τύρος, Γαδάρων θ' ἱερὰ χθών·
Κῶς δ' ἐρατὴ Μερόπων πρέσβυν ἐγηροτρόφει.
ἀλλ' εἰ μὲν Σύρος ἐσσί, ΣΑΛΑΜ, εἰ δ' οὖν σύ γε Φοίνιξ,
* ΝΑΙΔΙΟΣ, εἰ δ' Ἕλλην, ΧΑΙΡΕ, τὸ δ' αὐτὸ φράσον.

## 420. ΔΙΟΤΙΜΟΥ ΑΘΗΝΑΙΟΥ.

Ἐλπίδες ἀνθρώπων, ἐλαφραὶ θεαί — οὐ γὰρ ἂν ὧδε
Λέσβον ὁ λυσιμελὴς ἀμφεκάλυψ' Ἀΐδης,
ὅς ποτε καὶ βασιλῆϊ συνέδραμε, καὶ μετ' Ἐρώτων —
χαίρετε κουφόταται δαίμονες ἀθανάτων.
αὐλοὶ δ' ἄφθεγκτοι καὶ ἀπευθέες, οἵ σ' ἐνέπουσι
κεῖσθ', ἐπεὶ οὔθ' ἱερὸς * * οἶδ' Ἀχέρων.

## 421. ΜΕΛΕΑΓΡΟΥ.

αἰνιγματῶδες.

Πιανέ, τί σοὶ σιβύνης, τί δὲ καὶ συὸς εὔαδε δέρμα;
καὶ τίς ἐὼν στάλας σύμβολον ἐσσὶ τίνος;
οὐ γὰρ Ἔρωτ' ἐνέπω σε. τί γάρ; νεκύεσσι πάροικος
Ἵμερος; αἰάζειν ὁ θρασὺς οὐκ ἔμαθεν.
οὐδὲ μὲν οὐδ' αὐτὸν ταχύπουν Κρόνον. ἔμπαλι γὰρ δὴ
κεῖνος μὲν τριγέρων· σοὶ δὲ τέθηλε μέλη.
ἀλλ' ἄρα, ναὶ δοκέω γάρ, ὁ γᾶς ὑπένερθε, σοφιστὰς
ἐστί· σὺ δ' ὁ πτερόεις, τοὔνομα τοῦδε, λόγος.
Λατῴας δ' ἀμφῆκες ἔχεις γέρας, ἔς τε γέλωτα
καὶ σπουδάν, καί που μέτρον ἐρωτογράφον.
ναὶ μεν δὴ Μελέαγρον ὁμώνυμον Οἰνέος υἱῷ
σύμβολα σημαίνει ταῦτα συοκτασίης.

Hosted by Google

*χαῖρε καὶ ἐν φθιμένοισιν, ἐπεὶ καὶ Μοῦσαν Ἔρωτι*
*καὶ Χάριτας Σοφίαν τ' εἰς μίαν ἡρμόσαο.*

## 422. ΛΕΩΝΙΔΑ ΤΑΡΑΝΤΙΝΟΥ.

*Τί στοχασώμεθά σου, Πεισίστρατε, χῖον ὁρῶντες*
*γλυπτὸν ὑπὲρ τύμβου κείμενον ἀστράγαλον;*
*ἦ ῥά γε μὴν ὅτι Χῖος; ἔοικε γάρ. ἦ ῥ' ὅτι παίκτας*
*ἦσθά τις, οὐ λίην δ', ὦ 'γαθέ, πλειστοβόλος;*
*ἢ τὰ μὲν οὐδὲ σύνεγγυς, ἐν ἀκρήτῳ δὲ κατέσβης*
*Χίῳ; ναὶ δοκέω, τῷδε προσηγγίσαμεν.*

## 423. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

*Τὰν μὲν ἀεὶ πολύμυθον, ἀεὶ λάλον, ὦ ξένε, κίσσα*
*φάσει· τὰν δὲ μέθας σύντροφον, ἅδε κύλιξ·*
*τὰν Κρῆσσαν δὲ τὰ τόξα· τὰ δ' εἴρια, τὰν φιλοεργόν*
*ἄνδεμα δ' αὖ μίτρας, τὰν πολιοκρόταφον·*
*τοιάνδε σταλουργὸς ὅδ' ἔκρυφε Βιττίδα τύμβος,*
** τιμελ ἄχραντον νυμφιδίαν ἄλοχον.*
*ἀλλ' ὦ 'νερ καὶ χαῖρε, καὶ οἰχομένοισιν ἐς Ἅιδαν*
*τὰν αὐτὰν μύθων αὖθις ὄπαζε χάριν.*

## 424. ΤΟΥ ΑΥΤΟΥ.

*Μαστεύω * τίς ευαγὴς ἐπὶ σταλάτιδι πέτρα,*
*Λυσιδίκα, γλυπτὸν τόνδ' ἐχάραξε νόον·*
*ἁνία γὰρ καὶ κημὸς, ὅ τ' εὐόρνιθι Τανάγρα*
*οἰωνὸς βλαστῶν, θοῦρος ἐγερσιμάχας,*
*οὐχ ἅδεν, οὐδ' ἐπέοικεν ὑπωροφίαισι γυναιξὶν·*
*ἀλλὰ τά τ' ἠλακάτας ἔργα, τά θ' ἱστοπόδων.*
*τὰν μὲν ἀνεγρομέναν με ποτ' εἴρια νύκτερος ὄρνις,*
*ἁνία δ' αὐδάσει δώματος ἁνίοχον·*

ἱππαστὴρ δ' ὅδε κημὸς ἀείσεται οὐ πολύμυθον,
οὐ λάλον, ἀλλὰ καλᾶς ἔμπλεον ἁσυχίας.

## 425. ΤΟΥ ΑΥΤΟΥ.

Μὴ θάμβει, μάστιγα Μυροῦς ἐπὶ σάματι λεύσσων,
γλαῦκα, βιόν, χαροπὰν χᾶνα, θοὰν σκύλακα.
τόξα μὲν αὐδάσει με πανεύτονον ἁγέτιν οἴκου,
ἁ δὲ κύων, τέκνων γνήσια καδομέναν·
μάστιξ δ' οὐκ ὀλοάν, ξένε, δεσπότιν, ἀλλ' ἀγέρωχον
δμωσί, κολάστειραν δ' ἔνδικον ἀμπλακίας·
χαν δὲ δόμων φύλακα μελεδήμονα· τὰν δ' [ἀκάμαντα]
γλαὺξ ἅδε γλαυκᾶς Παλλάδος ἀμφίπολον.
οιοῖσδ' ἀμφ' ἔργοισιν ἐγάθεον· ἔνθεν ὅμευνος
τοιάδ' ἐμᾷ στάλᾳ σύμβολα τεῦξε Βίτων.

## 426. ΤΟΥ ΑΥΤΟΥ.

Εἰπέ, λέων, φθιμένοιο τίνος τάφον ἀμφιβέβηκας,
βουφάγε; τίς τᾶς σᾶς ἄξιος ἦν ἀρετᾶς;
ιὸς Θευδώροιο Τελευτίας, ὃς μέγα πάντων
φέρτερος ἦν, θηρῶν ὅσσον ἐγὼ κέκριμαι.
οὐχὶ μάταν ἕστακα, φέρω δ' ἔτι σύμβολον ἀλκᾶς
ἀνέρος· ἦν γὰρ δὴ δυςμενέεσσι λέων.

## 427. ΑΝΤΙΠΑΤΡΟΥ.

στάλα, φέρ' ἴδω, τίν' ἔχει νέκυν. ἀλλὰ δέδορκα
γράμμα μὲν οὐδέν πω τμαθὲν ὕπερθε λίθου,
ννέα δ' ἀστραγάλους πεπτηκότας· ὧν πίσυρες μὲν
πρᾶτοι Ἀλεξάνδρου μαρτυρέουσι βόλον,
δὲ τὸ τᾶς νεότατος ἐφήλικος ἄνθος, Ἔφηβον,
εἷς δ' ὅ γε μανύει Χῖος ἀφαυρότερον.

ἦ ῥα τόδ' ἀγγέλλοντι, καὶ ὁ σκάπτροισι μεγαυχὴς
χὠ θάλλων ἥβᾳ τέρμα τὸ μηδὲν ἔχει;
ἢ τὸ μὲν οὔ; δοκέω δὲ ποτὶ σκοπὸν ἰθὺν ἐλάσσειν,
ἰὸν Κρηταιεὺς ὥς τις ὀϊστοβόλος.
ἧς ὁ θανὼν Χῖος μέν, Ἀλεξάνδρου δὲ λελογχὼς
οὔνομ', ἐφηβαίῃ δ' ὤλετ' ἐν ἁλικίᾳ.
ὡς εὖ τὸν φθίμενον νέον ἄκριτα, καὶ τὸ κυβευθὲν
πνεῦμα δι' ἀφθέγκτων εἶπέ τις ἀστραγάλων.

## 428. ΜΕΛΕΑΓΡΟΥ

εἰς Ἀντίπατρον τὸν Σιδώνιον.

Ἀ στάλα, σύνθημα τί σοι γοργωπὸς ἀλέκτωρ
ἕστα, καλλαΐνᾳ σκαπτοφόρος πτέρυγι;
ποσσὶν ὑφαρπάζων Νίκας κλάδον· ἄκρα δ' ἐπ' αὐτᾶς
βαθμῖδος προπεσὼν κέκλιται ἀστράγαλος.
ἦ ῥά γε νικάεντα μάχᾳ σκαπτοῦχον ἄνακτα
κρύπτεις; ἀλλὰ τί σοι παίγνιον ἀστράγαλος;
πρὸς δέ, τί λιτὸς ὁ τύμβος; ἐπιπρέπει ἀνδρὶ πενιχρῷ,
ὄρνιθος κλαγγαῖς νυκτὸς ἀνεγρομένῳ.
οὐ δοκέω· σκᾶπτρον γὰρ ἀναίνεται. ἀλλά συ κεύθεις
ἀθλοφόρον, νίκαν ποσσὶν ἀειράμενον.
οὐ ψαύω καὶ τῇδε· τί γὰρ ταχὺς εἴκελος ἀνὴρ
ἀστραγάλῳ; νῦν δὴ τὠτρεκὲς ἐφρασάμαν.
φοίνιξ οὐ νίκαν ἐνέπει, πάτραν δὲ μεγαυχῆ
ματέρα Φοινίκων, τὰν πολύπαιδα Τύρον·
ὄρνις δ', ὅττι γεγωνὸς ἀνήρ, καί που περὶ Κύπριν
πρᾶτος κὴν Μούσαις ποικίλος ὑμνοθέτας.
σκᾶπτρα δ' ἔχει σύνθημα λόγου· θνάσκειν δὲ πεσόντα
οἰνοβρεχῆ, προπετὴς ἐννέπει ἀστράγαλος.

καὶ δὴ σύμβολα ταῦτα. τὸ δ' οὔνομα πέτρος ἀείδει
'Αντίπατρον, προγόνων φύντ' ἀπ' ἐρισθενέων.

## 429. ΑΛΚΑΙΟΥ ΜΙΤΥΛΗΝΑΙΟΥ.

Δίζημαι κατὰ θυμὸν ὅτου χάριν ἁ παροδῖτις
δισσάκι ΦΙ μοῦνον γράμμα λέλογχε πέτρος,
λαοτύποις σμίλαις κεκολαμμένον. ἦ ῥα γυναικὶ
τᾷ χθονὶ κευθομένᾳ ΧΙΛΙΑΣ ἦν ὄνομα;
τοῦτο γὰρ ἀγγέλλει κορυφούμενος εἰς ἓν ἀριθμός.
ἢ τὸ μὲν εἰς ὀρθὰν ἀτραπὸν οὐκ ἔμολεν,
ἁ δ' οἰκτρὸν ναίουσα τόδ' ἠρίον ἔπλετο ΦΙΔΙΣ;
νῦν σφιγγὸς γρίφους Οἰδίπος ἐφρασάμην.
αἰνετὸς οὖκ δισσοῖο καμὼν αἴνιγμα τύποιο.
φέγγος μὲν ξυνετοῖς, ἀξυνέτοις δ' ἔρεβος.

## 430. ΔΙΟΣΚΟΡΙΔΟΥ.

Τίς τὰ νεοσκύλευτα ποτὶ δρυῒ τᾷδε καθᾶψεν
ἔντεα; τῷ πέλτα Δωρὶς ἀναγράφεται;
πλάθει γὰρ Θυρεᾶτις ὑφ' αἵματος ἅδε λοχιτᾶν,
χᾶμες ἀπ' 'Αργείων τοὶ δύο λειπόμεθα.
πάντα νέκυν μάστευε δεδουπότα, μή τις, ἔτ' ἔμπνους
λειπόμενος, Σπάρτᾳ κῦδος ἔλαμψε νόθον.
ἴσχε βάσιν. Νίκα γὰρ ἐπ' ἀσπίδος ἅδε Λακώνων
φωνεῖται θρόμβοις αἵματος 'Οθρυάδα,
χῶ τόδε μοχθήσας σπαίρει πέλας. ὦ προπάτωρ Ζεῦ
στύξον ἀνικάτου σύμβολα φυλόπιδος.

## 431. ΑΔΗΛΟΝ οἱ δὲ ΣΙΜΩΝΙΔΟΥ.

Οἵδε τριηκόσιοι, Σπάρτα πατρί, τοῖς συναρίθμοις
'Ιναχίδαις Θυρέαν ἀμφὶ μαχεσσάμενοι,

αὐχένας οὐ στρέψαντες, ὅπα ποδὸς ἴχνια πρᾶτον
ἁρμόσαμεν, ταύτᾳ καὶ λίπομεν βιοτάν.
ἄρσενι δ᾽ Ὀθρυάδαο φόνῳ κεκαλυμμένον ὅπλον
καρύσσει· Θυρέα, Ζεῦ, Λακεδαιμονίων.
αἰ δέ τις Ἀργείων ἔφυγεν μόρον, ἦς ἀπ᾽ Ἀδράστου.
Σπάρτᾳ δ᾽ οὐ τὸ θανεῖν, ἀλλὰ φυγεῖν θάνατος

432. ΔΑΜΑΓΗΤΟΥ.

Ὦ Λακεδαιμόνιοι, τὸν ἀρήϊον ὔμμιν ὁ τύμβος
Γύλλιν ὑπὲρ Θυρέας οὗτος ἔχει φθίμενον,
ἄνδρας ὃς Ἀργείων τρεῖς ἔκτανε, καὶ τόδ᾽ ἔειπεν·
Τεθναίην, Σπάρτας ἄξια μησάμενος.

433. ΤΥΜΝΕΩ.

Τὸν παραβάντα νόμους Δαμάτριον ἔκτανε μάτηρ
ἁ Λακεδαιμονία τὸν Λακεδαιμόνιον.
θηκτὸν δ᾽ ἐν προβολᾷ θεμένα ξίφος, εἶπεν, ὀδόντα
ὀξὺν ἐπιβρύκουσ᾽, οἷα Λάκαινα γυνά·
ἔῤῥε κακὸν σκυλάκευμα, κακὰ μερίς, ἔῤῥε ποθ᾽ Ἅιδαν,
ἔῤῥε· τὸν οὐ Σπάρτας ἄξιον οὐδ᾽ ἔτεκον.

434. ΔΙΟΣΚΟΡΙΔΟΥ.

Εἰς δηΐων πέμψασα λόχους Δημαινέτη ὀκτὼ
παῖδας, ὑπὸ στήλῃ πάντας ἔθαπτε μιᾷ.
δάκρυα δ᾽ οὐκ ἔῤῥηξ᾽ ἐπὶ πένθεσιν· ἀλλὰ τόδ᾽ εἶπεν
μοῦνον· ἰὼ Σπάρτα, σοὶ τέκνα ταῦτ᾽ ἔτεκον.

435. ΝΙΚΑΝΔΡΟΥ.

Εὐπυλίδας, Ἐράτων, Χαῖρις, Λύκος, Ἆγις, Ἀλέξων,
ἓξ Ἰφικρατίδα παῖδες, ἀπωλόμεθα
Μεσσάνας ὑπὸ τεῖχος· ὁ δ᾽ ἕβδομος ἄμμε Γύλιππος
ἐν πυρὶ θεὶς μεγάλαν ἦλθε φέρων σποδιάν.

Σπάρτα μὲν μέγα κῦδος, Ἀλεξίππα δὲ μέγ' ἄχθος
 ματρί· τὸ δ' ἓν πάντων καὶ καλὸν ἐντάφιον.

436. ΗΓΕΜΟΝΟΣ.

Εἴποι τις παρὰ τύμβον ἰὼν ἀγέλαστος ὁδίτας
 τοῦτ' ἔπος· ὀγδώκοντ' ἐνθάδε μυριάδας
Σπάρτας χίλιοι ἄνδρες ἐπέσχον λήματι Περσῶν,
 καὶ θάνον ἀστρεπτεί· Δώριος ἁ μελέτα.

437. ΦΑΕΝΝΟΥ.

Οὐκ ἔτλας, ὦριστε Λεωνίδα αὖτις ἱκέσθαι
 Εὐρώταν, χαλεπῷ σπερχόμενος πολέμῳ·
ἀλλ' ἐπὶ Θερμοπύλαισι τὸ Περσικὸν ἔθνος ἀμύνων
 ἐδμάθης, πατέρων ἁζόμενος νόμιμα.

438. ΔΑΜΑΓΗΤΟΥ.

Ὤλεο δὴ πατέρων περὶ ληΐδα καὶ σὺ Μαχάτα,
 δριμὺν ἐπ' Αἰτωλοῖς ἀντιφέρων πόλεμον,
πρωθήβας· χαλεπὸν γὰρ Ἀχαιϊκὸν ἄνδρα νοῆσαι
 ἄλκιμον, εἰς πολιὰν ὅστις ἔμεινε τρίχα.

439. ΘΕΟΔΩΡΙΔΑ.

Οὕτω δὴ Πύλιον τὸν Ἀγήνορος, ἄκριτε Μοῖρα,
 πρώϊον ἐξ ἥβας ἔθρισας Αἰολέων,
Κῆρας ἐπισσεύσασα βίου κύνας. ὦ πόποι, ἀνὴρ
 οἷος ἀμειδήτῳ κεῖται ἕλωρ Ἀΐδῃ.

440. ΛΕΩΝΙΔΑ ΤΑΡΑΝΤΙΝΟΥ.

Ἠρίον, οἷον νυκτὶ καταφθιμένοιο καλύπτεις
 ὀστέον, οἵην, γαῖ', ἀμφέχανες κεφαλήν;
πολλὸν μὲν ξανθαῖσιν ἀρεσκομένου Χαρίτεσσι,
 πολλοῦ δ' ἐν μνήμῃ πᾶσιν Ἀριστοκράτευς.



Hosted by Google

ᾔδει Ἀριστοκράτης καὶ μείλιχα δημολογῆσαι,
  [στρεβλὴν οὐκ ὀφρὺν ἐσθλὸς ἐφελκόμενος·
ᾔδει καὶ Βάκχοιο παρὰ κρητῆρος ἄδηριν]
  ἰθῦναι κείνην εὐκυλίκην λαλιήν·
ᾔδει κεὶν ξείνοισι καὶ ἐνδήμοισι προσηνέα
  ἔρδειν. γαῖ' ἐρατή, τοῖον ἔχεις φθίμενον.

## 441. ΑΡΧΙΛΟΧΟΥ.

Ὑψηλοὺς Μεγάτιμον Ἀριστοφόωντά τε Νάξου
  κίονας, ὦ μεγάλη γαῖ' ὑπένερθεν ἔχεις.

## 442. ΣΙΜΩΝΙΔΟΥ.

Εὐθυμάχων ἀνδρῶν μνησώμεθα, τῶν ὅδε τύμβος,
  οἳ θάνον εὔμηλον ῥυόμενοι Τεγέαν,
αἰχμηταὶ πρὸ πόληος, ἵνα σφίσι μὴ καθέληται
  Ἑλλὰς ἀποφθιμένου κρατὸς ἐλευθερίαν.

## 443. ΤΟΥ ΑΥΤΟΥ.

Τῶνδε ποτὲ στέρνοισι τανυγλώχινας ὀϊστοὺς
  λοῦσεν φοινίσσᾳ θοῦρος Ἄρης ψακάδι.
ἀντὶ δ' ἀκοντοδόκων ἀνδρῶν μνημεῖα θανόντων
  ἄψυχ' ἐμψύχων ἅδε κέκευθε κόνις.

## 444. ΘΕΑΙΤΗΤΟΥ.

Χείματος οἰνωθέντα τὸν Ἀνταγόρεω μέγαν οἶκον
  ἐκ νυκτῶν ἔλαθεν πῦρ ὑπονειμάμενον·
ὀγδώκοντα δ' ἀριθμὸν ἐλεύθεροι ἄμμιγα δούλοις
  τῆς ἐχθρῆς ταύτης πυρκαϊῆς ἔτυχον.
οὐκ εἶχον διελεῖν προσκηδέες ὀστέα χωρίς·
  ξυνὴ δ' ἦν κάλπις, ξυνὰ δὲ τὰ κτέρεα·
εἷς καὶ τύμβος ἀνέστη. ἀτὰρ τὸν ἕκαστον ἐκείνων
  οἶδε καὶ ἐν τέφρῃ ῥηϊδίως Ἀΐδης.

## 445. ΠΕΡΣΟΥ ΘΗΒΑΙΟΥ.

Μαννάδας, ὦ ξεῖνε, καὶ Εὔστρατος, υἷες Ἐχέλλου,
Δυμαῖοι, κραναῇ κείμεθ' ἐνὶ ξυλόχῳ,
ἄγραυλοι γενεῆθεν ὀρειτύποι. οἱ δ' ἐπὶ τύμβῳ,
μαννυταὶ τέχνας, δουροτόμοι πελέκεις.

## 446. ΗΓΗΣΙΠΠΟΥ.

Ἑρμιονεὺς ὁ ξεῖνος, ἐν ἀλλοδαπῶν δὲ τέθαπται,
Ζωΐλος, Ἀργείαν γαῖαν ἐπεσσάμενος,
ἂν ἐπί οἱ βαθύκολπος ἀμάσατο δάκρυσι νύμφα
λειβομένα, παῖδές τ' εἰς χρόα κειράμενοι.

## 447. ΚΑΛΛΙΜΑΧΟΥ.

Σύντομος ἦν ὁ ξεῖνος· ὃ καὶ στίχος οὐ μακρὰ λέξω·
Θῆρις, Ἀρισταίου, Κρὴς ὑπ' ἐμοί, δολιχόν.

## 448. ΛΕΩΝΙΔΑ ΤΑΡΑΝΤΙΝΟΥ.

Πραταλίδα τὸ μνᾶμα Λυκαστίω, ἄκρον ἐρώτων
εἰδότος, ἄκρα μάχας, ἄκρα λινοστασίης,
ἄκρα χοροιτυπίης, χθόνιοι * * * * * * * *
τοῦτον Κρηταιεῖς Κρῆτα παρῳκίσατε.

## 449. ΑΛΛΟ.

Πραταλίδᾳ παιδεῖον Ἔρως πόθον, Ἄρτεμις ἄγραν,
Μοῦσα χορούς, Ἄρης ἐγγυάλιξε μάχαν.
πῶς οὐκ εὐαίων ὁ Λυκάστιος, ὃς καὶ ἔρωτι
ἆρχε, καὶ ἐν μολπᾷ, καὶ δορὶ καὶ στάλικι.

## 450. ΔΙΟΣΚΟΡΙΔΟΥ.

Τῆς Σαμίης τὸ μνῆμα Φιλαινίδος. ἀλλὰ προσειπεῖν
τλῆθί με, καὶ στήλης πλησίον ὦ 'νερ ἴθι.

Hosted by Google

οὐκ εἰμ' ἡ τὰ γυναιξὶν ἀναγράψασα προςάντη
ἔργα, καὶ Αἰσχύνην οὐ νομίσασα θεόν·
ἀλλὰ φιλαιδήμων, ναὶ ἐμὸν τάφον· εἰ δέ τις ἡμέας
αἰσχύνων λαμυρὰν ἔπλασεν ἱστορίην,
τοῦ μὲν ἀναπτύξαι χρόνος οὔνομα· τἀμὰ δὲ λυγρὰ
ὀστέα τερφθείη κληδόν' ἀπωσαμένης.

## 451. ΚΑΛΛΙΜΑΧΟΥ.

Τῇδε Σάων ὁ Δίκωνος Ἀκάνθιος ἱερὸν ὕπνον
κοιμᾶται. θνάσκειν μὴ λέγε τοὺς ἀγαθούς.

## 452. ΛΕΩΝΙΔΑ.

Μνήμονες Εὐβούλοιο σαόφρονος, ὦ παριόντες,
πίνωμεν· κοινὸς πᾶσι λιμὴν Ἀΐδης.

## 453. ΚΑΛΛΙΜΑΧΟΥ

Δωδεκέτην τὸν παῖδα πατὴρ ἀπέθηκε Φίλιππος
ἐνθάδε, τὴν πολλὴν ἐλπίδα, Νικοτέλην.

## 454. ΤΟΥ ΑΥΤΟΥ.

Τὸν βαθὺν οἰνοπότην Ἐρασίξενον ἡ δὶς ἐφεξῆς
ἀκρήτου προποθεῖσ' ᾤχετ' ἔχουσα κύλιξ.

## 455. ΛΕΩΝΙΔΑ.

Μαρωνὶς ἡ φίλοινος, ἡ πίθων σποδός,
ἐνταῦθα κεῖται γρηῢς, ἧς ὑπὲρ τάφου
γνωστὸν πρόκειται πᾶσιν Ἀττικὴ κύλιξ.
στένει δὲ καὶ γᾶς νέρθεν, οὐχ ὑπὲρ τέκνων,
οὐδ' ἀνδρός, οὓς λέλοιπεν ἐνδεεῖς βίου·
ἓν δ' ἀντὶ πάντων, οὕνεχ' ἡ κύλιξ κενή.

Hosted by Google

456. ΔΙΟΣΚΟΡΙΔΟΥ.

Τὴν τιτθὴν Ἱέρων Σειληνίδα, τήν, ὅτε πίνοι
ζωρόν, ὑπ' οὐδεμίης θλιβομένην κύλικος,
ἀγρῶν ἐντὸς ἔθηκεν, ἵν' ἡ φιλάκρητος ἐκείνη
καὶ φθιμένη ληνῶν γείτονα τύμβον ἔχοι.

457. ΑΡΙΣΤΩΝΟΣ.

Ἀμπελὶς ἡ φιλάκρητος ἐπὶ σκήπωνος ὁδηγοῦ
ἤδη τὸ σφαλερὸν γῆρας ἐρειδομένη,
λαθριδίη Βάκχοιο νεοθλιβὲς ἦλθ' ἀπὸ ληνοῦ
πῶμα γλυκὺ κλοπέειν πλησαμένη κύλικα·
πρὶν δ' ἀρύσαι μογερὰν ἔκαμεν χέρα, γραῦς δέ, παλαιὴ
* ὡς ναῦς ὑποβρύχιος, ζωρὸν ἔδυ πέλαγος.
Εὐτέρπη δ' ἐπὶ τύμβον ἀποφθιμένης θέτο σῆμα
λάϊνον, οἰνηρῶν γείτονα θειλοπέδων.

458. ΚΑΛΛΙΜΑΧΟΥ.

Τὴν Φρυγίην Αἴσχρην, ἀγαθὸν γάλα, πᾶσιν ἐν ἐσθλοῖς
Μίκκος καὶ ζωὴν οὖσαν ἐγηροκόμει,
καὶ φθιμένην ἀνέθηκεν, ἐπεσσομένοισιν δρᾶσθαι,
ἡ γρῆϋς μαστῶν ὡς ἀπέχει χάριτας.

459. ΤΟΥ ΑΥΤΟΥ.

Κρηθίδα τὴν πολύμυθον, ἐπισταμένην καλὰ παίζειν,
δίζηνται Σαμίων πολλάκι θυγατέρες,
ἡδίσταν συνέριθον, ἀεὶ λάλον· ἡ δ' ἀποβρίζει
ἐνθάδε τὸν πάσαις ὕπνον ὀφειλόμενον.

460. ΤΟΥ ΑΥΤΟΥ.

Εἶχον ἀπὸ σμικρῶν ὀλίγον βίον, οὔτε τι δεινὸν
ῥέζων, οὔτ' ἀδικῶν οὐδένα, γαῖα φίλη,

Hosted by Google

Μικύλος· εἴ τι πονηρὸν ἐπήνεσα, μήτε σὺ κούφη
γίγνεο, μήτ' ἄλλοι δαίμονες, οἵ μ' ἔχετε.

### 461. ΜΕΛΕΑΓΡΟΥ.

Παμμῆτορ γῆ χαῖρε, σὺ τὸν πάρος οὐ βαρὺν εἰς σὲ
Αἰσιγένην καὐτὴ νῦν ἐπέχοις ἀβαρής.

### 462. ΔΙΟΝΥΣΙΟΥ.

Ἀγχίτοκον Σατύραν Ἀΐδας λάχε, Σιδονία δὲ
κρύψε κόνις, πάτρα δ' ἐστονάχησε Τύρος.

### 463. ΛΕΩΝΙΔΑ.

Αὕτα Τιμόκλει', αὕτα Φιλώ, αὕτα Ἀριστώ,
αὕτα Τιμαιθώ, παῖδες Ἀριστοδίκου.
πᾶσαι ὑπ' ὠδῖνος πεφονευμέναι· αἷς ἔπι τοῦτο
σᾶμα πατὴρ στάσας κάτθαν' Ἀριστόδικος.

### 464. ΑΝΤΙΠΑΤΡΟΥ.

Ἦ που σὲ χθονίας, Ἀρετημιάς, ἐξ ἀκάτοιο
Κωκυτοῦ θεμέναν ἴχνος ἐπ' αἰόνι,
οἰχόμενον βρέφος ἄρτι νέῳ φορέουσαν ἀγοστῷ
ᾤκτειραν θαλεραὶ Δωρίδες εἰν Ἀΐδᾳ,
πευθόμεναι τέο κῆρα· σὺ δὲ ξαίνουσα παρειὰς
δάκρυσιν, ἄγγειλας κεῖν' ἀνιαρὸν ἔπος·
Διπλόον ὠδίνασα, φίλαι, τέκος, ἄλλο μὲν ἀνδρὶ
Εὔφρονι καλλιπόμαν, ἄλλο δ' ἄγω φθιμένοις.

### 465. ΗΡΑΚΛΕΙΤΟΥ.

Ἁ κόνις ἀρτίσκαπτος, ἐπὶ στάλας δὲ μετώπων
σείονται φύλλων ἡμιθαλεῖς στέφανοι.
γράμμα διακρίναντες, ὁδοιπόρε, πέτρον ἴδωμεν·
λευρὰ περιστέλλειν ὀστέα φατὶ τίνος.

Hosted by Google

Ξεῖν', Ἀρετημιάς εἰμι· πάτρα Κνίδος· Εὔφρονος ἦλθον
εἰς λέχος· ὠδίνων οὐκ ἄμορος γενόμαν·
δισσὰ δ' ὁμοῦ τίκτουσα, τὸ μὲν λίπον ἀνδρὶ ποδηγὸν
γήρως· ἓν δ' ἀπάγω μναμόσυνον πόσιος.

## 466. ΛΕΩΝΙΔΑ.

Ἆ δείλ' Ἀντίκλεις, δειλὴ δ' ἐγὼ ἡ τὸν ἐν ἥβης
ἀκμῇ καὶ μοῦνον παῖδα πυρωσαμένη,
ὀκτωκαιδεκέτης ὃς ἀπώλεο, τέκνον· ἐγὼ δὲ
ὀρφάνιον κλαίω γῆρας ὀδυρομένη.
βαίην εἰς Ἄϊδος σκιερὸν δόμον· οὔτε μοι ἠὼς
ἡδεῖ', οὔτ' ἀκτὶς ὠκέος ἠελίου.
ἆ δείλ' Ἀντίκλεις, μεμορημένε, πένθεος εἴης
ἰητήρ, ζωῆς ἔκ με κομισσάμενος.

## 467. ΑΝΤΙΠΑΤΡΟΥ.

Τοῦτό τοι, Ἀρτεμίδωρε, τεῷ ἐπὶ σάματι μάτηρ
ἴαχε, δωδεκέτην σὸν γοῶσα μόρον·
Ὤλετ' ἐμᾶς ὠδῖνος ὁ πᾶς πόνος ἐς πόνον, ἐς πῦρ,
ὤλεθ' ὁ παμμέλεος γειναμένου κάματος·
ὤλετο θ' ἁ ποθινὰ τέρψις σέθεν· ἐς γὰρ ἄκαμπτον,
ἐς τὸν ἀνόστητον χῶρον ἔβης ἐνέρων·
οὐδ' ἐς ἐφηβείαν ἦλθες, τέκος· ἀντὶ δὲ σεῖο
στάλα, καὶ κωφὰ λείπεται ἄμμι κόνις.

## 468. ΜΕΛΕΑΓΡΟΥ.

Οἰκτρότατον μάτηρ, σέ, Χαρίξενε, δῶρον ἐς Ἅιδαν,
ὀκτωκαιδεκέταν ἐστόλισεν χλαμύδι.
ἦ γὰρ δὴ καὶ πέτρος ἀνέστενεν, ἁνίκ' ἀπ' οἴκων
ἅλικες οἰμωγᾷ σὸν νέκυν ἀχθοφόρευν.

Hosted by Google

πένθος δ', οὐχ' Ὑμέναιον ἀνωρύοντο γονῆες
αἲ αἴ, τὰς μαστῶν ψευδομένας χάριτας,
καὶ κενεὰς ὠδῖνας. ἰὼ κακοπάρθενε Μοῖρα,
στεῖρα γονᾶς στοργὰν ἔπτυσας εἰς ἀνέμους.
τοῖς μὲν ὁμιλήσασι ποθεῖν πάρα, τοῖς δὲ τοκεῦσι
πενθεῖν, τοῖς δ' * ἀγνῶς πευθομένοις ἐλεεῖν.

## 469. ΧΑΙΡΗΜΟΝΟΣ.

Εὔβουλον τέκνωσεν Ἀθηναγόρης περὶ πάντων
ἧσσονα μὲν μοίρᾳ, κρείσσονα δ' εὐλογίᾳ.

## 470. ΜΕΛΕΑΓΡΟΥ.

Εἰπὸν ἀνειρομένῳ τίς καὶ τίνος ἐσσί. Φίλαυλος
Εὐκρατίδεω. ποδαπὸς δ' εὔχεαι * * * *
ἔζησας δὲ τίνα στέργων βίον; οὐ τὸν ἀρότρου,
οὐδὲ τὸν ἐκ νηῶν· τὸν δὲ σοφοῖς ἕταρον.
γήρᾳ δ', ἢ νούσῳ βίον ἔλλιπες; ἤλυθον Ἅιδαν
αὐτοθελεί, Κείων γευσάμενος κυλίκων.
ἦ πρέσβυς; καὶ κάρτα. λάβοι νύ σε βῶλος ἐλαφρὴ
σύμφωνον πινυτῷ σχόντα λόγῳ βίοτον.

## 471. ΚΑΛΛΙΜΑΧΟΥ.

Εἴπας "ΗΛΙΕ ΧΑΙ͂ΡΕ Κλεόμβροτος ὡ᾽μβρακιώτης
ἥλατ' ἀφ' ὑψηλοῦ τείχεος εἰς Ἀΐδαν,
ἄξιον οὐδὲν ἰδὼν θανάτου κακόν, ἢ τὸ Πλάτωνος
ἓν, τὸ περὶ ψυχῆς, γράμμ' ἀναλεξάμενος.

## 472. ΛΕΩΝΙΔΑ.

Μυρίος ἦν, ὤνθρωπε, χρόνος προτοῦ, ἄχρι πρὸς ἠῶ
ἦλθες, χὠ λοιπὸς μυρίος εἰς Ἀΐδην.
τίς μοῖρα ζωῆς ὑπολείπεται, ἢ ὅσον ὅσσον
στιγμή, καὶ στιγμῆς εἴ τι χαμηλότερον;

Hosted by Google

ικρή σευ ζωὴ τεθλιμμένη· οὐδὲ γὰρ αὐτὴ
ἤδει, ἀλλ' ἐχθροῦ στυγνοτέρη θανάτου.
κ τοιης, ὤνθρωπε, ἀπηκριβωμένοι ὀστῶν
ἁρμονίης, ὕψος, ἠέρα, καὶ νεφέλας·
ὦ 'νερ, ἴδ' ὡς ἀχρεῖον, ἐπεὶ περὶ νήματος ἄκρον
ευλὴ ἀκέρκιστον λῶπος ἐφεζομένη·
οἷον τὸ ψαλάθριον ἀπεψιλωμένον, οἷον
πολλὸν ἀραχναίου στυγνότερον σκελετοῦ·
ἠοῦν ἐξ ἠοῦς ὅσσον σθένος, ὦ 'νερ, ἐρευνῶν
εἴης ἐν λιτῇ κεκλιμένος βιοτῇ.
αἰὲν τούτων σῷ μεμνημένος ἄχρις ὁμιλῇς
ζωῆς, ἐξ οἵης ἡρμόνισας καλάμης.

## 473. ΑΡΙΣΤΟΔΙΚΟΥ.

Δαμὼ καὶ Μάθυμνα τὸν ἐν τριετηρίσιν * ἧρα,
Εὔφρονα λυσσατὰν ὡς ἐπύθοντο νέκυν,
ζωὰν ἀρνήσαντο, τανυπλέκτων δ' ἀπὸ μιτρᾶν
χερσὶ δεραιούχους ἐκρεμάσαντο βρόχους.

## 474. ΑΔΗΛΟΝ.

Εἷς ὅδε Νικάνδρου τέκνων τάφος· ἓν φάος ἀοῦς
ἄνυσε τὰν ἱερὰν Λυσιδίκας γενεάν.

## 475. ΔΙΟΤΙΜΟΥ.

Νυμφίον Εὐαγόρην πολυπένθιμον ἡ Πολυαίνου
Σκυλλὶς ἀν' εὐρείας ἦλθε βοῶσα πύλας,
παῖδα τὸν Ἡγεμάχειον ἐφέστιον· οὐδ' ἄρ' ἐκείνη
χήρη πατρῴους αὖθις ἐςῆλθε δόμους,
δαιμονίη· τριτάτῳ δὲ κατέφθιτο μηνὶ δυςαίων
οὐλομένῃ ψυχῆς δύςφρονι τηκεδόνι.

τοῦτο δ' ἐπ' ἀμφοτέροισι πολύκλαυτον φιλότητος
ἕστηκεν λείη μνᾶμα παρὰ τριόδῳ.

## 476. ΜΕΛΕΑΓΡΟΥ.

Δάκρυα σοὶ καὶ νέρθε διὰ χθονὸς, Ἡλιοδώρα,
δωροῦμαι, στοργᾶς λείψανον εἰς Ἀίδαν,
δάκρυα δυςδάκρυτα· πολυκλαύτῳ δ' ἐπὶ τύμβῳ
σπένδω μνᾶμα πόθων, μνᾶμα φιλοφροσύνας.
οἰκτρὰ γάρ, οἰκτρὰ φίλαν σε καὶ ἐν φθιμένοι Μελέαγρος
αἰάζω, κενεὰν εἰς Ἀχέροντα χάριν.
αἲ αἴ, ποῦ τὸ ποθεινὸν ἐμοὶ θάλος; ἅρπασεν Ἅιδας
ἅρπασεν· ἀκμαῖον δ' ἄνθος ἔφυρε κόνις.
ἀλλά σε γουνοῦμαι, γᾶ παντρόφε, τὰν πανόδυρτο
ἠρέμα σοῖς κόλποις, μᾶτερ, ἐναγκάλισαι.

## 477. ΤΥΜΝΕΩ.

Μή σοὶ ταῦτα, Φιλαινί, λίην ἐπικαίριον ἔστω,
εἰ μὴ πρὸς Νείλῳ γῆς μορίης ἔτυχες·
ἀλλά σ' ἐλευθερίης ὅδ' ἔχει τάφος· ἔστι γὰρ ἴση
πάντοθεν εἰς Ἀίδην ἐρχομένοισιν ὁδός.

## 478. ΛΕΩΝΙΔΟΥ.

Τίς ποτ' ἄρ', ἢ τίνος ἆρα παρὰ τρίβον ὀστέα ταῦτο
τλῆμον, ἐν ἡμιφαεῖ λάρνακι γυμνὰ μένει;
μνῆμα δὲ καὶ τάφος αἰὲν ἁμαξεύοντος ὁδίτεω
ἄξονι καὶ τροχιῇ λιτὰ παραξέεται·
ἤδη σου καὶ πλευρὰ παρατρίψουσιν ἅμαξαι,
σχέτλιε, σοὶ δ' οὐδεὶς οὐδ' ἐπὶ δάκρυ βαλεῖ.

### 479. ΘΕΟΔΩΡΙΔΑ.

Πέτρος ἐγὼ τὸ πάλαι γυρὴ καὶ ἄτριπτος ἐπιβλής·
τὴν Ἡρακλείτου δ' ἔνδον ἔχω κεφαλήν·
αἰών μ' ἔτριψεν κροκάλαις ἴσον· ἐν γὰρ ἁμάξῃ
παμφόρῳ αἰζηῶν εἰνοδίῃ τέταμαι.
ἀγγέλλω δὲ βροτοῖσι, καὶ ἄστηλός περ ἐοῦσα,
θεῖον ὑλακτητὴν δήμου ἔχουσα κύνα.

### 480. ΛΕΩΝΙΔΑ.

Ἤδη μευ τέτριπται ὑπεκκεκαλυμμένον ὀστεῦν,
ἁρμονίῃ τ', ὦ 'νερ, πλὰξ ἐπικεκλιμένη·
ἤδη καὶ σκώληκες ὑπὲκ σοροῦ αὐγάζονται
ἡμετέρης· τί πλέον γῆν ἐπιεννύμεθα;
ἦ γὰρ τὴν οὔπω πρὶν ἴτην ὁδὸν ἐτμήξαντο
ἄνθρωποι, κατ' ἐμῆς νειόμενοι κεφαλῆς.
ἀλλὰ πρὸς ἐγγαίων, Ἀϊδωνέος, Ἑρμεία τε,
καὶ Νυκτός, ταύτης ἐκτὸς ἴτ' ἀτραπιτοῦ.

### 481. ΦΙΛΗΤΑ ΣΑΜΙΟΥ.

Α στάλα βαρύθουσα λέγει τάδε· τὰν μινύωρον,
τὰν μικκὰν Ἀΐδας ἅρπασε Θειοδόταν.
χἀ μικκὰ τάδε πατρὶ λέγει πάλιν· ἴσχεο λύπας,
Θειόδοτε, θνατοὶ πολλάκι δυστυχέες.

### 482. ΑΔΗΛΟΝ.

Οὔπω τοι πλόκαμοι τετμημένοι, οὐδὲ σελάνας
τοὶ τριετεῖς μηνῶν ἀνιοχεῦντο δρόμοι,
Κλεύδικε, Νικασὶς ὅτε σὰν περὶ λάρνακα μάτηρ,
τλῆμον, ἐπ' αἰακτῷ πόλλ' ἐβόασε τάφῳ,
καὶ γενέτας Περί[κλειτος]· ἐπ' ἀγνώτῳ δ' Ἀχέροντι
ἡβάσεις ἥβαν, Κλεύδικ', ἀνοστοτάταν.

Hosted by Google

## 483. ΑΔΗΛΟΝ.

Ἀΐδη ἀλλιτάνευτε καὶ ἄτροπε, τίπτε τοι οὕτω
Κάλλαισχρον ζωᾶς νήπιον ὠρφάνισας;
ἔσται μὰν ὅ γε παῖς ἐν δώμασι Φερσεφονείοις
παίγνιον· ἀλλ' οἴκοι λυγρὰ λέλοιπε πάθη.

## 484. ΔΙΟΣΚΟΡΙΔΟΥ.

Πέντε κόρας καὶ πέντε Βιὼ Διδύμωνι τεκοῦσα
ἄρσενας, οὐδὲ μιᾶς, οὐδ' ἑνὸς ὠνάσατο.
ἡ μὲν ἀρίστη ἐοῦσα καὶ εὔτεκνος οὐχ ὑπὸ παίδων,
ὀθνείαις δ' ἐτάφη χερσὶ θανοῦσα Βιώ.

## 485. ΤΟΥ ΑΥΤΟΥ.

Βάλλεθ' ὑπὲρ τύμβου πολιὰ κρίνα καὶ τὰ συνήθη
τύμπαν' ἐπὶ στήλῃ ῥήσσετ' Ἀλεξαμένους,
καὶ περιδινήσασθε μακρῆς ἀνελίγματα χαίτης
Στρυμονίην ἄφετοι Θυιάδες Ἀμφίπολιν,
ἣ γλυκερὰ πνεύσαντος ἐφ' ὑμετέροισιν * ἀδάπταις,
πολλάκι πρὸς μαλακοὺς τούσδ' ἐχόρευε νόμους.

## 486. ΑΝΥΤΗΣ.

Πολλάκι τῷδ' ὀλοφυδνὰ κόρας ἐπὶ σάματι Κλεινὼ
μάτηρ ὠκυμόρου παῖδ' ἐβόασε φίλαν,
ψυχὰν ἀγκαλέουσα Φιλαινίδος, ἃ πρὸ γάμοιο
χλωρὸν ὑπὲρ ποταμοῦ χεῦμ' Ἀχέροντος ἔβα.

## 487. ΠΕΡΣΟΥ.

Ὤλεο δὴ πρὸ γάμοιο, Φιλαίνιον, οὐδέ σε μάτηρ
Πυθιὰς ὡραίους ἤγαγεν εἰς θαλάμους
νυμφίου· ἀλλ' ἐλεεινὰ καταδρύψασα παρειὰς
τεσσαρακαιδεκέτιν τῷδ' ἐκάλυψε τάφῳ.

Hosted by Google

## 488. *ΜΝΑΣΑΛΚΟΥ.*

*Αἲ αἲ Ἀριστοκράτεια, σὺ μὲν βαθὺν εἰς Ἀχέροντα*
*οἴχεαι ὡραίου κεκλιμένα πρὸ γάμου·*
*ματρὶ δὲ δάκρυα σᾷ καταλείπεται, ἅ σ᾽ ἐπὶ τύμβῳ*
*πολλάκι κεκλιμένα κωκύει ἐκ κεφαλᾶς.*

## 489. *ΣΑΠΦΟΥΣ.*

*Τιμάδος ἅδε κόνις, τὰν δὴ πρὸ γάμοιο θανοῦσαν*
*δέξατο Φερσεφόνας κυάνεος θάλαμος,*
*ἇς καὶ ἀποφθιμένας πᾶσαι νεοθᾶγι σιδάρῳ*
*ἅλικες ἱμερτὰν κρατὸς ἔθεντο κόμαν.*

## 490. *ΑΝΥΤΗΣ.*

*Παρθένον Ἀντιβίαν κατοδύρομαι, ἇς ἐπὶ πολλοὶ*
*νυμφίοι ἱέμενοι πατρὸς ἵκοντο δόμον,*
*κάλλευς καὶ πινυτᾶτος ἀνὰ κλέος. ἀλλ᾽ ἐπὶ πάντων*
*ἐλπίδας οὐλομένα Μοῖρ᾽ ἐκύλισε πρόσω.*

## 491. *ΜΝΑΣΑΛΚΟΥ.*

*Αἲ αἲ παρθενίας ὀλοόφρονος, ἇς ἄπο φαιδρὰν*
*ἔκλασας ἁλικίαν, ἱμερόεσσα Κλεοῖ,*
* *καδδέ σ᾽ ἀμυξάμεναι περὶ δάκρυσιν αἵδ᾽ ἐπὶ τύμβῳ*
*λᾶες Σειρήνων ἕσταμες εἰδάλιμοι.*

## 492. *ΑΝΥΤΗΣ ΜΙΤΥΛΗΝΑΙΗΣ.*

*Ὠιχόμεθ᾽, ὦ Μίλητε, φίλη πατρί, τῶν ἀθεμίστων*
*τὰν ἄνομον Γαλατᾶν ὕβριν ἀναινόμεναι,*
*παρθενικαὶ τρισσαὶ πολιήτιδες, ἃς ὁ βιατὰς*
*Κελτῶν εἰς ταύτην μοῖραν ἔτρεψεν Ἄρης.*
*οὐ γὰρ ἐμείναμεν αἷμα τὸ δυσσεβές, οὐδ᾽ Ὑμέναιον,*
*νυμφίον ἀλλ᾽ Ἀΐδην κηδεμόν᾽ εὑρόμεθα.*

Hosted by Google

### 493. *ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.*

*Οὐ νούσῳ Ῥοδόπα τε καὶ ἁ γενέτειρα Βοΐσκα,*
*οὐδ' ὑπὸ δυςμενέων δούρατι κεκλίμεθα·*
*ἀλλ' αὐταί, πάτρας ὁπότ' ἔφλεγεν ἄστυ Κορίνθου*
*γοργὸς Ἄρης, ἀΐδαν ἄλκιμον εἱλόμεθα.*
*ἔκτανε γὰρ μάτηρ με διασφακτῆρι σιδάρῳ,*
*οὐδ' ἰδίου φειδὼ δύςμορος ἔσχε βίου,*
*ἇψε δ' ἐναυχενίῳ δειρὰν βρόχῳ· ἦς γὰρ ἀμείνων*
*δουλοσύνας ἁμῖν πότμος ἐλευθέριος.*

### 494. *ΑΔΕΣΠΟΤΟΝ.*

*Ἐν πόντῳ Σώδαμος ὁ Κρὴς θάνεν, ᾧ, φίλε Νηρεῦ,*
*δίκτυα καὶ τὸ σὸν ἦν κεῖνο σύνηθες ὕδωρ,*
*ἰχθυβολεὺς ὁ περισσὸς ἐν ἀνδράσιν. ἀλλὰ θάλασσα*
*οὔ τι διακρίνει χείματος οὐδ' ἁλιεῖς.*

### 495. *ΑΛΚΑΙΟΥ ΜΕΣΣΗΝΙΟΥ.*

*Στυγνὸς ἐπ' Ἀρκτούρῳ ναύταις πλόος· ἐκ δὲ Βορείης*
*λαίλαπος Ἀσπάσιος πικρὸν * ἔτευξα μόρον,*
*οὗ στείχεις παρὰ τύμβον, ὁδοιπόρε· σῶμα δὲ πόντος*
*ἔκρυψ' Αἰγαίῳ ῥαινόμενον πελάγει.*
*ἠϊθέων δακρυτὸς ἅπας μόρος· ἐν δὲ θαλάσσῃ*
*πλεῖστα πολυκλαύτου κήδεα ναυτιλίης.*

### 496. *ΣΙΜΩΝΙΔΟΥ.*

*Ἠερίη Γεράνεια, κακὸν λέπας, ὤφελες Ἴστρον*
*τῆλε, καὶ ἐκ Σκυθέων μακρὸν ὁρᾶν Τάναϊν,*
*μηδὲ πέλας ναίειν Σκειρωνικὸν οἶδμα θαλάσσης,*
*ἄγκεα νιφομένας ἀμφὶ Μελουριάδος.*
*νῦν δ' ὁ μὲν ἐν πόντῳ κρυερὸς νέκυς· οἱ δὲ βαρεῖαν*
*ναυτιλίην κενεοὶ τῇδε βοῶσι τάφοι.*

Hosted by Google

## 497. ΔΑΜΑΓΗΤΟΥ.

Καί ποτε Θυμώδης, τὰ παρ' ἐλπίδα κήδεα κλαίων,
παιδὶ Λύκῳ κενεὸν τοῦτον ἔχευε τάφον·
οὐδὲ γὰρ ὀθνείην ἔλαχεν κόνιν, ἀλλά τις ἀκτὴ
* νιάς, ἢ νήσων ποντιάδων τις ἔχει·
ἔνθ' ὅ γέ που, πάντων κτερέων ἄτερ, ὀστέα φαίνει
γυμνὸς ἐπ' ἀξείνου κείμενος αἰγιαλοῦ.

## 498. ΑΝΤΙΠΑΤΡΟΥ.

Δᾶμις ὁ Νυσαεὺς ἐλαχὺ σκάφος ἔκ ποτε πόντου
Ἰονίου ποτὶ γᾶν ναυστολέων Πέλοπος,
φορτίδα μὲν καὶ πάντα νεὼς ἐπιβήτορα λαόν,
κύματι καὶ συρμῷ πλαζομένους ἀνέμων,
ἀσκηθεῖς ἐσάωσε· καθιεμένης δ' ἐπὶ πέτραις
ἀγκύρης, ψυχρῶν κάτθανεν ἐκ νιφάδων
ἠμύσας ὁ πρέσβυς· ἴδ' ὡς λιμένα γλυκὺν ἄλλοις
δούς, ξένε, τὸν Λήθης αὐτὸς ἔδυ λιμένα.

## 499. ΘΕΑΙΤΗΤΟΥ.

Ναυτίλοι ὦ πλώοντες, ὁ Κυρηναῖος Ἀρίστων
πάντας ὑπὲρ ξενίου λίσσεται ὔμμε Διός,
εἰπεῖν πατρὶ Μένωνι, παρ' Ἰκαρίαις ὅτι πέτραις
κεῖται, ἐν Αἰγαίῳ θυμὸν ἀφεὶς πελάγει.

## 500. ΑΣΚΛΗΠΙΑΔΟΥ.

Ὦ παρ' ἐμὸν στείχων κενὸν ἠρίον, εἰπὸν ὁδῖτα,
εἰς Χίον εὖτ' ἂν ἵκῃ, πατρὶ Μελησαγόρῃ,
ὡς ἐμὲ μὲν καὶ νῆα καὶ ἐμπορίην κακὸς Εὖρος
ὤλεσεν, Εὐίππου δ' αὐτὸ λέλειπτ' ὄνομα.



Hosted by Google

## 501. ΠΕΡΣΟΥ.

Εὔρου χειμέριαί σε καταιγίδες ἐξεκύλισαν,
Φιλλί, πολυκλαύτῳ γυμνὸν ἐπ' ἠϊόνι,
οἰνηρῆς Λέσβοιο παρὰ σφυρόν· αἰγίλιπος δὲ
πέτρου ἁλιβρέκτῳ κεῖσαι ὑπὸ πρόποδι.

## 502. ΝΙΚΑΙΝΕΤΟΥ.

Ἠρίον εἰμὶ Βίτωνος, ὁδοιπόρε· εἰ δὲ Τορώνην
λείπων εἰς αὐτὴν ἔρχεαι Ἀμφίπολιν,
εἰπεῖν Νικαγόρᾳ, παίδων ὅτι τὸν μόνον αὐτῷ
Στρυμονίης ἐρίφων ὤλεσε πανδυσίη.

## 503. ΛΕΩΝΙΔΑ.

Ἀρχαίας ὦ θινὸς ἐπεστηλωμένον ἄχθος,
εἴποις ὅντιν' ἔχεις, ἢ τίνος, ἢ ποδαπόν.
Φίντων' Ἑρμιονῆα Βαθυκλέος, ὃν πολὺ κῦμα
ὤλεσεν, Ἀρκτούρου λαίλαπι χρησάμενον.

## 504. ΤΟΥ ΑΥΤΟΥ.

Πάρμις ὁ Καλλιγνώτου ἐπάκτιος, ὡς καλαμευτής,
ἄκρος καὶ κίχλης καὶ σκάρου ἰχθυβολεύς,
καὶ λάβρου πέρκης δελεάρπαγος, ὅσσα τε κοίλας
σήραγγας, πέτρας τ' ἐμβυθίους νέμεται,
ἄγρης ἐκ πρώτης ποτ' ἰουλίδα πετρήεσσαν
δακνάζων, ὀλοὴν ἐξ ἁλὸς ἀράμενος,
ἔφθιτ'· ὀλισθηρὴ γὰρ ὑπ' ἐκ χερὸς ἀΐξασα
ᾤχετ' ἐπὶ στεινὸν παλλομένη φάρυγα.
χὠ μὲν μηρίνθων καὶ δούνακος ἀγκίστρων τε
ἐγγὺς ἀπὸ πνοιὴν ἧκε κυλινδόμενος,
νήματ' ἀναπλήσας ἐπιμοίρια· τοῦ δὲ θανόντος
γρίπωνος γριπεὺς τοῦτον ἔχωσε τάφον.

505. *ΣΑΠΦΟΥΣ.*

Τῷ γριπεῖ Πελάγωνι πατὴρ ἀνέθηκε Μενίσκος
κύρτον καὶ κώπαν, μνᾶμα κακοζοΐας.

506. *ΛΕΩΝΙΔΑ.*

Κὴν γῇ καὶ πόντῳ κεκρύμμεθα· τοῦτο περισσὸν
ἐκ Μοιρέων Θρᾶσις Χαρμίδου ἠνύσατο.
ἦ γὰρ ἐπ' ἀγκύρης ἔνοχον βάρος εἰς ἅλα δύνων,
Ἰόνιόν θ' ὑγρὸν κῦμα κατερχόμενος,
τὴν μὲν ἔσωσ'· αὐτὸς δὲ μετάτροπος ἐκ βυθοῦ ἔῤῥων
ἤδη καὶ ναύταις χεῖρας ὀρεγνύμενος,
ἐβρώθην· τοῖόν μοι ἐπ' ἄγριον εὖ μέγα κῆτος
ἦλθεν, ἀπέβρωξεν δ' ἄχρις ἐπ' ὀμφαλίου.
χἤμισυ μὲν ναῦται, ψυχρὸν βάρος, ἐξ ἁλὸς ἡμῶν
ἤρανθ', ἥμισυ δὲ πρίστις ἀπεκλάσατο.
ἠόνι δ' ἐν ταύτῃ κακὰ λείψανα Θράσιδος, ὦ 'νερ,
ἔκρυψαν· πάτρην δ' οὐ πάλιν ἱκόμεθα.

507. *ΣΙΜΩΝΙΔΟΥ.*

Ἄνθρωπ', οὐ Κροίσου λεύσσεις τάφον, ἀλλὰ γὰρ ἀνδρὸς
χερνήτεω. μικρὸς τύμβος, ἐμοὶ δ' ἱκανός.
οὐκ ἐπιδὼν νύμφεια λέχη κατέβην τὸν ἄφυκτον
Γόργιππος ξανθῆς Φερσεφόνης θάλαμον.

508. *ΤΟΥ ΑΥΤΟΥ.*

Παυσανίαν ἰητρὸν ἐπώνυμον, Ἀγχίτεω υἱόν,
τύνδ', Ἀσκληπιάδην, πατρὶς ἔθαψε Γέλα,
ὃς πλείστους κρυεραῖσι μαραινομένους ὑπὸ νούσοις
φῶτας ἀπέστρεψεν Φερσεφόνης θαλάμων.

### 509. ΤΟΥ ΑΥΤΟΥ.

*Σῆμα Θεόγνιδος εἰμὶ Σινωπέος, ᾧ μ' ἐπέθηκεν*
*Γλαῦκος ἑταιρείης ἀντὶ πολυχρονίου.*

### 510. ΤΟΥ ΑΥΤΟΥ.

*Σῶμα μὲν ἀλλοδαπὴ κεύθει κόνις· ἐν δέ σε πόντῳ,*
*Κλείσθενες, Εὐξείνῳ μοῖρ' ἔκιχεν θανάτου*
*πλαζόμενον· γλυκεροῦ δὲ μελίφρονος οἴκαδε νόστου*
*ἤμπλακες, οὐδ' ἵκευ Χῖον ἐπ' ἀμφιρύτην.*

### 511. ΤΟΥ ΑΥΤΟΥ.

*Σῆμα καταφθιμένοιο Μεγακλέος εὖτ' ἂν ἴδωμαι,*
*οἰκτείρω σέ, τάλαν Καλλία, οἷ' ἔπαθες.*

### 512. ΤΟΥ ΑΥΤΟΥ.

*Τῶνδε δι' ἀνθρώπων ἀρετὰν οὐχ ἵκετο καπνὸς*
*αἰθέρα, δαιομένης εὐρυχόρου Τεγέης,*
*οἳ βούλοντο πόλιν μὲν ἐλευθερίᾳ τεθαλυῖαν*
*παισὶ λιπεῖν, αὐτοὶ δ' ἐν προμάχοισι θανεῖν.*

### 513. ΤΟΥ ΑΥΤΟΥ.

*Φῆ ποτε Τίμαρχος, πατρὸς περὶ χεῖρας ἔχοντος,*
*ἡνίκ' ἀφ' ἱμερτὴν ἔπνεεν ἡλικίην·*
*ὦ Τιμηνορίδη, παιδὸς φίλου οὔ ποτε λήσῃ*
*οὔτ' ἀρετὴν ποθέων, οὔτε σαοφροσύνην.*

### 514. ΤΟΥ ΑΥΤΟΥ.

*Αἰδὼς καὶ Κλεύδημον ἐπὶ προχοῇσι Θεαίρου*
*ἀενάου στονόεντ' ἤγαγεν εἰς θάνατον,*
*Θρηϊκίῳ κύρσαντα λόχῳ· πατρὸς δὲ κλεεννὸν*
*Διφίλου αἰχμητὴς υἱὸς ἔθηκ' ὄνομα.*

## 515. ΤΟΥ ΑΥΤΟΥ.

Αἲ αἴ, νοῦσε βαρεῖα, τί δὴ ψυχαῖσι μεγαίρεις
ἀνθρώπων ἐρατᾷ πὰρ νεότητι μένειν;
ἣ καὶ Τίμαρχον γλυκερῆς αἰῶνος ἄμερσας
ἠΐθεον, πρὶν ἰδεῖν κουριδίην ἄλοχον.

## 516. ΤΟΥ ΑΥΤΟΥ.

Οἱ μὲν ἐμὲ κτείναντες ὁμοίων ἀντιτύχοιεν,
Ζεῦ ξένι᾽· οἱ δ᾽ ὑπὸ γᾶν θέντες, ὄναιντο βίου.

## 517. ΚΑΛΛΙΜΑΧΟΥ.

Ἠῷοι Μελάνιππον ἐθάπτομεν, ἠελίου δὲ
δυομένου Βασιλὼ κάτθανε παρθενικὴ
αὐτοχερί· ζώειν γάρ, ἀδελφεὸν ἐν πυρὶ θεῖσα,
οὐκ ἔτλη. δίδυμον δ᾽ οἶκος ἐςεῖδε κακὸν
πατρὸς Ἀριστίπποιο· κατήφησεν δὲ Κυρήνη
πᾶσα, τὸν εὔτεκνον χῆρον ἰδοῦσα δόμον.

## 518. ΤΟΥ ΑΥΤΟΥ.

Ἀστακίδην τὸν Κρῆτα, τὸν αἰπόλον, ἥρπασε Νύμφη
ἐξ ὄρεος· καὶ νῦν ἱερὸς Ἀστακίδης
οἰκεῖ Δικταίῃσιν ὑπὸ δρυσίν· οὐκέτι Δάφνιν
ποιμένες, Ἀστακίδην δ᾽ αἰὲν ἀεισόμεθα.

## 519. ΤΟΥ ΑΥΤΟΥ.

Δαίμονα τίς δ᾽ εὖ οἶδε τὸν αὔριον, ἁνίκα καὶ σέ,
Χάρμι, τὸν ὀφθαλμοῖς χθιζὸν ἐν ἁμετέροις,
τᾷ ἑτέρᾳ κλαύσαντες ἐθάπτομεν; οὐδὲν ἐκείνου
εἶδε πατὴρ Διοφῶν χρῆμ᾽ ἀνιηρότερον.

## 520. ΤΟΥ ΑΥΤΟΥ.

Ἢν δίζῃ Τίμαρχον ἐν Ἄϊδος, ὄφρα πύθηαι
ἤ τι περὶ ψυχῆς, ἢ πάλι πῶς ἔσεαι,

δίζεσθαι φυλῆς Πτολεμαΐδος, υἱέα πατρὸς
Πανσανίου· δήεις δ' αὐτὸν ἐν εὐσεβέων.

521. ΤΟΥ ΑΥΤΟΥ.

Κύζικον ἢν ἔλθῃς, ὀλίγος πόνος, Ἱππακὸν εὑρεῖν
καὶ Διδύμην· ἀφανὴς οὔτι γὰρ ἡ γενεή·
καί σφιν ἀνιηρὸν μὲν ἐρεῖς ἔπος, ἔμπα δὲ λέξαι
τοῦθ', ὅτι τὸν κείνων ὧδ' ἐπέχω Κριτίην.

522. ΤΟΥ ΑΥΤΟΥ.

Τιμονίη· τίς δ' ἐσσί; μὰ δαίμονας, οὔ σ' ἂν ἐπέγνων,
εἰ μὴ Τιμοθέου πατρὸς ἐπῆν ὄνομα
στήλῃ, καὶ Μήθυμνα τεὴ πόλις. ἦ μέγα φημὶ
χῆρον ἀνιᾶσθαι σὸν πόσιν Εὐθυμένη.

523. ΚΑΛΛΙΜΑΧΟΥ.

Οἵτινες Ἀλείοιο παρέρπετε σᾶμα Κίμωνος
ἴστε τὸν Ἱππαίου παῖδα παρερχόμενοι.

524. ΤΟΥ ΑΥΤΟΥ.

Η ῥ' ὑπὸ σοὶ Χαρίδας ἀναπαύεται; εἰ τὸν Ἀρίμμα
τοῦ Κυρηναίου παῖδα λέγεις, ὑπ' ἐμοί.
ὦ Χαρίδα, τί τὰ νέρθε; πολὺς σκότος. αἱ δ' ἄνοδοι, τί;
ψεῦδος. ὁ δὲ Πλούτων; μῦθος· ἀπωλόμεθα.
οὗτος ἐμὸς λόγος ὔμμιν ἀληθινός· εἰ δὲ τὸν ἡδὺν
βούλει, πελλαίου βοῦς μέγας εἰν Ἀΐδῃ.

525. ΤΟΥ ΑΥΤΟΥ.

Ὅστις ἐμὸν παρὰ σῆμα φέρεις πόδα, Καλλιμάχου με
ἴσθι Κυρηναίου παῖδά τε καὶ γενέτην.

Hosted by Google

εἰδείης δ' ἄμφω κεν. ὁ μέν κοτε πατρίδος ὅπλων
ἦρξεν· ὁ δ' ἤεισεν κρέσσονα βασκανίης.
οὐ νέμεσις· Μοῦσαι γὰρ ὅσους ἴδον ὄμματι παῖδας
* ἀχριβίου, πολιοὺς οὐκ ἀπέθεντο φίλους.

526. ΝΙΚΑΝΔΡΟΥ ΚΟΛΟΦΩΝΙΟΥ.

Ζεῦ πάτερ, Ὀθρυάδα τίνα φέρτερον ἔδρακες ἄλλον,
ὃς μόνος ἐκ Θυρέας οὐκ ἐθέλησε μολεῖν
πατρίδ' ἐπὶ Σπάρταν, διὰ δὲ ξίφος ἤλασε πλευρᾶν,
δοῦλα καταγράψας σκῦλα κατ' Ἰναχιδᾶν;

527. ΘΕΟΔΩΡΙΔΑ.

Θεύδοτε, κηδεμόνων μέγα δάκρυον, οἵ σε θανόντα
κώκυσαν, μέλεον πυρσὸν ἀναψάμενοι,
αἰνόλινε, τρισάωρε· σὺ δ' ἀντὶ γάμου τε καὶ ἥβης
κάλλιπες ἡδίστῃ ματρὶ γόους καὶ ἄχη.

528. ΤΟΥ ΑΥΤΟΥ.

Εὐρύσορον περὶ σῆμα τὸ Φαιναρέτης ποτὲ κοῦραι
κέρσαντο ξανθοὺς Θεσσαλίδες πλοκάμους,
πρωτοτόκον καὶ ἄποτμον ἀτυζόμεναι περὶ νύμφην,
Λάρισσαν δὲ φίλην ἤκαχε καὶ τοκέας.

529. ΤΟΥ ΑΥΤΟΥ.

Τόλμα καὶ εἰς Ἀίδαν καὶ ἐς Οὐρανὸν ἄνδρα κομίζει
ἃ καὶ Σωσάνδρου παῖδ' ἐπέβασε πυρᾶς,
Δωρόθεον· Φθίᾳ γὰρ ἐλεύθερον ἦμαρ ἰάλλων
ἐῤῥαίσθη Σηκῶν μεσσόθι καὶ Χιμάρας.

530. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝ.

Μούναν σὺν τέκνοις νεκυοστόλε δέξο με πορθμεῦ
τὰν λάλον· ἀρκεῖ σοι φόρτος ὁ Τανταλίδος·

*πληρώσει γαστὴρ μία σὸν σκάφος, εἴςιδε κούρους*
*καὶ κούρας, Φοίβου σκῦλα καὶ Ἀρτέμιδος.*

## 531. ΤΟΥ ΑΥΤΟΥ.

*Αὐτά τοι, τρέσσαντι παρὰ χρέος, ὤπασεν ᾅδαν,*
*βαψαμένα κοίλων ἐντὸς ἄρη λαγόνων,*
*μάτηρ, ἅ σ' ἔτεκεν, Δαμάτριε· φᾶ δὲ σίδαρον*
*παιδὸς ἑοῦ φύρδαν μεστὸν ἔχουσα φόνου,*
*ἀφριόεν κοναβηδὸν ἐπιπρίουσα γένειον,*
*δερκομένα λοξαῖς, οἷα Λάκαινα, κόραις·*
*Λεῖπε τὸν Εὐρώταν, ἴθι Τάρταρον· ἁνίκα δειλὰν*
*οἶσθα φυγάν, τελέθεις οὔτ' ἐμός, οὔτε Λάκων.*

## 532. ΙΣΙΔΩΡΟΥ ΑΙΓΕΑΤΟΥ.

*Ἔκ με γεωμορίης Ἐτεοκλέα πόντιος ἐλπὶς*
*εἵλκυσεν, ὀθνείης ἔμπορον ἐργασίης.*
*νῶτα δὲ Τυρσηνῆς ἐπάτευν ἁλός· ἀλλ' ἅμα νηῒ*
*πρηνιχθεὶς κείνης ὕδασιν ἐγκατέδυν,*
*ἀθρόον ἐμβρίσαντος ἀήματος. οὐκ ἄρ' ἀλωὰς*
*αὐτὸς ἐπιπνείει κεἰς ὀθόνας ἄνεμος.*

## 533. ΔΙΟΝΥΣΙΟΥ ΑΝΔΡΙΟΥ.

*Καὶ Διῒ καὶ Βρομίῳ με διάβροχον οὐ μέγ' ὀλισθεῖν,*
*καὶ μόνον ἐκ δοιῶν, καὶ βροτὸν ἐκ μακάρων.*

## 534. ΑΥΤΟΜΕΔΟΝΤΟΣ ΑΙΤΩΛΟΥ.

*Ἄνθρωπε, ζωῆς περιφείδεο, μηδὲ παρ' ὥρην*
*ναυτίλος ἴσθι· καὶ ὧς οὐ πολὺς ἀνδρὶ βίος.*
*δείλαιε Κλεόνικε, σὺ δ' εἰς λιπαρὴν Θάσον ἐλθεῖν*
*ἠπείγευ, κοίλης ἔμπορος ἐκ Συρίης,*
*ἔμπορος, ὦ Κλεόνικε· δύσιν δ' ὑπὸ Πλειάδος αὐτὴν*
*ποντοπορῶν, αὐτῇ Πλειάδι συγκατέδυς.*

Hosted by Google

## 535. ΜΕΛΕΑΓΡΟΥ.

Οὐκέθ᾽ ὁμοῦ χιμάροισιν ἔχειν βίον, οὐκέτι ναίειν
ὁ τραγόπους ὀρέων Πὰν ἐθέλω κορυφάς.
τί γλυκύ μοι, τί ποθεινὸν ἐν οὔρεσιν; ὤλετο Δάφνις,
Δάφνις ὃς ἡμετέρῃ πῦρ ἔτεκε κραδίῃ.
ἄστυ τόδ᾽ οἰκήσω· θηρῶν δέ τις ἄλλος ἐπ᾽ ἄγρην
στελλέσθω. τὰ πάροιθ᾽ οὐκέτι Πανὶ φίλα.

## 536. ΑΛΚΑΙΟΥ ΜΙΤΥΛΗΝΑΙΟΥ.

Οὐδὲ θανὼν ὁ πρέσβυς ἑῷ ἐπιτέτροφε τύμβῳ
βότρυν ἀπ᾽ οἰνάνθης ἥμερον, ἀλλὰ βάτον,
καὶ πνιγόεσσαν ἄχερδον, ἀποστύφουσαν ὁδιτῶν
χείλεα καὶ δίψει καρφαλέον φάρυγα.
ἀλλά τις Ἱππώνακτος ἐπὴν παρὰ σῆμα νέηται,
εὐχέσθω κνώσσειν εὐμενέοντα νέκυν.

## 537. ΦΑΝΙΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Ἠρίον οὐκ ἐπὶ πατρί, πολυκλαύτου δ᾽ ἐπὶ παιδὸς
Λῦσις ἄχει κενεὴν τήνδ᾽ ἀνέχωσε κόνιν,
οὔνομα ταρχύσας, ἐπεὶ οὐχ ὑπὸ χεῖρα τοκήων
ἤλυθε δυστήνου λείψανα Μαντιθέου.

## 538. ΑΝΥΤΗΣ.

Μάνης οὗτος ἀνὴρ ἦν ζῶν ποτέ· νῦν δὲ τεθνηκὼς
ἶσον Δαρείῳ τῷ μεγάλῳ δύναται.

## 539. ΠΕΡΣΟΥ.

Οὐ προϊδών, Θεότιμε, κακὴν δύσιν ὑετίοιο
Ἀρκτούρου, κρυερῆς ἥψαο ναυτιλίης,
ἥ σε, δι᾽ Αἰγαίοιο πολυκλήϊδι θέοντα
νηΐ, σὺν οἷς ἑτάροις ἤγαγεν εἰς Ἀΐδην.

αἴ αἴ, Ἀριστοδίκη δὲ καὶ Εὔπολις, οἵ σ' ἐτέκοντο,
μύρονται, κενεὸν σῆμα περισχόμενοι.

540. ΔΑΜΑΓΗΤΟΥ.

Πρὸς σὲ Διὸς ξενίου γουνούμεθα, πατρὶ Χαρίνῳ
ἄγγειλον Θήβην, ὦ 'νερ, ἐπ' Αἰολίδα'
Μῆνιν καὶ Πολύνικον ὀλωλότε, καὶ τόδε φαίης,
ὡς οὐ τὸν δόλιον κλαίομεν ἄμμε μόρον.
καίπερ ὑπὸ Θρηκῶν φθίμενοι χερός, ἀλλὰ τὸ κείνου
γῆρας ἐν ἀργαλέῃ κείμενον ὀρφανίῃ.

541. ΤΟΥ ΑΥΤΟΥ.

Ἔστης ἐν προμάχοις, Χαιρωνίδη, ὧδ' ἀγορεύσας,
ἢ μόρον, ἢ νίκαν, Ζεῦ, πολέμοιο δίδου,
ἡνίκα τοι περὶ τάφρον Ἀχαιίδα τῇ τότε νυκτὶ
δυςμενέες θρασέος δῆριν ἔθεντο πόνου.
ναὶ μὴν ἀλλ' ἀρετῆς σε διακριδὸν Ἆλις ἀείδει,
θερμὸν ἀνὰ ξείνην αἷμα χέαντα κόνιν.

542. ΦΛΑΚΚΟΥ.

Ἕβρου χειμερίοις ἀταλὸς κρυμοῖσι δεθέντος
κοῦρος ὀλισθηροῖς ποσσὶν ἔθραυσε πάγον,
τοῦ παρασυρομένοιο περιῤῥαγὲς αὐχέν' ἔκοψεν
θηγαλέον ποταμοῦ Βιστονίοιο τρύφος.
καὶ τὸ μὲν ἡρπάσθη δίναις μέρος· ἡ δὲ τεκοῦσα
λειφθὲν ὕπερθε τάφῳ μοῦνον ἔθηκε κάρα.
μυρομένη δὲ τάλαινα, τέκος, τέκος, εἶπε, τὸ μέν σου
πυρκαϊή, τὸ δέ σου πικρὸν ἔθαψεν ὕδωρ.

543. ΑΔΕΣΠΟΤΟΝ.

Πάντα τις ἀρήσαιτο φυγεῖν πλόον, ὁππότε καὶ σύ,
Θεύγενες, ἐν Λιβυκῷ τύμβον ἔθευ πελάγει,

Hosted by Google

ἡνίκα σοι κεκμηὸς ἐπέπτατο φορτίδι νηΐ
οὖλον ἀνηρίθμων κεῖνο νέφος γεράνων.

## 544. ΑΔΕΣΠΟΤΟΝ.

Εἰπὲ ποτὶ Φθίαν εὐάμπελον ἤν ποθ' ἵκηαι,
καὶ πόλιν ἀρχαίαν, ὦ ξένε, Θαυμακίαν,
ὡς δρυμὸν Μαλεαῖον ἀναστείβων ποτ' ἔρημον
εἶδες Λάμπωνος τόνδ' ἐπὶ παιδὶ τάφον
Δερξίᾳ, ὅν ποτε μοῦνον ἕλον δόλῳ, οὐδ' ἀναφανδόν,
κλῶπες ἐπὶ Σπάρταν δῖαν ἐπειγόμενον.

## 545. ΗΓΗΣΙΠΠΟΥ.

Τὴν ἐπὶ πυρκαϊῆς ἐνδέξια φασὶ κέλευθον
Ἑρμῆν τοὺς ἀγαθοὺς εἰς Ῥαδάμανθυν ἄγειν,
ᾗ καὶ Ἀριστόνοος, Χαιρεστράτου οὐκ ἀδάκρυτος
παῖς, ἡγησίλεω δῶμ' Ἀΐδος κατέβη.

## 546. ΑΔΕΣΠΟΤΟΝ

Εἶχε κορωνοβόλον, πενίης λιμηρὸν Ἀρίστων
ὄργανον, ᾧ πτηνὰς ἠκροβόλιζε χένας,
ἧκα παραστείχων δολίην ὁδόν, οἷος ἐκείνας
ψεύσασθαι λοξοῖς ὄμμασι φερβομένας.
νῦν δ' ὁ μὲν εἰν Ἀΐδῃ· τὸ δέ οἱ βέλος ὀρφανὸν ἤχου
καὶ χερός· ἡ δ' ἄγρη τύμβον ὑπερπέταται.

## 547. ΛΕΩΝΙΔΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ.

Τὰν στάλαν ἐχάραξε Βιάνωρ οὐκ ἐπὶ ματρί,
οὐδ' ἐπὶ τῷ γενέτᾳ, πότμον ὀφειλόμενον·
παρθενικᾷ δ' ἐπὶ παιδί· κατέστενε δ', οὐχ Ὑμεναίῳ
ἀλλ' Ἀΐδᾳ νύμφαν δωδεκέτιν κατάγων.

Hosted by Google

## 548. ΤΟΥ ΑΥΤΟΥ.

*Τίς Δαίμων Ἀργεῖος ἐπ' ἠρίῳ; ἦ ῥα σύναιμος*
*ἐστὶ Δικαιοτέλους; ἐστὶ Δικαιοτέλους.*
*ἠχὼ τοῦτ' ἐλάλησε πανύστατον, ἦ τόδ' ἀληθές;*
*κεῖνος ὅδ' ἐστὶν ἀνήρ; κεῖνος ὅδ' ἐστὶν ἀνήρ.*

## 549. ΤΟΥ ΑΥΤΟΥ.

*Πέτρος ἔτ' ἐν Σιπύλῳ Νιόβη θρήνοισιν αἰάζει,*
*ἑπτὰ δὶς ὠδίνων μυρομένη θάνατον·*
*λήξει δ' οὐδ' αἰῶνι γόον. τί δ' ἀλαζόνα μῦθον*
*φθέγξατο, τὸν ζωῆς ἅρπαγα καὶ τεκέων;*

## 550. ΤΟΥ ΑΥΤΟΥ.

*Ναυηγὸς γλαυκοῖο φυγὼν Τρίτωνος ἀπειλὰς*
*Ἀνθεύς, Φθιώτην οὐ φύγεν αἰνόλυκον.*
*Πηνειοῦ παρὰ χεῦμα γὰρ ὤλετο. φεῦ τάλαν, ὅστις*
*Νηρεΐδων Νύμφας ἔσχεν ἀπιστοτέρας.*

## 551. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

*Αητόϊος καὶ Παῦλος ἀδελφεὼ ἄμφω ἐόντε*
*ξυνὴν μὲν βιότου συζυγίην ἐχέτην,*
*ξυνὰ δὲ καὶ Μοίρης λαχέτην λίνα, καὶ παρὰ θῖνα*
*Βοσπορίην ξυνὴν ἀμφεβάλοντο κόνιν.*
*οὐδὲ γὰρ ἀλλήλοιν ζώειν ἀπάνευθε δυνάσθην,*
*ἀλλὰ συνετρεχέτην καὶ παρὰ Φερσεφόνην.*
*χαίρετον ὦ γλυκερὼ καὶ ὁμόφρονε· σήματι δ' ὑμέων*
*ὤφελεν ἱδρῦσθαι βωμὸς Ὁμοφροσύνης.*

## 552. ΤΟΥ ΑΥΤΟΥ.

*Ὦ ξένε, τί κλαίεις; διὰ σὸν μόρον. οἶσθα τίς εἰμι;*
*οὐ μὰ τόν· ἀλλ' ἔμπης οἰκτρὸν ὁρῶ τὸ τέλος.*

Hosted by Google

ἐσσὶ δὲ τίς; Περίκλεια. γυνὴ τίνος; ἀνδρὸς ἀρίστου
ῥήτορος, ἐξ Ἀσίης, οὔνομα Μεμνονίου.
πῶς δέ σε Βοσπορίη κατέχει κόνις; εἴρεο Μοῖραν,
ἥ μοι τῆλε πάτρης ξεῖνον ἔδωκε τάφον.
παῖδα λίπες; τριέτηρον, ὃς ἐν μεγάροισιν ἀλύων
ἐκδέχεται μαζῶν ἡμετέρων σταγόνα.
αἴθε καλῶς ζώοι. ναί, ναί, φίλος, εὔχεο κείνῳ,
ὄφρα μοι ἡβήσας δάκρυ φίλον σταλάοι.

## 553. ΔΑΜΑΣΚΙΟΥ ΦΙΛΟΣΟΦΟΥ.

Ζωσίμη, ἡ πρὶν ἐοῦσα μόνῳ τῷ σώματι δούλη,
καὶ τῷ σώματι νῦν εὗρεν ἐλευθερίην.

## 554. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Λατύπος Ἀρχιτέλης Ἀγαθάνορι παιδὶ θανόντι
χερσὶν ὀϊζυραῖς ἡρμολόγησε τάφον.
αἴ, αἴ, πέτρον ἐκεῖνον, ὃν οὐκ ἐκόλαψε σίδηρος,
ἀλλ᾽ ἐτάκη πυκινοῖς δάκρυσι τεγγόμενος.
φεῦ, στήλη φθιμένῳ κούφη μένε, κεῖνος ἵν᾽ εἴπῃ·
Ὄντως πατρῴη χεὶρ ἐπέθηκε λίθον.

## 555. ΙΩΑΝΝΟΥ ΠΟΙΗΤΟΥ.

Ἐς πόσιν ἀθρήσασα παρ᾽ ἐσχατίης λίνα μοίρης
ᾔνεσα καὶ χθονίους, ᾔνεσα καὶ ζυγίους.
τοὺς μέν, ὅτι ζωὸν λίπον ἀνέρα· τοὺς δ᾽, ὅτι τοῖον.
ἀλλὰ πατὴρ μίμνοι παισὶν ἐφ᾽ ἡμετέροις.

* * * *

Τοῦτο σαοφροσύνας ἀντάξιον εὗρεο, Νοστώ·
δάκρυά σοι γαμέτας σπεῖσε καταφθιμένᾳ.

Hosted by Google

## 556. ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΑΝΘΥΠΑΤΟΥ.

Νηλειὴς Ἀίδης· ἐπὶ σοὶ δ' ἐγέλασσε θανόντι,
Τίτυρε, καὶ νεκύων θῆκέ σε μιμολόγον.

## 557. ΚΥΡΟΥ ΠΟΙΗΤΟΥ.

Τρεῖς ἐτέων δεκάδες, Μαίης χρόνος· ἐς τρία δ' ἄλλα
ἔτρεχεν, ἀλλ' Ἀίδης πικρὸν ἔπεμψε βέλος.
θηλυτέρην δ' ἥρπαξε ῥόδων καλύκεσσιν ὁμοίην,
πάντ' ἀπομαξαμένην ἔργα τὰ Πηνελόπης.

## 558. ΑΔΕΣΠΟΤΟΝ.

Ἄιδης μὲν σύλησεν ἐμῆς νεότητος ὀπώρην·
κρύψε δὲ παππώῳ μνήματι τῷδε λίθος.
οὔνομα Ῥουφῖνος γενόμην, παῖς Αἰθερίοιο,
μητρὸς δ' ἐξ ἀγαθῆς· ἀλλὰ μάτην γενόμην.
ἐς γὰρ ἄκρον μούσης τε καὶ ἥβης ἧκον ἐλάσσας,
φεῦ, σοφὸς εἰς Ἀίδην, καὶ νέος εἰς ἔρεβος.
κώκυε καὶ σὺ βλέπων τάδε γράμματα μακρόν, ὁδῖτα,
δὴ γὰρ ἔφυς ζωῶν ἢ πάϊς, ἠὲ πατήρ.

## 559. ΘΕΟΣΕΒΕΙΑΣ.

Εἶδεν Ἀκεστορίη τρία πένθεα. κείρατο χαίτην
πρῶτον ἐφ' Ἱπποκράτει, καὶ δεύτερον ἀμφὶ Γαληνῷ·
καὶ νῦν Ἀβλαβίου γοερῷ περὶ σήματι κεῖται,
αἰδομένη μετὰ κεῖνον ἐν ἀνθρώποισι φανῆναι.

## 560. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Εἰ καὶ ἐπὶ ξείνης σέ, Λεόντιε, γαῖα καλύπτει,
εἰ καὶ ἐρικλαύτων τῆλ' ἔθανες γονέων,
πολλά σοι ἐκ βλεφάρων ἐχύθη περιτύμβια φωτῶν
δάκρυα, δυστλήτῳ πένθεϊ δαπτομένων.

Hosted by Google

πᾶσι γὰρ ἦσθα λίην πεφιλημένος, οἷά τε πάντων
ξυνὸς ἐὼν κοῦρος, ξυνὸς ἐὼν ἕταρος.
αἶ αἴ, λευγαλέη καὶ ἀμείλιχος ἔπλετο Μοῖρα,
μηδὲ τεῆς ἥβης, δύσμορε, φεισαμένη.

## 561. *ΙΟΥΛΙΑΝΟΥ ΑΠΟ ΥΠΑΡΧΩΝ ΤΗΣ ΑΙΓΥΠΤΟΥ.*

Ἡ Φύσις ὠδίνασα πολὺν χρόνον, ἀνέρ' ἔτικτεν
ἄξιον εἰς ἀρετὴν τῶν προτέρων ἐτέων,
τὸν Κρατερόν, σοφίην τε καὶ οὔνομα, τὸν καὶ ἀνιγροῖς
κινήσαντα γόῳ δάκρυον ἀντιπάλοις.
εἰ δὲ νέος τέθνηκεν, ὑπέρτερα νήματα Μοίρης
μέμφεο, βουλομένης κόσμον ἄκοσμον ἔχειν.

## 562. *ΤΟΥ ΑΥΤΟΥ.*

Ὦ φθέγμα Κρατεροῖο, τί σοι πλέον, εἴ γε καὶ αὐδῆς
ἔπλεο καὶ σιγῆς αἴτιον ἀντιπάλοις;
ζῶντ ς μὲν γὰρ ἅπαντες ἐφώνεον· ἐκ δὲ τελευτῆς
ὑμετέρης, ἰδίην αὖθις ἔδησαν ὄπα.
οὔτις γὰρ μετὰ σεῖο μόρον τέτληκε τανύσσαι
ὦτα λόγοις· Κρατερῷ δ' ἓν τέλος ἠδὲ λόγοις.

## 563. *ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.*

Σιγᾷς Χρυσεόμαλλε τὸ χάλκεον, οὐκέτι δ' ἡμῖν
εἰκόνας ἀρχεγόνων ἐκτελέεις μερόπων
νεύμασιν ἀφθόγγοισι· τεὴ δ', ὄλβιστε, σιωπὴ
νῦν στυγερὴ τελέθει, τῇ πρὶν ἐθελγόμεθα.

## 564. *ΑΔΕΣΠΟΤΟΝ.*

Τῇδέ ποτ' ἀκτερεΐστον ἐδέξατο γαῖα χανοῦσα
Λαοδίκην, δηΐων ὕβριν ἀλευομένην.

UOFM

Hosted by Google

σῆμα δ' ἀμαλδύναντος ἀνωΐστοιο χρόνοιο,
Μάξιμος ἔκδηλον θῆκ' Ἀσίης ὕπατος,
καὶ κούρης χάλκειον ἐπεὶ τύπον ἐφράσατ' ἄλλῃ
κείμενον ἀκλειῶς, τῷδ' ἐπέθηκε κύκλῳ.

565. ΙΟΥΛΙΑΝΟΥ ΑΠΟ ΥΠ. ΑΙΓ.

Αὐτὴν Θειοδότην ὁ ζωγράφος. αἴθε δὲ τέχνης
ἤμβροτε, καὶ λήθην δῶκεν ὀδυρομένοις.

566. ΜΑΚΗΔΟΝΙΟΥ ΥΠΑΤΟΥ.

Γαῖα, καὶ Εἰλήθυια, σὺ μὲν τέκες, ἡ δὲ καλύπτεις·
χαίρετον· ἀμφοτέρας ἤνυσα τὸ στάδιον.
εἶμι δέ, μὴ νοέων πόθι νείσομαι· οὐδὲ γὰρ ὑμέας,
ἢ τίνος, ἢ τίς ἐών, οἶδα πόθεν μετέβην.

567. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Κανδαύλου τόδε σῆμα· Δίκη δ' ἐμὸν οἶτον ἰδοῦσα
οὐδὲν ἀλιτραίνειν τὴν παράκοιτιν ἔφη.
ἤθελε γὰρ δισσοῖσιν ὑπ' ἀνδράσι μηδὲ φανῆναι,
ἀλλ' ἢ τὸν πρὶν ἔχειν, ἢ τὸν ἐπιστάμενον.
ἦν ἄρα Κανδαύλην παθέειν κακόν· οὐ γὰρ ἂν ἔτλη
δεῖξαι τὴν ἰδίην ὄμμασιν ἀλλοτρίοις.

568. ΤΟΥ ΑΥΤΟΥ.

Ἑπτά με δὶς λυκάβαντας ἔχουσαν ἀφήρπασε δαίμων,
ἣν μούνην Διδύμῳ πατρὶ Θάλεια τέκεν.
ἆ Μοῖραι, τί τοσοῦτον ἀπηνέες, οὐδ' ἐπὶ παστοὺς
ἠγάγετ', οὐδ' ἐρατῆς ἔργα τεκνοσπορίης;
οἱ μὲν γὰρ γονέες με γαμήλιον εἰς Ὑμέναιον
μέλλον ἄγειν· στυγεροῦ δ' εἰς Ἀχέροντος ἔβην.

Hosted by Google

ἀλλὰ θεοί, λίτομαι, μητρός γε γόους πατέρος τε
παύσατε, τηκομένων εἵνεκ᾽ ἐμεῦ φθιμένης.

## 569. ΤΟΥ ΑΥΤΟΥ.

Ναὶ λίτομαι, παροδῖτα, φίλῳ κατάλεξον ἀκοίτῃ,
εὖτ᾽ ἂν ἐμὴν λεύσσῃς πατρίδα Θεσσαλίην·
Κάτθανε σὴ παράκοιτις, ἔχει δέ μιν ἐν χθονὶ τύμβος,
αἲ αἴ, Βοσπορίης ἐγγύθεν ἠϊόνος·
ἀλλά μοι αὐτόθι τεῦχε κενήριον ἐγγύθι σεῖο,
ὄφρ᾽ ἀναμιμνήσκῃ τῆς ποτὲ κουριδίης.

## 570. ΑΔΕΣΠΟΤΟΝ.

Δουλκίτιον μὲν ἄνακτες ἄκρον βιότοιο πρὸς ὄλβον
ἤγαγον ἐξ ἀρετῆς, καὶ κλέος ἀνθυπάτων.
ὡς δὲ Φύσις μιν ἔλυσεν ἀπὸ χθονὸς, ἀθάνατοι μὲν
αὐτὸν ἔχουσι θεοί, σῶμα δὲ σηκὸς ὅδε.

## 571. ΛΕΟΝΤΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Ὀρφέος οἰχομένου, τάχα τις τότε λείπετο Μοῦσα
σεῦ δὲ, Πλάτων, φθιμένου, παύσατο καὶ κιθάρη,
ἣν γὰρ ἔτι προτέρων μελέων ὀλίγη τις ἀποῤῥὼξ
ἐν σαῖς σωζομένη καὶ φρεσὶ καὶ παλάμαις.

## 572. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Οὐχ ὁσίοις λεχέεσσιν ἐτέρπετο λάθριος ἀνὴρ,
λέκτρον ὑποκλέπτων ἀλλοτρίης ἀλόχου·
ἐξαπίνης δὲ δόμων ὀροφὴ πέσε, τοὺς δὲ κακούργους
ἔσκεπεν, ἀλλήλοις εἰσέτι μισγομένους.
ξυνὴ δ᾽ ἀμφοτέρους κατέχει παγίς· εἰν ἑνὶ δ᾽ ἄμφω
κεῖνται, συζυγίης οὐκέτι παυόμενοι



Hosted by Google

573. *ΛΕΟΝΤΙΟΥ ΣΧΟΛ.*

*Χειρεδίου τόδε σῆμα, τὸν ἔτρεφεν Ἀτθὶς ἄρουρα,*
*εἰκόνα ῥητήρων τῆς προτέρης δεκάδος,*
*ῥηϊδίως πείθοντα δικασπόλον· ἀλλὰ δικάζων*
*οὔποτε τῆς ὀρθῆς οὐδ᾽ ὅσον ἐτράπετο.*

574. *ΑΓΑΘΙΟΥ ΣΧΟΛ.*

*Θεσμοὶ μὲν μεμέληντο συνήθεες Ἀγαθονίκῳ·*
*Μοῖρα δὲ δειμαίνειν οὐ δεδάηκε νόμους·*
*ἀλλά μιν ἁρπάξασα σοφῶν ἤμερσε θεμίστων,*
*οὔπω τῆς νομίμης ἔμπλεον ἡλικίης.*
*οἰκτρὰ δ᾽ ὑπὲρ τύμβοιο κατεστονάχησαν ἑταῖροι*
*κείμενον, οὗ θιάσου κόσμον ὀδυρόμενοι·*
*ἡ δὲ κόμην τίλλουσα γόῳ πληκτίζετο μήτηρ,*
*αἴ, αἴ, τῶν λαγόνων μόχθον ἐπισταμένη.*
*ἔμπης ὄλβιος οὗτος, ὃς ἐν νεότητι μαρανθεὶς*
*ἔκφυγε τὴν βιότου θᾶσσον ἀλιτροσύνην.*

575. *ΛΕΟΝΤΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.*

*Σῆμα Ῥόδης· Τυρίη δὲ γυνὴ πέλεν· ἀντὶ δὲ πάτρης*
*ἵκετο τήνδε πόλιν, κηδομένη τεκέων.*
*αὐτὴ ἀειμνήστοιο λέχος κόσμησε Γεμέλλου,*
*ὃς πάρος εὐνομίης ἴδμονα θῆκε πόλιν.*
*γρηῢς μὲν μόρον εὗρεν, ὄφελλε δὲ μυρία κύκλα*
*ζώειν· τῶν ἀγαθῶν οὐ δεχόμεσθα κόρον.*

576. *ΙΟΥΛΙΑΝΟΥ ΑΠΟ ΥΠ. ΑΙΓ.*

*Κάτθανες ὦ Πύῤῥων; ἀπέχω. πυμάτην μετὰ μοῖραν*
*φὴς ἐπέχειν; ἐπέχω. σκέψιν ἔπαυσε τάφος.*

577. *ΤΟΥ ΑΥΤΟΥ.*

*Ὅστις με τριόδοισι μέσαις τάρχυσε θανόντα,*
*λυγρὰ παθὼν τύμβου μηδ᾽ ὀλίγοιο τύχοι,*

Hosted by Google

πάντες ἐπεὶ Τίμωνα νέκυν πατέουσιν ὁδῖται,
καὶ μόρος ἄμμι μόνοις ἄμμορος ἡσυχίης.

578. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Τὸν κρατερὸν Πανοπῆα, τὸν ἀγρευτῆρα λεόντων,
τὸν λασιοστέρνων κέντορα παρδαλίων,
τύμβον ἔχει· γλαφυρῆς γὰρ ἀπὸ χθονὸς ἔκτανε δεινὸς
σκορπίος, οὐτήσας ταρσὸν ὀρεσσιβάτην.
αἰγανέη δὲ τάλαινα, σίγυνά τε πὰρ χθονὶ κεῖται,
αἴ, αἴ, θαρσαλέων παίγνια δορκαλίδων.

579. ΛΕΟΝΤΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Πέτρου ὁρᾷς ῥητῆρος ἀεὶ γελόωσαν ὀπωπήν,
ἔξοχον εἰν ἀγοραῖς, ἔξοχον ἐν φιλίῃ.
ἐν δὲ Διωνύσου θηεύμενος ὤλετο μοῦνος,
ὑψόθεν ἐκ τέγεος σὺν πλεόνεσσι πεσών,
βαιὸν ἐπιζήσας, ὅσον ἤρκεσε. τοῦτον ἔγωγε
ἄγριον οὐ καλέω, τὸν δὲ φύσει θάνατον.

580. ΙΟΥΛΙΑΝΟΥ ΑΙΓΥΠΤΙΟΥ.

Οὔποτ᾽ ἐμὲ κρύψεις ὑπὸ πυθμένα νείατον αἴης
τόσσον, ὅσον κρύψαι πάνσκοπον ὄμμα Δίκης.

581. ΙΟΥΛΙΑΝΟΥ ΑΙΓΥΠΤ.

Ἀντὶ φόνου τάφον ἄμμι χαρίζεαι· ἀλλὰ καὶ αὐτὸς
ἴσων ἀντιτύχοις οὐρανόθεν χαρίτων.

582. ΤΟΥ ΑΥΤΟΥ.

Χαῖρέ μοι, ὦ ναυηγέ, καὶ εἰς Ἀΐδαο περήσας
μέμφεο μὴ πόντου κύμασιν, ἀλλ᾽ ἀνέμοις.
κεῖνοι μέν σ᾽ ἐδάμασσαν· ἁλὸς δέ σε μείλιχον ὕδωρ
ἐς χθόνα καὶ πατέρων ἐξεκύλισε τάφους.



Hosted by Google

### 583. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Ἄβαλε μηδ' ἐγένοντο γάμοι, μὴ νύμφια λέκτρα,
οὐ γὰρ ἂν ὠδίνων ἐξεφάνη πρόφασις.
νῦν δ' ἡ μὲν τριτάλαινα γυνὴ τίκτουσα κάθηται,
γαστρὶ δὲ δυςκόλπῳ νεκρὸν ἔνεστι τέκος·
τρισσὴ δ' ἀμφιλύκη δρόμον ἤνυσεν, ἐξότε μίμνει
τὸ βρέφος ἀπρήκτοις ἐλπίσι τικτόμενον.
κούφη σοὶ τελέθει γαστήρ, τέκος, ἀντὶ κονίης·
αὕτη γάρ σε φέρει, καὶ χθονὸς οὐ χατέεις.

### 584. ΙΟΥΛΙΑΝΟΥ ΑΙΓΥΠΤΙΟΥ.

Πλώεις ναυηγόν με λαβών, καὶ σήματι χώσας;
πλῶε, Μαλειάων ἄκρα φυλασσόμενος.
αἰεὶ δ' εὐπλοΐην μεθέποις φίλος· ἢν δέ τι ῥέξῃ
ἄλλο Τύχη, τούτων ἀντιάσαις χαρίτων.

### 585. ΤΟΥ ΑΥΤΟΥ

Μύγδων τέρμα βίοιο λαχών, αὐτόστολος ἦλθεν
εἰς Ἀΐδην, νεκύων πορθμίδος οὐ χατέων.
ἣν γὰρ ἔχε ζώων βιοδώτορα, μάρτυρα μόχθων,
ἄγραις εἰναλίαις πολλάκι βριθομένην,
τήνδε καὶ ἐν θανάτῳ λάχε σύνδρομον, εὖτε τελευτὴν
εὕρετο συλλήξας ὁλκάδι καιομένῃ.
οὕτω πιστὸν ἄνακτι πέλεν σκάφος, οἶκον ἀέξον
Μύγδονι, καὶ σύμπλουν ἐς βίον, ἐς θάνατον.

### 586. ΤΟΥ ΑΥΤΟΥ.

Οὔτε σε πόντος ὄλεσσε καὶ οὐ πνείοντες ἀῆται,
ἀλλ' ἀκόρητος ἔρως φοιτάδος ἐμπορίης.
εἴη μοι γαίης ὀλίγος βίος· ἐκ δὲ θαλάσσης
ἄλλοισιν μελέτω κέρδος ἀελλομάχον.

Hosted by Google

587. ΤΟΥ ΑΥΤΟΥ.

εἰς Πάμφιλ. φιλόσοφον·

Χθών σε τέκεν, πόντος δὲ διώλεσε, δέκτο δὲ θῶκος
Πλουτῆος· κεῖθεν δ' οὐρανὸν εἰςανέβης.
οὐχ ὡς ναυηγὸς δὲ βυθῷ θάνες, ἀλλ' ἵνα πάντων
κλήροις ἀθανάτων, Πάμφιλε, κόσμον ἄγῃς.

588. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Δαμόχαρις Μοίρης πυμάτην ὑπεδύσατο σιγήν.
φεῦ, τὸ καλὸν Μούσης βάρβιτον ἠρεμέει·
ὤλετο Γραμματικῆς ἱερὴ βάσις. ἀμφιρύτη Κῶς,
καὶ πάλι πένθος ἔχεις οἷον ἐφ' Ἱπποκράτει.

589. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Μηδὲν ἀπαγγείλειας ἐς Ἀντιόχειαν, ὁδῖτα,
μὴ πάλιν οἰμώξῃ χεύματα Κασταλίης,
οὕνεκεν ἐξαπίνης Εὐστόργιος ἔλλιπε μοῦσαν,
θεσμῶν τ' Αὐσονίων ἐλπίδα μαψιδίην,
ἑβδόματον δέκατόν τε λαχὼν ἔτος· ἐς δὲ κονίην
ἠμείφθη κενεὴν εὔσταχυς ἡλικίη.
καὶ τὸν μὲν κατέχει χθόνιος τάφος· ἀντὶ δ' ἐκείνου
οὔνομα καὶ γραφίδων χρώματα δερκόμεθα.

590. ΙΟΥΛΙΑΝΟΥ ΑΙΓΥΠΤΙΟΥ.

Κλεινὸς Ἰωάννης. θνητός, λέγε. γαμβρὸς ἀνάσσης.
θνητὸς ὅμως. γενεῆς ἄνθος Ἀναστασίου.
θνητοῦ κἀκείνου. βίον ἔνδικος. οὐκέτι τοῦτο
θνητὸν ἔφης. ἀρεταὶ κρείσσονές εἰσι μόρου.

591. ΤΟΥ ΑΥΤΟΥ.

Ὑπατίου τάφος εἰμί· νέκυν δ' οὔ φημι καλύπτειν
τόσσου τόσσος ἐὼν Αὐσονίων προμάχου·

γαῖα γὰρ αἰδομένη λιτῷ μέγαν ἀνέρα χῶσαι
σήματι, τῷ πόντῳ μᾶλλον ἔδωκεν ἔχειν.

592. [ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.]

Αὐτὸς ἄναξ νεμέσησε πολυφλοίσβοισι θαλάσσης
κύμασιν, Ὑπατίου σῶμα καλυψαμένοις·
ἤθελε γάρ μιν ἔχειν γέρας ὕστατον, οἷα θανόντα,
καὶ μεγαλοφροσύνης κρύψε θάλασσα χάριν.
ἔνθεν, πρηΰνόου κραδίης μέγα δεῖγμα, φαεινὸν
τίμησεν κενεῷ σήματι τῷδε νέκυν.

593. ΤΟΥ ΑΥΤΟΥ.

Τὰν πάρος ἀνθήσασαν ἐν ἀγλαΐᾳ καὶ ἀοιδᾷ,
τὰν πολυκυδίστου μνάμονα θεσμοσύνας,
Εὐγενίαν κρύπτει χθονία κόνις· αἱ δ' ἐπὶ τύμβῳ
κείραντο πλοκάμους Μοῦσα, Θέμις, Παφίη.

594. ΙΟΥΛΙΑΝΟΥ ΑΙΓΥΠΤΙΟΥ.

Μνῆμα σόν, ὦ Θεόδωρε, πανατρεκές, οὐκ ἐπὶ τύμβῳ,
ἀλλ' ἐνὶ βιβλιακῶν μυριάσιν σελίδων,
αἷσιν ἀνεζώγρησας ἀπολλυμένων, ἀπὸ λήθης
ἁρπάξας, νοερῶν μόχθον ἀοιδοπόλων.

595. ΤΟΥ ΑΥΤΟΥ.

Κάτθανε μὲν Θεόδωρος· ἀοιδοπόλων δὲ παλαιῶν
πληθὺς οἰχομένη νῦν θάνεν ἀτρεκέως.
πᾶσα γὰρ ἀμπνείοντι συνέπνεε, πᾶσα δ' ἀπέσβη
σβεννυμένου· κρύφθη δ' εἰν ἑνὶ πάντα τάφῳ.

596. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Ναὶ μὰ τὸν ἐν γαίῃ πύματον δρύμον, οὔτ' ἔμ' ἄκοιτις
ἔστυγεν, οὔτ' αὐτὸς Θεύδοτος Εὐγενίης

ἐχθρὸς ἑκὼν γενόμην. ἀλλὰ φθόνος ἠέ τις ἄτη
ἡμέας ἐς τόσσην ἤγαγεν ἀμπλακίην.
νῦν δ' ἐπὶ Μινῴην καθαρὴν κρηπῖδα μολόντες
ἀμφότεροι λευκὴν ψῆφον ἐδεξάμεθα.

597. ΙΟΥΛΙΑΝΟΥ ΑΙΓΥΠΤΙΟΥ.

Ἡ γλυκερὸν μέλψασα καὶ ἄλκιμον, ἡ θρόον αὐδῆς
μούνη θηλυτέρης στήθεσι ῥηξαμένη,
κεῖται σιγαλέη· τόσον ἔσθενε νήματα Μοίρης,
ὡς λιγυρὰ κλεῖσαι χείλεα Καλλιόπης.

598. ΤΟΥ ΑΥΤΟΥ.

Οὔτε φύσις θήλεια, καὶ οὐ πολιοῖο καρήνου
ἀδρανίη φωνῆς σῆς κατέλυσε βίην·
ἀλλὰ μόλις ξυνοῖσι νόμοις εἴξασα τελευτῆς,
φεῦ, φεῦ, Καλλιόπη, σὴν κατέλυσας ὄπα.

599. ΤΟΥ ΑΥΤΟΥ.

Οὔνομα μὲν ΚΑΛΗ, φρεσὶ δὲ πλέον ἠὲ προσώπῳ,
κάτθανε· φεῦ, Χαρίτων ἐξαπόλωλεν ἔαρ.
καὶ γὰρ ἔην Παφίῃ πανομοίϊος, ἀλλὰ συνεύνῳ
μούνῳ· τοῖς δ' ἑτέροις Παλλὰς ἐρυμνοτάτη.
τίς λίθος οὐκ ἐγόησεν, ὅτ' ἐξήρπαξεν ἐκείνην
εὐρυβίης Ἀΐδης ἀνδρὸς ἀπ' ἀγκαλίδων;

600. ΤΟΥ ΑΥΤΟΥ.

Ὥριος εἷλέ σε παστάς, ἀώριος εἷλέ σε τύμβος,
εὐθαλέων Χαρίτων ἄνθος, Ἀναστασίη.
σοὶ γενέτης, σοὶ πικρὰ πόσις κατὰ δάκρυα λείβει,
σοὶ τάχα καὶ πορθμεὺς δακρυχέει νεκύων.

οὐ γὰρ ὅλον λυκάβαντα διήνυσας ἄγχι συνεύνου,
ἀλλ' ἑκκαιδεκέτιν, φεῦ, κατέχει σε τάφος.

601. ΤΟΥ ΑΥΤΟΥ.

Φεῦ, φεῦ, ἀμετρήτων χαρίτων ἔαρ ἡδὺ μαραίνει
ἀμφὶ σοὶ ὠμοφάγων χεῖμα τὸ νερτερίων.
καὶ σὲ μὲν ἥρπασε τύμβος ἀπ' ἠελιώτιδος αἴγλης,
πέμπτον ἐφ' ἑνδεκάτῳ πικρὸν ἄγουσαν ἔτος·
σὸν δὲ πόσιν, γενέτην τε κακοῖς ἀλάωσεν ἀνίαις,
οἷς πλέον ἠελίου λάμπες, Ἀναστασίη.

602. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Εὐστάθιε, γλυκερὸν μὲν ἔχεις τύπον· ἀλλά σε κηρὸν
δέρκομαι, οὐδ' ἔτι σοι κεῖνο τὸ λαρὸν ἔπος
ἕζεται ἐν στομάτεσσι· τεὴ δ' εὐάνθεμος ἥβη,
αἴ, αἴ, μαψιδίη νῦν χθονός ἐστι κόνις.
πέμπτου καὶ δεκάτου γὰρ ἐπιψαύσας ἐνιαυτοῦ
τετράκις ἓξ μούνους ἔδρακες ἠελίους.
οὐδὲ τεοῦ πάππου θρόνος ἤρκεσεν, οὐ γενετῆρος
ὄλβος. πᾶς δὲ τεὴν εἰκόνα δερκόμενος
τὴν ἄδικον Μοῖραν καταμέμφεται, οὕνεκα τοίην,
ἆ μέγα νηλειής, ἔσβεσεν ἀγλαΐην.

603. ΙΟΥΛΙΑΝΟΥ ΑΠΟ ΥΠ. ΑΙΓ.

Ἄγριός ἐστι Χάρων. πλέον ἤπιος. ἥρπασεν ἤδη
τὸν νέον. ἀλλὰ νόῳ τοῖς πολιοῖσιν ἴσον.
τερπωλῆς δ' ἀπέπαυσεν. ἀπεστυφέλιξε δὲ μόχθων.
οὐκ ἐνόησε γάμους. οὐδὲ γάμων ὀδύνας.

604. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Λέκτρα σοι ἀντὶ γάμων ἐπιτύμβια, παρθένε κούρη,
ἐστόρεσαν παλάμαις πενθαλέαις γενέται.

Hosted by Google

καὶ σὺ μὲν ἀμπλακίας βιότου καὶ μόχθον Ἐλευθοῦς
ἔκφυγες· οἱ δὲ γόων πικρὸν ἔχουσι νέφος.
δωδεκέτιν γάρ μοῖρα, Μακηδονιη, σε καλύπτει,
κάλλεσιν ὁπλοτέρην, ἤθεσι γηραλέην.

605. ΙΟΥΛΙΑΝΟΥ ΑΠΟ ΥΠ. ΑΙΓ.

Σοὶ σορὸν εὐλάϊγγα, Ῥοδοῖ, καὶ τύμβον ἐγείρει,
ῥύσιά τε ψυχῆς δῶρα πένησι νέμει,
ἀντ' εὐεργεσίης, γλυκερὸς πόσις· ὅττι θανοῦσα
ὠκύμορος, κείνῳ δῶκας ἐλευθερίην.

606. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Πρηΰς, ἐλευθερίην ἐπιειμένος, ἡδὺς ἰδέσθαι,
ἐν βιότῳ προλιπὼν υἱέα γηροκόμον,
τύμβον ἔχει Θεόδωρος ἐπ' ἐλπίδι κρέσσονι μοίρης,
ὄλβιος ἐν καμάτοις, ὄλβιος ἐν θανάτῳ.

607. ΠΑΛΛΑΔΑ ΑΛΕΞΑΝΔΡΕΩΣ.

Ψυλλὼ πρεσβυγενὴς τοῖς κληρονόμοις φθονέσασα,
αὐτὴ κληρονόμος τῶν ἰδίων γέγονεν.
ἁλλομένη δὲ τάχος κατέβη δόμον εἰς Ἀΐδαο,
ταῖς δαπάναις τὸ ζῆν σύμμετρον εὑρομένη.
πάντα φαγοῦσα βίον συναπώλετο ταῖς δαπάναισιν
ἥλατο δ' εἰς Ἀΐδην, ὡς ἀπεκερμάτισεν.

608. ΕΥΤΟΛΜΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Υἱέος ὠκυμόρου θάνατον πενθοῦσα Μενίππη
κωκυτῷ μεγάλῳ πνεῦμα συνεξέχεεν·
οὐδ' ἔσχεν παλίνορσον ἀναπνεύσασα γοῆσαι,
ἀλλ' ἅμα καὶ θρήνου παύσατο καὶ βιότου.

Hosted by Google

609. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤ.

Ἀττικὸς ἐς ξυνὴν με παναγρέος ἐλπίδα Μοίρης
θυμῷ θαρσαλέῳ ζῶν ἐλάχηνε τάφον,
παίζων ἐξ ἀρετῆς θανάτου φόβον. ἀλλ' ἐπὶ δηρὸν
ἠέλιος σοφίης μιμνέτω ἠελίῳ.

610. ΠΑΛΛΑΔΑ ΑΛΕΞΑΝΔΡ.

Ἥρπασέ τις νύμφην, καὶ τὸν γάμον ἥρπασε δαίμων,
ψυχῶν συλήσας τερπομένην ἀγέλην.
εἷς γάμος εἰκοσιπέντε τάφους ἔπλησε θανόντων,
πάνδημος δὲ νεκρῶν εἷς γέγονεν θάλαμος.
νύμφη Πενθεσίλεια πολύστονε, νυμφίε Πενθεῦ,
ἀμφοτέρων ὁ γάμος πλούσιος ἐν θανάτοις.

611. ΕΥΤΟΛΜΙΟΥ ΣΧΟΛ. ΙΛΛΟΥΣΤΡΙΟΥ.

Παρθενικὴν Ἑλένην μετ' ἀδελφεὸν ἄρτι θανόντα
δειλαίη μήτηρ κόψατο διπλασίως.
μνηστῆρες δ' ἐνόησαν ἴσον γόον· ἦν γὰρ ἑκάστῳ
θρηνεῖν τὴν μήπω μηδενὸς ὡς ἰδίην.

612. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤ.

Φεῦ, φεῦ, τὴν δεκάτην Ἑλικωνίδα, τὴν λυραοιδὸν
Ῥώμης καὶ Φαρίης, ἥδε κέκευθε κόνις.
ὤλετο φορμίγγων τερετίσματα, λῆξαν ἀοιδαί,
ὥσπερ Ἰωάννῃ πάντα συνολλύμενα.
καὶ τάχα θεσμὸν ἔθηκαν ἐπάξιον ἐννέα Μοῦσαι,
τύμβον Ἰωάννης ἀνθ' Ἑλικῶνος ἔχειν

613. ΔΙΟΓΕΝΟΥΣ ΕΠΙΣΚΟΠΟΥ.

Σοὶ τόδε, Διόγενες, θαλερῆς μνημήϊον ἥβης
Πόντῳ ἐν Εὐξείνῳ θήκατο Φρὶξ γενέτης.

φεῦ, πάτρης ἑκὰς ὅσσον. ἄγεν δέ σε νεῦμα θεοῖο,
πατρὸς ἀδελφειῷ πένθος ὀφειλόμενον,
ὅς σε περιστείλας ἱερῇ παλάμῃ τε καὶ εὐχῇ,
γείτονα τῆς μακάρων θῆκε χοροστασίης.

## 614. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤ.

Ἑλλανὶς τριμάκαιρα, καὶ ἁ χαρίεσσα Λάμαξις
ἤστην μὲν πάτρας φέγγεα Λεσβιάδος.
ὅκκα δ' Ἀθηναίῃσι σὺν ὁλκάσιν ἐνθάδε κέλσας
τὰν Μιτυληναίαν γᾶν ἀλάπαξε Πάχης,
τᾶν κουρᾶν ἀδίκως ἠράσσατο, τὼς δὲ συνεύνως
ἔκτανεν, ὡς τήνας τῇδε βιησόμενος.
ταὶ δὲ κατ' Αἰγαίοιο ῥόου πλατὺ λαῖτμα φερέσθην,
καὶ ποτὶ τὰν κραναὰν Μοψοπίαν δραμέτην·
δάμῳ δ' ἀγγελέτην ἀλιτήμονος ἔργα Πάχητος,
μέσφα μιν εἰς ὀλοὴν κῆρα συνηλασάτην.
τοῖα μέν, ὦ κούρα, πεπονήκατον· ἄψ δ' ἐπὶ πάτραν
ἥκετον, ἐν δ' αὐτᾷ κεῖσθον ἀποφθιμένα·
εὖ δὲ πόνων ἀπόνασθον, ἐπεὶ ποτὶ σᾶμα συνεύνων
εὕδετον, ἐς κλεινᾶς μνᾶμα σαοφροσύνας·
ὑμνεῦσιν δ' ἔτι πάντες ὁμόφρονας ἡρωΐνας,
πάτρας καὶ ποσίων πήματα τισαμένας.

## 615. ΑΔΕΣΠΟΤΟΝ.

Εὐμόλπου φίλον υἱὸν ἔχει τὸ Φαληρικὸν οὖδας,
Μουσαίου φθιμένου σῶμ' ὑπὸ τῷδε τάφῳ.

## 616. ΑΛΛΟ.

Ὧδε Λίνον Θηβαῖον ἐδέξατο γαῖα θανόντα
Μούσης Οὐρανίης υἱὸν ἐϋστεφάνου.

Hosted by Google

## 617. ΑΛΛΟ.

Θρήϊκα χρυσολύρην τῇδ' Ὀρφέα Μοῦσαι ἔθαψαν,
ὃν κτάνεν ὑψιμέδων Ζεὺς ψολόεντι βέλει.

## 618. ΑΛΛΟ.

Ἄνδρα σοφὸν Κλεόβουλον ἀποφθίμενον καταπενθεῖ
ἥδε πάτρα Λίνδος πόντῳ ἀγαλλομένη.

## 619. ΑΛΛΟ.

Πλούτου καὶ σοφίας πρύτανιν πατρὶς ἥδε Κόρινθο
κόλποις ἀγχίαλος γῆ Περίανδρον ἔχει.

## 620. ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ.

Μήποτε λυπήσῃ σε τὸ μὴ σε τυχεῖν τινος, ἀλλὰ
τέρπεο πᾶσιν ὁμῶς οἷσι δίδωσι θεός·
καὶ γὰρ ἀθυμήσας ὁ σοφὸς Περίανδρος ἀπέσβη,
οὕνεκεν οὐκ ἔτυχεν πρήξιος ἧς ἔθελεν.

## 621. ΑΔΕΣΠΟΤΟΝ.

Ἐνθάδ' ἐγὼ Σοφοκλῆς στυγερὸν δόμον Ἄϊδος ἔσβην
κάμμορος, εἴδατι Σαρδῴῳ σελίνοιο γελάσκων.
ὣς μὲν ἐγών, ἕτεροι δ' ἄλλως· πάντες δέ τε πάντως

## 622. ΑΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ.

Βόρχος ὁ βουποίμην ὅτ' ἐπὶ γλυκὺ κηρίον εἷρπεν,
αἰγίλιπα σχοίνῳ πέτρον ἐπερχόμενος,
εἵπετό οἱ σκυλάκων τις ὁ καὶ βοσίν, ὃς φάγε λεπτὴ
σχοῖνον ἀνελκομένῳ χραινομένην μέλιτι
κάππεσε δ' εἰς ἀΐδαο· τὸ δ' ἀτρυγὲς ἀνδράσιν ἄλλοι
κεῖνο μέλι, ψυχῆς ὤνιον εἰρύσατο.

Hosted by Google

### 623. *ΑΙΜΙΛΙΑΝΟΥ.*

Ἕλκε, τάλαν, παρὰ μητρὸς ὃν οὐκέτι μαζὸν ἀμέλξεις
    ἕλκυσον ὑστάτιον νᾶμα καταφθιμένης·
ἤδη γὰρ ξιφέεσσι λιπόπνοος· ἀλλὰ τὰ μητρὸς
    φίλτρα καὶ εἰν Ἀΐδῃ παιδοκομεῖν ἔμαθεν.

### 624. *ΔΙΟΔΩΡΟΥ.*

Ἔῤῥοις Ἰονίοιο πολυπτοίητε θάλασσα,
    νηλής, Ἀΐδεω πορθμὲ κελαινοτάτου,
ἣ τόσσους κατέδεξο. τίς ἂν τεὰ κάμμορε λέξαι
    αἴσυλα, δυστήνων αἶσαν ὀπιζόμενος;
Αἰγέα καὶ Λαβέωνα σὺν ὠκυμόροισιν ἑταίροις
    νηΐ τε σὺν πάσῃ βρύξας ἁλιῤῥοθίῃ.

### 625. *ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.*

Εἰδότα κἠπ' Ἄτλαντα τεμεῖν πόρον, εἰδότα Κρήτης
    κύματα καὶ πόντου ναυτιλίην μέλανος,
Καλλιγένευς Διόδωρον Ὀλύνθιον ἴσθι θανόντα
    ἐν λιμένι, πρώρης νύκτερον ἐκχύμενον,
δαιτὸς ἐπεὶ τὸ περισσὸν ἀπήμεεν. ἆ πόσον ὕδωρ
    ὤλεσε τὸν τόσσῳ κεκριμένον πελάγει.

### 626. *ΑΔΕΣΠΟΤΟΝ.*

Ἐσχατιαὶ Λιβύων Νασαμωνίδες, οὐκέτι θηρῶν
    ἔθνεσιν ἠπείρου νῶτα βαρυνόμεναι,
οὔ τοι ἐρημαίαισιν ἐπὶ πτήσσεσθε λεόντων
    ὠρυγαῖς ψαμάθους ἄχρις ὑπὲρ Νομάδων·
φῦλον ἐπεὶ νήριθμον ἐν ἰχνοπέδαισιν ἀγρευθὲν
    ἐς μίαν αἰχμηταῖς Καῖσαρ ἔθηκεν ὁ παῖς·
αἱ δὲ πρὶν ἀγραύλων ἐγκοιτάδες ἀκρώρειαι
    θηρῶν, νῦν ἀνδρῶν εἰσὶ βοηλασίαι.

627. ΔΙΟΔΩΡΟΥ.

Ἡμιτελῆ θάλαμόν τε, καὶ ἐγγύθι νυμφικὰ λέκτρα,
κοῦρε, λιπών, ὀλοὴν οἶμον ἔβης Ἀΐδου.
Θώνιον Ἀστακίην δὲ μάλ' ἤκαχες, ἥ σε μάλιστα
οἰκτρὰ τὸν ἡβητὴν κώκυεν ἠΐθεον,
Ἱππάρχου κλαίουσα κακὸν μόρον, εἴκοσι ποίας
μοῦνον ἐπεὶ βιότου πλήσαο καὶ πίσυρας.

622. ΚΡΙΝΑΓΟΡΟΥ.

Ἠρνήσαντο καὶ ἄλλαι ἑὸν πάρος οὔνομα νῆσοι
ἀκλεές, ἐς δ' ἀνδρῶν ἦλθον ὁμωνυμίην.
κληθείητε καὶ ὔμμες ἘΡΩΤΙΔΕΣ. οὐ νέμεσίς τοι
* ἕξει ταύτην κλῆσιν ἀμειψαμέναις.
παιδὶ γάρ, ὃν τύμβῳ δίης ὑπεθήκατε βώλου,
οὔνομα καὶ μορφὴν αὐτὸς ἔδωκεν ἜΡΩΣ.
ὦ χθὼν σηματόεσσα, καὶ ἡ παρὰ θινὶ θάλασσα,
παιδὶ σὺ μὲν κούφη κεῖσο, σὺ δ' ἡσυχίη.

629. ΑΝΤΙΠΑΤΡΟΥ.

Ἦ χθαμαλὴν ὑπέδυς ὁ τόσος κόνιν; εἰς σέ τις ἀθρῶν,
Σώκρατες, Ἑλλήνων μέμψεται ἀκρισίην·
νηλέες, οἳ τὸν ἄριστον ἀπώλεσαν, οὐδὲ ἓν αἰδοῖ
δόντες. τοιοῦτοι πολλάκι Κεκροπίδαι.

630. ΑΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ.

Ἤδη που πάτρης πελάσας σχεδόν, αὔριον, εἶπον,
ἡ μακρὴ κατ' ἐμοῦ δυσπλοΐη κοπάσει·
οὔπω χεῖλος ἔμυσε, καὶ ἦν ἴσος Ἀΐδι πόντος,
καί με κατέτρυχεν κεῖνο τὸ κοῦφον ἔπος.
πάντα λόγον πεφύλαξο τὸν ἌΥΡΙΟΝ· οὐδὲ τὰ μικρὰ
λήθει τὴν γλώσσης ἀντίπαλον Νέμεσιν.

Hosted by Google

## 631. ΑΠΟΛΛΩΝΙΔΟΥ.

Ἦν ἄρα Μιλήτου Φοιβήϊον [ὅρμον] ἵκησθε,
λέξατε Διογένει πένθιμον ἀγγελίην,
παῖς ὅτι οἱ ναυηγὸς ὑπὸ χθονὶ κεύθεται Ἄνδρου
Δίφιλος, Αἰγαίου κῦμα πιὼν πελάγευς.

## 632. ΔΙΟΔΩΡΟΥ.

Κλίμακος ἐξ ὀλίγης ὀλίγον βρέφος ἐν Διοδώρου
κάππεσεν, ἐκ δ' ἐάγη καίριον ἀστράγαλον,
δινηθεὶς προκάρηνος. ἐπεὶ δ' ἴδε θεῖον ἄνακτα
ἀντόμενον, παιδνὰς αὐτίκ' ἔτεινε χέρας.
ἀλλὰ σὺ νηπιάχου δμωός, κόνι, μήποτε βρίθειν
ὀστέα, τοῦ διετοῦς φειδομένη Κόρακος.

## 633. ΚΡΙΝΑΓΟΡΟΥ.

Καί ῥ' αὐτή γ' ἤχλυσεν ἀκρέσπερος ἀντέλλουσα
Μήνη, πένθος ἑὸν νυκτὶ καλυψαμένη,
οὕνεκα τὴν χαρίεσσαν ὁμώνυμον εἶδε Σελήνην
ἄπνουν εἰς ζοφερὸν δυομένην Ἀΐδην.
κείνῃ γὰρ καὶ κάλλος ἑοῦ κοινώσατο φωτός,
καὶ θάνατον κείνης μῖξεν ἑῷ κνέφεϊ.

## 634. ΤΟΥ ΑΥΤΟΥ.

Νεκροδόκον κλιντῆρα Φίλων ὁ πρέσβυς ἀείρων
* ἔνδον ὄφρα λάβοι μισθὸν ἐφημέριον,
σφάλματος ἐξ ὀλίγοιο πεσὼν θάνεν· ἦν γὰρ ἕτοιμος
εἰς Ἀΐδην, ἐκάλει δ' ἡ πολιὴ πρόφασιν.
ὃν δ' ἄλλοις ἐφόρει νεκυοστόλον, αὐτὸς ἐφ' αὑτῷ
ἀσκάντην ὁ γέρων ἀχθοφορῶν ἔλαθεν.

Hosted by Google

### 635. ΤΟΥ ΑΥΤΟΥ.

*Ναῦν Ἱεροκλείδης ἔσχεν σύγγηρον, ὁμόπλουν,*
*τὴν αὐτὴν ζωῆς καὶ θανάτου σύνοδον.*
*πιστὴν ἰχθυβολεῦντι συνέμπορον· οὔτις ἐκείνης*
*πώποτ᾽ ἐπέπλωσεν κῦμα δικαιοτέρη.*
*γήραος ἄχρις ἔβοσκε πονευμένη· εἶτα θανόντα*
*ἐκτέρισεν· συνέπλω δ᾽ ἄχρι καὶ Ἀΐδεω.*

### 636. ΚΡΙΝΑΓΟΡΟΥ.

*Ποιμὴν ὦ μάκαρ, εἴθε κατ᾽ οὔρεος ἐπροβάτευον*
*κἠγώ, ποιηρὸν τοῦτ᾽ ἀνὰ λευκόλοφον,*
*κριοῖς ἁγητῆρσί ποτε βληχήμενα βάζων,*
*ἢ πικρῇ βάψαι νήοχα πηδάλια*
*ἅλμῃ. τοιγὰρ ἔδυν ὑποβένθιος· ἀμφὶ δὲ ταύτην*
*θῖνά με ῥοιβδήσας Εὖρος ἐφωρμίσατο.*

### 637. ΑΝΤΙΠΑΤΡΟΥ.

*Πύῤῥος ὁ μουνερέτης ὀλίγῃ νηῒ λεπτὰ ματεύων*
*φυκία, καὶ τριχίνης μαινίδας ἐκ καθέτης,*
*ἠϊόνων ἀποτῆλε τυπεὶς κατέδουπε κεραυνῷ·*
*νηῦς δὲ πρὸς αἰγιαλοὺς ἔδραμεν αὐτομάτη*
*ἀγγελίην θείῳ καὶ λιγνύϊ μηνύουσα,*
*καὶ φράσεν· Ἀργῴην κοὐκ ἐπόθησε τρόπιν.*

### 638. ΚΡΙΝΑΓΟΡΟΥ.

*Παίδων ἀλλαχθέντι μόρῳ ἔπι, τοῦτ᾽ ἐλεεινὴ*
*μήτηρ, ἀμφοτέρους, εἶπε, περισχομένη·*
*Καὶ νέκυν οὐ σέο, τέκνον, ἐπ᾽ ἤματι τῷδε γοήσειν*
*ἤλπισα, καὶ ζωοῖς οὐ σὲ μετεσσόμενον*
*ὄψεσθαι. νῦν δ᾽ οἱ μὲν ἐς ὑμέας ἠμείφθησαν*
*δαίμονες· ἄψευστον δ᾽ ἵκετο πένθος ἐμοί.*

Hosted by Google

## 639. *ΑΝΤΙΠΑΤΡΟΥ.*

*Πᾶσα θάλασσα θάλασσα· τί Κυκλάδας, ἢ στενὸν Ἕλλης*
*κῦμα, καὶ Ὀξείας ἠλεὰ μεμφόμεθα;*
*ἄλλως τοὔνομ' ἔχουσιν· ἐπεὶ τί με, τὸν προφυγόντα*
*κεῖνα, Σκαρφαιεὺς ἀμφεκάλυψε λιμήν;*
*νόστιμον εὐπλοΐην ἀρῷτό τις· ὡς τά γε πόντου*
*πόντος, ὁ τυμβευθεὶς οἶδεν Ἀρισταγόρης.*

## 640. *ΤΟΥ ΑΥΤΟΥ.*

*Ῥιγηλὴ ναύταις ἐρίφων δύσις, ἀλλὰ Πύρωνι*
*πουλὺ γαληναίη χείματος ἐχθροτέρη.*
*νῆα γὰρ ἀπλοΐῃ πεπεδημένου ἔφθασε ναύταις*
*ληϊστέων ταχινὴ δίκροτος ἐσσυμένη·*
*χεῖμα δέ μιν προφυγόντα γαληναίῳ ὑπ' ὀλέθρῳ*
*ἔκτανον· ἆ λυγρῆς δειλὲ καχορμισίης.*

## 641. *ΑΝΤΙΦΙΛΟΥ.*

*Σῆμα δυωδεκάμοιρον ἀφεγγέος ἠελίοιο,*
*τρισσάκις ἀγλώσσῳ φθεγγόμενον στόματι,*
*εὖτ' ἂν θλιβομένοιο ποτὶ στενὸν ὕδατος ἀὴρ*
*αὐλὸν ἀποστείλῃ πνεῦμα διωλύγιον,*
*θῆκεν Ἀθηναῖος δήμῳ χάριν, ὡς ἂν ἐναργὴς*
*εἴη κὴν φθονεραῖς ἠέλιος νεφέλαις.*

## 642. *ΑΠΟΛΛΩΝΙΔΟΥ.*

*Ἕβρου καὶ Δήλοιο κλύδων μέσος υἷα Μενοίτην*
*σὺν φόρτῳ Σαμίου κρύψε Διοφανέος,*
*εἰς ὅσιον σπεύδοντα πλόου τάχος. ἀλλὰ θάλασσα*
*ἐχθρὴ καὶ νούσῳ πατρὸς ἐπειγομένοις.*

643. ΚΡΙΝΑΓΟΡΟΥ.

Ὑμνίδα τὴν Εὐάνδρου, ἐράσμιον αἰὲν ἄθυρμα
 οἰκογενές, κούρην αἱμύλον εἰναέτιν,
ἥρπασας, ὦ ἄλλιστ᾽ Ἀΐδη· τί πρόωρον ἐφιεὶς
 μοῖραν τῇ πάντως σεῖό ποτ᾽ ἐσσομένῃ;

644. ΒΙΑΝΟΡΟΣ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Ὕστατον ἐθρήνησε τὸν ὠκύμορον Κλεαρίστη
 παῖδα, καὶ ἀμφὶ τάφῳ πικρὸν ἔπαυσε βίον.
κωκύσασα γὰρ ὅσσον ἐχάνδανε μητρὸς ἀνίη,
 οὐκέτ᾽ ἐπιστρέψαι πνεύματος ἔσχε τόνους.
θηλύτεραι, τί τοσοῦτον ἐμετρήσασθε τάλαιναι
 θρῆνον, ἵνα κλαύσητ᾽ ἄχρι καὶ Ἀΐδεω;

645. ΚΡΙΝΑΓΟΡΟΥ.

Ὦ δύστην᾽ ὄλβοιο Φιλόστρατε, ποῦ σοι ἐκεῖνα
 σκῆπτρα, καὶ αἱ βασιλέων ἄφθονοι εὐτυχίαι,
αἷσιν ἐπηώρησας ἀεὶ βίον; ἢ ἐπὶ Νείλῳ
 κεῖσαι Ἰουδαίοις ὢν περίοπτος ὅροις.
ὀθνεῖοι καμάτους τοὺς σοὺς διεμοιρήσαντο,
 σὸς δὲ νέκυς ψαφαρῇ κείσετ᾽ ἐν ὀστρακίνῃ.

646. ΑΝΥΤΗΣ.

Λοίσθια δὴ τάδε πατρὶ φίλῳ περὶ χεῖρε βαλοῦσα
 εἶπ᾽ Ἐρατώ, χλωροῖς δάκρυσι λειβομένα·
ὦ πάτερ, οὔ τοι ἔτ᾽ εἰμί, μέλας δ᾽ ἐμὸν ὄμμα καλύπτει
 ἤδη ἀποφθιμένης κυάνεον θάνατος.

647. ΣΙΜΩΝΙΔΟΥ οἱ δὲ ΣΙΜΜΙΟΥ.

Ὕστατα δὴ τάδ᾽ ἔειπε φίλην ποτὶ μητέρα Γοργὼ
 δακρυόεσσα, δέρης χερσὶν ἐφαπτομένα·

Hosted by Google

αὖθι μένοις παρὰ πατρί, τέκοις δ' ἐπὶ λῴονι μοίρᾳ
ἄλλαν, σῷ πολιῷ γήραϊ καδεμόνα.

## 648. ΛΕΩΝΙΔΑ ΤΑΡΑΝΤΙΝΟΥ.

Ἐσθλὸς Ἀριστοκράτης, ὅτ' ἀπέπλεεν εἰς Ἀχέροντα,
εἶπ' ὀλιγοχρονίης ἁψάμενος κεφαλῆς·
παίδων τις μνήσαιτο, καὶ ἑδνώσαιτο γυναῖκα,
εἰ καί μιν δάκνοι δυςβίοτος πενίη.
ζωὴν στυλώσαιτο· κακὸς δ' ἄστυλος ἰδέσθαι
οἶκος· ὁ δ' αὖ λῷστος τ' ἀνέρος ἐσχαρεὼν
εὐκίων φαίνοιτο, καὶ ἐν πολυκαέϊ ὄγκῳ
ἐνστῇ, αὐγάζων δαλὸν ἐπεσχάριον.
ᾔδει Ἀριστοκράτης τὸ κρήγυον· ἀλλὰ γυναικῶν,
ὤνθρωπ', ἤχθαιρεν τὴν ἀλιτοφροσύνην.

## 649. ΑΝΥΤΗΣ.

Ἀντί τοι εὐλεχέος θαλάμου, σεμνῶν θ' ὑμεναίων
μάτηρ στῆσε τάφῳ τῷδ' ἐπὶ μαρμαρίνῳ
παρθενικάν, μέτρον τε τεὸν καὶ κάλλος ἐχοῖσαν,
Θέρσι· ποτιφθέγκτα δ' ἔπλεο καὶ φθιμένα.

## 650. ΦΛΑΚΚΟΥ ἢ ΦΑΛΑΙΚΟΥ.

Φεῦγε θαλάσσια ἔργα, βοῶν δ' ἐπιβάλλευ ἐχέτλῃ,
εἴ τί τοι ἡδὺ μακρῆς πείρατ' ἰδεῖν βιοτῆς·
ἠπείρῳ γὰρ ἔνεστι μακρὸς βίος· εἰν ἁλὶ δ' οὔ πως
εὐμαρὲς εἰς πολιὴν ἀνδρὸς ἰδεῖν κεφαλήν.

## 651. ΕΥΦΟΡΙΩΝΟΣ.

Οὐχ ὁ τρηχὺς * σελιθαῖος ἐπ' ὀστέα κεῖνα καλύπτει,
οὐδ' ἡ κυάνεον γράμμα λαβοῦσα πέτρη·
ἀλλὰ τὰ μὲν δολιχῆς τε καὶ αἰπεινῆς Δρακάνοιο
Ἰκάριον ῥήσσει κῦμα περὶ κροκάλαις·

Aa 2

ἀντὶ δ᾽ ἐγὼ ξενίης πολυμήδεος ἡ κενεὴ χθὼν
ὠγκώθην Δρυόπων διψάσιν ἐν βοτάναις.

## 652. ΛΕΩΝΙΔΑ ΤΑΡΑΝΤΙΝΟΥ.

Ἠχήεσσα θάλασσα, τί τὸν Τιμάρεος οὕτως
πλώοντ᾽ οὐ πολλῇ νηῒ Τελευταγόρην,
ἄγρια χειμήνασα, κατεπρηνώσαο πόντῳ
σὺν φόρτῳ, λάβρον κῦμ᾽ ἐπιχευαμένη;
χὠ μέν που καύηξι καὶ ἰχθυβόροις λαρίδεσσιν
τεθρήνητ᾽ ἄπνους εὐρεῖ ἐν αἰγιαλῷ·
Τιμάρης δὲ κενὸν τέκνου κεκλαυμένου ἀθρῶν
τύμβον, δακρύει παῖδα Τελευταγόρην.

## 653. ΠΑΓΚΡΑΤΟΥΣ.

Ὤλεσεν Αἰγαίου διὰ κύματος ἄγριος ἀρθεὶς
Λὶψ Ἐπιηρείδην Ὑάσι δυομέναις,
αὐτῇ οἱ σὺν νηῒ καὶ ἀνδράσιν: ᾧ τόδε σῆμα
δακρύσας κενεὸν παιδὶ πατὴρ ἔκαμεν.

## 654. ΛΕΩΝΙΔΑ ΤΑΡΑΝΤΙΝΟΥ.

Αἰεὶ λῃϊσταὶ καὶ ἁλιφθόροι, οὐδὲ δίκαιοι
Κρῆτες· τίς Κρητῶν οἶδε δικαιοσύνην;
ὥς καὶ ἐμὲ πλώοντα σὺν οὐκ εὐπίονι φόρτῳ
Κρηταιεῖς ὦσαν Τιμόλυτον καθ᾽ ἁλός,
δείλαιον. κἠγὼ μὲν ἁλιζώοις λαρίδεσσι
κέκλαυμαι, τύμβῳ δ᾽ οὐχ ὕπο Τιμόλυτος.

## 655. ΤΟΥ ΑΥΤΟΥ.

Ἀρκεῖ μοι γαίης μικρὴ κόνις· ἡ δὲ περισσὴ
ἄλλον ἐπιθλίβοι πλούσια κεκλιμένον

στήλη, τὸ σκληρὸν νεκρῶν βάρος, οἵ με θανόντα
γνώσοντ', Ἀλκάνδρῳ τοῦθ' ὅτι Καλλιτέλευς.

## 656. ΤΟΥ ΑΥΤΟΥ.

Τὴν ὀλίγην βῶλον, καὶ τοῦτ' ὀλιγήριον, ὦ 'νερ,
σῆμα ποτίφθεγξαι τλάμονος Ἀλκιμένευς,
εἰ καὶ πᾶν κέκρυπται ὑπ' ὀξείης παλιούρου
καὶ βάτου, ἥ ποτ' ἐγὼ δήϊος Ἀλκιμένης.

## 657. ΤΟΥ ΑΥΤΟΥ.

Ποιμένες, οἳ ταύτην ὄρεος ῥάχιν οἰοπολεῖτε,
αἶγας κεὐείρους ἐμβατέοντες ὄϊς,
Κλειταγόρῃ, πρὸς Γῆς, ὀλίγην χάριν, ἀλλὰ προσηνῆ
τίνοιτε, χθονίης εἵνεκα Φερσεφόνης.
βληχήσαιντ' ὄϊές μοι, ἐπ' ἀξέστοιο δὲ ποιμὴν
πέτρης συρίζοι πρηέα βοσκομέναις.
εἴαρι δὲ πρώτῳ λειμώνιον ἄνθος ἀμέρσας
χωρίτης στεφέτω τύμβον ἐμὸν στεφάνῳ,
καί τις ἀπ' εὐάρνοιο καταχραίνοιτο γάλακτι
οἰός, ἀμολγαῖον μαστὸν ἀνασχόμενος,
κρηπῖδ' ὑγραίνων ἐπιτύμβιον· εἰσὶ θανόντων,
εἰσὶν ἀμοιβαῖαι κἀν φθιμένοις χάριτες.

## 658. ΘΕΟΚΡΙΤΟΥ οἱ δὲ ΛΕΩΝΙΔΟΥ ΤΑΡΑΝΤ.

Γνώσομαι εἴ τι νέμεις ἀγαθοῖς πλέον, ἢ καὶ ὁ δειλὸς
ἐκ σέθεν ὡσαύτως ἶσον, ὁδοιπόρ', ἔχει.
χαιρέτω οὗτος ὁ τύμβος, ἐρεῖς, ἐπεὶ Εὐρυμέδοντος
κεῖται τῆς ἱερῆς κοῦφος ὑπὲρ κεφαλῆς.

Hosted by Google

## 659. ΤΟΥ ΑΥΤΟΥ.

Νήπιον υἱὸν ἔλειπες· ἐν ἡλικίῃ δὲ καὶ αὐτός,
Εὐρύμεδον, τύμβου τοῦδε θανὼν ἔτυχες.
σοὶ μὲν ἕδρη θείοισι παρ' ἀνδράσι· τὸν δὲ πολῖται
τιμησεῦντι, πατρὸς μνώμενοι ὡς ἀγαθοῦ.

## 660. ΛΕΩΝΙΔΑ ΤΑΡΑΝΤΙΝΟΥ.

Ξεῖνε, Συρακόσιός τοι ἀνὴρ τόδ' ἐφίεται Ὄρθων,
χειμερίας μεθύων μηδαμὰ νυκτὸς ἴοις·
καὶ γὰρ ἐγὼ τοιοῦτον ἔχω μόρον, ἀντὶ δὲ πολλῆς
πατρίδος, ὀθνείαν κεῖμαι ἐφεσσάμενος.

## 661. ΤΟΥ ΑΥΤΟΥ.

Εὐσθένεος τὸ μνῆμα· φυσιγνώμων ὁ σοφιστής,
δεινὸς ἀπ' ὀφθαλμοῦ καὶ τὸ νόημα μαθεῖν.
εὖ μιν ἔθαψαν ἑταῖροι ἐπὶ ξείνης ξένον ὄντα·
χ' ὑμνοθέτης αὐτοῖς δαιμονίως φίλος ὤν,
πάντων ὧν ἐπέοικε τύχεν· τεθνεὼς ὁ σοφιστὴς
καίπερ ἄκικυς ἐὼν εἶχ' ἄρα κηδεμόνας.

## 662. ΛΕΩΝΙΔΟΥ.

Ἡ παῖς ᾤχετ' ἄωρος ἐν ἑβδόμῳ ἤδ' ἐνιαυτῷ
εἰς Ἀίδην, πολλῆς ἡλικίης προτέρη,
δειλαία, ποθέουσα τὸν εἰκοσάμηνον ἀδελφόν,
νήπιον, ἀστόργου γευσάμενον θανάτου.
αἴ, αἴ, λυγρὰ παθοῦσα Περιστερί, ὡς ἐν ἑτοίμῳ
ἀνθρώποις δαίμων θῆκε τὰ δεινότατα.

Hosted by Google

## 663. *ΤΟΥ ΑΥΤΟΥ.*

*Ὁ μικκὸς τόδ' ἔτευξε τᾷ Θρεΐσσᾳ*
*Μήδειος τὸ μνᾶμ' ἐπὶ τᾷ ὁδῷ, κἠπέγραψε Κλείτας.*
*ἑξεῖ τὰν χάριν ἁ γυνὰ ἀντ' ἐκείνων*
*ὧν τὸν κῶρον ἔθρεψ'· ἔτυμ' ὧν ἔτι ΧΡΗΣΙΜΑ τελευτᾷ.*

## 664. *ΑΛΛΟ.*

*Ἀρχίλοχον καὶ στᾶθι καὶ εἴςιδε τὸν πάλαι ποιητάν,*
*τὸν τῶν ἰάμβων· οὗ τὸ μυρίον κλέος*
*διῆλθε κἠπὶ νύκτα καὶ ποτ' ἀῶ.*
*ἦ ῥά νιν αἱ Μοῦσαι καὶ ὁ Δάλιος ἠγάπευν Ἀπόλλων,*
*ὡς ἐμμελής τ' ἔγεντο κἠπιδέξιος*
*ἔπεά τε ποιεῖν, πρὸς λύραν τ' ἀείδειν.*

## 665. *ΤΟΥ ΑΥΤΟΥ ΛΕΩΝΙΔΟΥ.*

*Μήτε μακρῇ θαρσέων ναυτίλλεο, μήτε βαθείῃ*
*νηΐ· κρατεῖ παντὸς δούρατος εἷς ἄνεμος.*
*ὤλεσε καὶ Πρόμαχον πνοιὴ ἅμα, κῦμα δὲ ναύτας*
*ἀθρόον ἐς κοίλην ἐστυφέλιξεν ἅλα.*
*οὐ μήν οἱ δαίμων πάντη κακός· ἀλλ' ἐνὶ γαίῃ*
*πατρίδι καὶ τύμβου καὶ κτερέων ἔλαχεν*
*κηδεμόνων ἐν χερσίν, ἐπεὶ τρηχεῖα θάλασσα*
*νεκρὸν πεπταμένους θῆκεν ἐπ' αἰγιαλούς.*

## 666. *ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.*

*Οὗτος ὁ Λειάνδροιο διάπλοος, οὗτος ὁ πόντου*
*πορθμός, ὁ μὴ μούνῳ τῷ φιλέοντι βαρύς·*
*ταῦθ' Ἡροῦς τὰ πάροιθεν ἐπαύλια, τοῦτο τὸ πύργου*
*λείψανον, ὁ προδότης ὧδ' ἐπέκειτο λύχνος.*

Hosted by Google

κοινὸς δ᾽ ἀμφοτέρους ὅδ᾽ ἔχει τάφος, εἰςέτι καὶ νῦν
κείνῳ τῷ φθονερῷ μεμφομένους ἀνέμῳ.

## 667. ΑΔΕΣΠΟΤΟΝ.

Τίπτε μάτην γοόωντες ἐμῷ παραμίμνετε τύμβῳ;
οὐδὲν ἔχω θρήνων ἄξιον ἐν φθιμένοις.
λῆγε γόων, καὶ παῦε, πόσις, καὶ παῖδες ἐμεῖο
χαίρετε, καὶ μνήμην σώζετ᾽ Ἀμαζονίης.

## 668. ΛΕΩΝΙΔΟΥ.

Οὐδ᾽ εἴ μοι γελόωσα καταστορέσειε Γαλήνη
κύματα, καὶ μαλακὴν φρῖκα φέροι Ζέφυρος,
νηοβάτην ὄψεσθε· δέδοικα γὰρ οὓς πάρος ἔτλην
κινδύνους, ἀνέμοις ἀντικορυσσόμενος.

## 669. ΠΛΑΤΩΝΟΣ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

Ἀστέρας εἰςαθρεῖς Ἀστὴρ ἐμός. εἴθε γενοίμην
Οὐρανός, ὡς πολλοῖς ὄμμασιν εἰς σὲ βλέπω.

## 670. ΤΟΥ ΑΥΤΟΥ.

Ἀστὴρ πρὶν μὲν ἔλαμπες ἐνὶ ζωοῖσιν Ἑῷος·
νῦν δὲ θανὼν λάμπεις Ἕσπερος ἐν φθιμένοις.

## 671. ΑΔΗΛΟΝ οἱ δὲ ΒΙΑΝΟΡΟΣ.

Πάντα Χάρων ἄπληστε, τί τὸν νέον ἥρπασας αὕτως
Ἄτταλον; οὐ σὸς ἔην, κἂν θάνε γηραλέος;

## 672. ΑΔΕΣΠΟΤΟΝ.

Χθὼν μὲν ἔχει δέμας ἐσθλόν, ἔχει κλυτὸν οὐρανὸς ἦτορ

Ἀνδρέω ὃς Δαναοῖσι καὶ Ἰλλυριοῖσι δικάσσας,
οὐχ' ὁσίων κτεάνων καθαρὰς ἐφυλάξατο χεῖρας.

## 673. ΑΔΗΛΟΝ.

Εἰ γένος εὐσεβέων ζώει μετὰ τέρμα βίοιο,
ναιετάον κατὰ θεσμὸν ἀνὰ στόμα φωτὸς ἑκάστου,
Ἀνδρέα, σὺ ζώεις, οὐ κάτθανες· ἀλλά σε χῶρος
ἄμβροτος ἀθανάτων ἁγίων ὑπέδεκτο καμόντα.

## 674. ΑΔΡΙΑΝΟΥ.

Ἀρχιλόχου τόδε σῆμα, τὸν ἐς λυσσῶντας ἰάμβους
ἤγαγε Μαιονίδῃ Μοῦσα χαριζομένη.

## 675. ΛΕΩΝΙΔΟΥ.

Ἄτρομος ἐκ τύμβου λύε πείσματα ναυηγοῖο·
χἠμῶν ὀλλυμένων ἄλλος ἐνηοπόρει.

## 676. ΑΔΗΛΟΝ.

Δοῦλος Ἐπίκτητος γενόμην, καὶ σῶμ' ἀνάπηρος,
καὶ πενίην Ἶρος, καὶ φίλος ἀθανάτοις.

## 677. ΣΙΜΩΝΙΔΟΥ.

Μνῆμα τόδε κλεινοῖο Μεγιστίου, ὅν ποτε Μῆδοι
Σπερχειὸν ποταμὸν κτεῖναν ἀμειψάμενοι,
μάντιος, ὃς τότε κῆρας ἐπερχομένας σάφα εἰδώς,
οὐκ ἔτλη Σπάρτης ἡγεμόνας προλιπεῖν.

## 678. ΑΔΕΣΠΟΤΟΝ.

Πληρώσας στρατιὴν Σωτήριχος ἐνθάδε κεῖμαι,

## 686. *ΤΟΥ ΑΥΤΟΥ.*

*Γέσσιον ὡς ἐνόησεν ὁ Βαύκαλος ἄρτι θανόντα*
*χωλεύοντα πλέον, τοῖον ἔλεξεν ἔπος·*
*Γέσσιε, πῶς, τί παθὼν κατέβης δόμον Ἄϊδος εἴσω,*
*γυμνός, ἀκήδεστος, σχήματι καινοτάφῳ;*
*τὸν δὲ μέγ᾽ ὀχθήσας προσέφη καὶ Γέσσιος εὐθύς·*
*Βαύκαλε, τὸ στρῆνος καὶ θάνατον παρέχει.*

## 687. *ΤΟΥ ΑΥΤΟΥ.*

*Τὴν Ἀμμωνιακὴν ἀπάτην ὅτε Γέσσιος ἔγνω,*
*τοῦ ξενικοῦ θανάτου ἐγγύθεν ἐρχόμενος,*
*τὴν ἰδίαν γνώμην κατεμέμψατο, καὶ τὸ μάθημα,*
*καὶ τοὺς πειθομένους ἀστρολόγοις ἀλόγοις.*

## 688. *ΤΟΥ ΑΥΤΟΥ.*

*Οἱ δύο Κάλχαντες τὸν Γέσσιον ὤλεσαν ὅρκοις,*
*τῶν μεγάλων ὑπάτων θῶκον ὑποσχόμενοι.*
*ὦ γένος ἀνθρώπων ἀνεμώλιον, αὐτοχόλωτον.*
*μέχρι τέλους βιότου μηδὲν ἐπιστάμενον.*

## 689. *ΑΔΗΛΟΝ.*

*Ἐνθάδε σῶμα λέλοιπεν Ἀπελλιανὸς μέγ᾽ ἄριστος·*
*ψυχὴν δ᾽ ἐν χείρεσσιν ἑὴν παρακάτθετο Χριστῷ.*

## 690. *ΑΔΗΛΟΝ.*

*Οὐδὲ θανὼν κλέος ἐσθλὸν ἀπώλεσας ἐς χθόνα πᾶσαν*
*ἀλλ᾽ ἔτι σῆς ψυχῆς ἀγλαὰ πάντα μένει,*
*ὅσσ᾽ ἔλαχές τ᾽ ἔμαθές τε φύσει, μῆτιν πανάριστε·*
*τῷ ῥα καὶ ἐς μακάρων νῆσον ἔβης Πυθέα.*

Hosted by Google

## 691. ΑΔΕΣΠΟΤΟΝ.

Ἄλκηστις νέη εἰμί· θάνον δ' ὑπὲρ ἀνέρος ἐσθλοῦ,
Ζήνωνος, τὸν μοῦνον ἐνὶ στέρνοισιν ἐδέγμην,
ὃν φωτὸς γλυκερῶν τε τέκνων προὔκριν' ἐμὸν ἦτορ,
οὔνομα Καλλικράτεια, βροτοῖς πάντεσσιν ἀγαστή.

## 692. ΑΝΤΙΠΑΤΡΟΥ οἱ δὲ ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛ.

Γλύκων, τὸ Περγαμηνὸν Ἀσίδι κλέος,
ὁ παμμάχων κεραυνός, ὁ πλατὺς πόδας,
ὁ καινὸς Ἄτλας, αἵ τ' ἀνίκατοι χέρες
ἔρρουσι· τὸν δὲ πρόσθεν οὔτ' ἐν Ἰταλοῖς,
οὔθ' Ἑλλάδι * τὸ πρῶτον, οὔτ' ἐν Ἀσίδι,
ὁ πάντα νικῶν Ἀΐδης ἀνέτραπεν.

## 693. ΑΠΟΛΛΩΝΙΔΟΥ.

Γλῆνιν παρηονῖτις ἀμφέχω χερμάς,
πικρῇ κατασπασθέντα κύματος δίνῃ,
ὅτ' ἰχθυάζετ' ἐξ ἄκρης ἀπορρῶγος·
χῶσαν δέ μ' ὅσσος λαὸς ἦν συνεργήτης,
Πόσειδον, οὓς σὺ σῶζε, καὶ γαληναίην
αἰὲν διδοίης ὁρμιηβόλοις θῖνα.

## 694. ΑΔΔΑΙΟΥ.

Ἣν παρίῃς ἥρωα, Φιλοπρήγμων δὲ καλεῖται,
πρόσθε Ποτιδαίης κείμενον ἐν τριόδῳ,
εἰπεῖν οἷον ἐπ' ἔργον ἄγεις πόδας· εὐθὺς ἐκεῖνος
εὑρήσει σὺν σοὶ πρήξιος εὐκολίην.

Hosted by Google

## 695. ΑΔΕΣΠΟΤΟΝ.

Ὁρᾷς πρόσωπον Κασσίας τῆς σώφρονος.
εἰ καὶ τέθνηκε, ταῖς ἀρεταῖς γνωρίζεται
ψυχῆς τὸ κάλλος μᾶλλον ἢ * τοῦ προσώπου.

## 696. ΑΡΧΙΟΥ ΜΙΤΥΛΗΝΑΙΟΥ.

Αἰωρῇ θήρειον ἱμασσόμενος δέμας αὔραις
τλᾶμον, ἀορτηθεὶς ἐκ λασίας πίτυος,
αἰωρῇ· Φοίβῳ γὰρ ἀνάρσιον εἰς ἔριν ἔστης,
πρῶνα Κελαινίτην ναιετάων, Σάτυρε.
σεῦ δὲ βοὰν αὐλοῖο μελίβρομον οὐκέτι Νύμφαι,
ὡς πάρος, ἐν Φρυγίοις οὔρεσι πευσόμεθα.

## 697. ΧΡΙΣΤΟΔΩΡΟΥ.

Οὗτος Ἰωάννην κρύπτει τάφος, ὅς ῥ᾽ Ἐπιδάμνου
ἄστρον ἔην, ἣν πρὶν παῖδες ἀριπρεπέες
ἔκτισαν Ἡρακλῆος· ὅθεν καὶ μέρμερος ἥρως
αἰεὶ τῶν ἀδίκων σκληρὸν ἔκοπτε μένος.
εἶχε δ᾽ ἀπ᾽ εὐσεβέων προγόνων ἐρικυδέα πάτρην
Λυχνιδόν, ἣν Φοίνιξ Κάδμος ἔδειμε πόλιν.
ἔνθεν λύχνος ἔην Ἑλικώνιος, οὕνεκα Κάδμος
στοιχείων Δαναοῖς πρῶτος ἔδειξε τύπον.
εἰς ὑπάτους δ᾽ ἀνέλαμψε, καὶ Ἰλλυριοῖσι δικάζων,
Μούσας καὶ καθαρὴν ἐστεφάνωσε Δίκην.

## 698. ΧΡΙΣΤΟΔΩΡΟΥ.

Αὐτὸς Ἰωάννης Ἐπιδάμνιος ἐνθάδε κεῖται,
τηλεφανὴς ὑπάτων κόσμος ἀειφανέων·

Hosted by Google

ὃ γλυκύ μοι Μουσέων πετάσας φάος, ὃ πλέον ἄλλων
εὐρύνας ξενίου δαίμονος ἐργασίην,
παμφόρβην παλάμην κεκτημένος, ἥντινα μούνην
οὐκ ἴδε δωτίνης μέτρον ὁριζόμενον.
αἰπυτάτην δ᾽ ηὔξησε νόμος πατρίοισιν ἀπήνην,
φαιδρύνας καθαρῆς ἔργα Δικαιοσύνης·
ὢ πόποι, οὐκ ἔζησε πολὺν χρόνον· ἀλλ᾽ ἐνιαυτοὺς
μοῦνον ἀναπλήσας τεσσαράκοντα δύο,
ᾤχετο μουσοπόλοισι ποθὴν πάντεσσιν ἐάσας,
οὓς ἐπόθει πατέρων φέρτερα γειναμένων.

## 699. ΑΔΕΣΠΟΤΟΝ.

Ἰκάρου ὦ νεόφοιτον ἐς ἠέρα πωτηθέντος
Ἰκαρίη πικρῆς τύμβε κακοδρομίης,
ἄβαλε μήτε σε κεῖνος ἰδεῖν, μήτ᾽ αὐτὸς ἀνεῖναι
Τρίτων Αἰγαίου νῶτον ὑπὲρ πελάγευς.
οὐ γάρ σοι σκεπανή τις ὑφόρμισις, οὔτε βόρειον
ἐς κλίτος, οὔτ᾽ ἀγὴν κύματος ἐς νοτίην.
ἔῤῥοις, ὦ δύσπλωτε, κακόξενε· σεῖο δὲ τηλοῦ
πλώοιμι, στυγεροῦ ὅσσον ἀπ᾽ Ἀίδεω.

## 700. ΔΙΟΔΩΡΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Ἴστω νυκτὸς ἐμῆς, ἥ μ᾽ ἔκρυφεν, οἰκία ταῦτα
λάϊνα, Κωκυτοῦ τ᾽ ἀμφιγόητον ὕδωρ,
οὔτι μ᾽ ἀνήρ, ὃ λέγουσι, κατέκτανεν, ἐς γάμον ἄλλης
παπταίνων· τί μάτην οὔνομα Ῥουφίνιος;
ἀλλά με Κῆρες ἄγουσι μεμορμέναι. οὐ μία δήπου
Παῦλα Ταραντίνη κάτθανεν ὠκύμορος.

## 701. ΤΟΥ ΑΥΤΟΥ.

Ἰφθίμῳ τόδ᾿ ἐπ᾿ ἀνδρὶ φίλη πόλις ἤνυσ᾿ Ἀχαιῷ
γράμμα, παρ᾿ εὐύδρου νάμασιν Ἀσκανίης.
κλαῦσε δέ μιν Νίκαια· πατὴρ δ᾿ ἐπί οἱ Διομήδης
λάϊνον ὑψιφαῆ τόνδ᾿ ἀνέτεινε τάφον,
δύςμορος, αἰάζων ὀλοὸν κακόν. ἦ γὰρ ἐῴκει
υἱέα οἱ τίνειν ταῦτα κατοιχομένῳ.

## 702. ΑΠΟΛΛΩΝΙΔΟΥ.

Ἰχθυοθηρητῆρα Μενέστρατον ὤλεσεν ἄγρη
δούνακος, * ἐξαμίης ἐκ τριχὸς ἑλκομένη,
εἶδαρ ὅτ᾿ ἀγκίστρου φόνιον πλάνον ἀμφιχανοῦσα
ὀξείην ἐρυθρὴ φυκὶς ἔφριξε πάγην·
ἀγρυμένη δ᾿ ὑπ᾿ ὀδόντι κατέκτανεν, ἅλματι λάβρῳ
ἐντὸς ὀλισθηρῶν δυσαμένη φαρύγων.

## 703. ΜΥΡΙΝΟΥ.

Θύρσις ὁ κωμήτης, ὁ τὰ νυμφικὰ μῆλα νομεύων,
Θύρσις ὁ συρίζων Πανὸς ἴσον δόνακι,
ἔνδιος οἰνοπότης σκιερὰν ὑπὸ τὰν πίτυν εὕδει·
φρουρεῖ δ᾿ αὐτὸς ἑλὼν ποίμνια βάκτρον Ἔρως
[ὦ Νύμφαι, Νύμφαι, διεγείρατε τὸν λυκοθαρσῆ
βοσκόν, μὴ θηρῶν κύρμα γένηται Ἔρως.]

## 704. ΑΔΗΛΟΝ.

Ἐμοῦ θανόντος, γαῖα μιχθήτω πυρί·
οὐδὲν μέλει μοι· τἀμὰ γὰρ καλῶς ἔχει.

Hosted by Google

## 705. *ΑΝΤΙΠΑΤΡΟΥ.*

*Στρυμόνι καὶ μεγάλῳ πεπολισμένον Ἑλλησπόντῳ*
*ἠρίον Ἠδωνῆς Φυλλίδος, Ἀμφίπολι,*
*λοιπά τοι Αἰθοπίης Βραυρωνίδος ἴχνια νηοῦ*
*μίμνει, καὶ ποταμοῦ τἀμφιμάχητον ὕδωρ,*
*τὴν δέ ποτ᾽ Αἰγείδαις μεγάλην ἔριν ὡς ἁλιανθὲς*
*τρῦχος ἐπ᾽ ἀμφοτέραις δερκόμεθ᾽ ἠϊόσιν.*

## 706. *ΔΙΟΓΕΝΟΥΣ.*

*Ἰλιγγίασε Βάκχον ἐκπιὼν χανδὸν Χρύσιππος,*
*οὐδ᾽ ἐφείσατο οὐ τῆς στοᾶς, οὐδ᾽ ἧς πάτρας*
*οὐ τῆς ψυχῆς, ἀλλ᾽ ἦλθε δῶμ᾽ ἐς Ἀΐδεω.*

## 707. *ΔΙΟΣΚΟΡΙΔΟΥ.*

*Κἠγὼ Σωσιθέου κομέω νέκυν, ὅσσον ἐν ἄστει*
*ἄλλος ἀπ᾽ αὐθαίμων ἡμετέρων Σοφοκλῆν,*
*Σκίρτος ὁ πυῤῥογένειος. ἐκισσοφόρησε γὰρ ὥνήρ*
*ἄξια Φλιασίων, ναὶ μὰ χορούς, Σατύρων·*
*κἠμέ, τὸν ἐν καινοῖς τεθραμμένον ἤθεσιν ἤδη,*
*ἤγαγεν εἰς μνήμην, πατρίδ᾽ ἀναρχαΐσας·*
*καὶ πάλιν εἰςώρμησα τὸν ἄρσενα Δωρίδι Μούσῃ*
*ῥυθμόν, πρός τ᾽ αὐδὴν ἑλκόμενος μεγάλην.*
*εὔαδέ μοι θύρσων τύπος οὐ χερὶ καινοτομηθείς,*
*τῇ φιλοκινδύνῳ φροντίδι Σωσιθέου.*

## 708. *ΤΟΥ ΑΥΤΟΥ.*

*Τῷ κωμῳδογράφῳ, κούφη κόνι, τὸν φιλάγωνα*
*κισσὸν ὑπὲρ τύμβου ζῶντα Μάχωνι φέροις·*



Hosted by Google

οὐ γὰρ ἔχεις κηφῆνα παλίμπλυτον, ἀλλά τι τέχνης
ἄξιον ἀρχαίης λείψανον ἠμφίεσας.
τοῦτο δ᾽ ὁ πρέσβυς ἐρεῖ· Κέκροπος πόλι, καὶ παρὰ Νείλῳ
ἔστιν ὅτ᾽ ἐν Μούσαις δριμὺ πέφυκε θύμον.

## 709. ΑΛΕΞΑΝΔΡΟΥ.

Σάρδιες ἀρχαῖαι, πατέρων νομός, εἰ μὲν ἐν ὑμῖν
ἐτρεφόμαν, χέρνας ἦν τις ἂν ἢ βακέλας
χρυσοφόρος, ῥήσσων καλὰ τύμπανα· νῦν δέ μοι Ἀλκμὰν
οὔνομα, καὶ Σπάρτας εἰμὶ πολυτρίποδος,
καὶ Μούσας ἐδάην Ἑλικωνίδας, αἵ με τυράννων
θῆκαν Δασκύλεω μείζονα καὶ Γύγεω.

## 710. ΗΡΙΝΝΗΣ ΜΙΤΥΛΗΝΑΙΗΣ.

Στᾶλαι, καὶ Σειρῆνες ἐμαί, καὶ πένθιμε κρωσσέ,
ὅστις ἔχεις Ἀΐδα τὰν ὀλίγαν σποδιάν,
τοῖς ἐμὸν ἐρχομένοισι παρ᾽ ἠρίον εἴπατε χαίρειν,
αἴτ᾽ ἀστοὶ τελέθωντ᾽, αἴθ᾽ ἑτέρας πόλιος,
χὤτι με νύμφαν εὖσαν ἔχει τάφος, εἴπατε καὶ τό·
χὤτι πατήρ μ᾽ ἐκάλει Βαυκίδα, χὤτι γένος
Τηνία, ὡς δ᾽ εἰδῶντι, καὶ ὅττι μοι ἁ συνεταιρὶς
Ἤρινν᾽ ἐν τύμβῳ γράμμ᾽ ἐχάραξε τόδε.

## 711. ΑΝΤΙΠΑΤΡΟΥ.

Ἤδη μὲν κροκόεις Πιτανάτιδι πίτνατο νύμφᾳ
Κλειναρέτᾳ χρυσέων παστὸς ἔσω θαλάμων,

Hosted by Google

καδεμόνες δ' ἥλποντο διωλένιον φλόγα πεύκας
    ἅψειν ἀμφοτέραις ἀνσχόμενοι παλάμαις,
Δημὼ καὶ Νίκιππος· ἀφαρπάξασα δὲ νοῦσος
    παρθενικάν, Λάθας ἄγαγεν ἐς πέλαγος.
ἀλγειναὶ δ' ἐκάμοντο συνάλικες, οὐχὶ θυρέτρων,
    ἀλλὰ τὸν Ἀΐδεω στερνοτυπῆ πάταγον.

## 712. ΗΡΙΝΝΗΣ.

Νύμφας Βαυκίδος ἐμμί· πολυκλαύταν δὲ παρέρπων
    στάλαν, τῷ κατὰ γᾶς τοῦτο λέγοις Ἀΐδᾳ·
,,Βάσκανος ἔσσ' Ἀΐδα·" τὰ δέ τοι καλὰ σάμαθ' ὁρῶντι
    ὠμοτάταν Βαυκοῦς ἀγγελέοντι τύχαν,
ὡς τὰν παῖδ', Ὑμέναιος ἐφ' αἷς . . . . ᾔδετο πεύκαις,
    ταῖσδ' ἐπὶ καδευτὰς ἔφλεγε πυρκαϊᾷ·
καὶ σὺ μέν, ὦ Ὑμέναιε, γάμων μολπαῖαν ἀοιδὰν
    ἐς θρήνων γοερῶν φθέγμα μεθηρμόσαο.

## 713. ΑΝΤΙΠΑΤΡΟΥ.

Παυροεπὴς Ἤριννα, καὶ ου πολύμυθος ἀοιδαῖς·
    ἀλλ' ἔλαχεν Μούσας τοῦτο τὸ βαιὸν ἔπος.
τοιγάρτοι μνήμης οὐκ ἤμβροτεν, οὐδὲ μελαίνης
    Νυκτὸς ὑπὸ σκιερῇ κωλύεται πτέρυγι·
αἱ δ' ἀναρίθμητοι νεαρῶν σωρηδὸν ἀοιδῶν
    μυριάδες λήθῃ, ξεῖνε, μαραινόμεθα.
λωΐτερος κύκνου μικρὸς θρόος, ἠὲ κολοιῶν
    κρωγμὸς ἐν εἰαριναῖς κιδνάμενος νεφέλαις.



Hosted by Google

### 714. ΑΔΕΣΠΟΤΟΝ.

Ῥήγιον Ἰταλίης τεναγώδεος ἄκρον ἀείδω,
αἰεὶ Θρινακίου γευομένην ὕδατος,
οὕνεκα τὸν φιλέοντα λύρην, φιλέοντά τε παῖδας
Ἴβυκον εὐφύλλῳ θῆκεν ὑπὸ πτελέῃ,
ἡδέα πολλὰ παθόντα· πολὺν δ' ὑπὸ σήματι κισσὸν
χεύατο, καὶ λευκοῦ φυταλιὴν καλάμου.

### 715. ΑΛΛΟ.

Πολλὸν ἀπ' Ἰταλίης κεῖμαι χθονός, ἔκ τε Τάραντος
πάτρης· τοῦτο δέ μοι πικρότερον θανάτου.
τοιοῦτος πλανίων ἄβιος βίος· ἀλλά με Μοῦσαι
ἔστερξαν, λυγρῶν δ' ἀντὶ μελιχρὸν ἔχω.
οὔνομα δ' οὐκ ἤμυσε Λεωνίδου· αὐτά με δῶρα
κηρυσσει Μουσέων πάντας ἐπ' ἠελίους.

### 716. ΔΙΟΝΥΣΙΟΥ ΡΟΔΙΟΥ.

Πρώϊος, ἀλλὰ ποθεινὸς ὅσοι πόλιν Ἰαλύσοιο
ναίομεν, εἰς Λήθης πικρὸν ἔδυς πέλαγος,
θρεψάμενος σοφίην ὀλίγον χρόνον· ἀμφὶ δὲ τύμβῳ
σεῖο καὶ ἄκλαυτοι γλαῦκες ἔθεντο γόον,
Φαινόκριτ'· οὐδὲν ὅμοιον ἐπεσσομένοισιν ἀοιδὸς
φθέγξεται, ἀνθρώπους ἄχρι φέρωσι πόδες.

### 717. ΑΔΕΣΠΟΤΟΝ.

Νηϊάδες καὶ ψυχρὰ βοαύλια ταῦτα μελίσσαις
οἶμον ἐπ' εἰαρινὴν λέξατε νισσομέναις,
ὡς ὁ γέρων Λεύκιππος ἐπ' ἀρσιπόδεσσι λαγωοῖς
ἔφθιτο χειμερίῃ νυκτὶ λοχησάμενος.

σμήνεα δ᾽ οὐκέτι οἱ κομέειν φίλον· αἱ δὲ τὸν ἄκρης
γείτονα ποιμένιαι πολλὰ ποθοῦσι νάπαι.

718. ΝΟΣΣΙΔΟΣ.

Ὦ ξεῖν᾽, εἰ τύ γε πλεῖς ποτὶ καλλίχορον Μιτυλάναν,
τᾶν Σαπφοῦς χαρίτων ἄνθος ἐναυσάμενος,
εἰπεῖν, ὡς Μούσαισι φίλα, τήνᾳ τε Λόκρισσα
* τίκτειν ἴσαις δ᾽ μοι μι τοὔνομα Νοσσίς. ἴθι.

719. ΛΕΩΝΙΔΑ ΤΑΡΑΝΤΙΝΟΥ.

Τέλληνος ὅδε τύμβος· ἔχω δ᾽ ὑπὸ * βώλεω πρέσβυν
τῆνον, τὸν πρᾶτον γνόντα γελοιομελεῖν.

720. ΧΑΙΡΗΜΟΝΟΣ.

Κλεῦας ὁ Τιμοκλῆυς,' ὑπὲρ Θυρέαν δόρυ τείνας,
κάτθανες ἀμφίλογον γᾶν * ἀμφιτεμνόμενος.

721. ΤΟΥ ΑΥΤΟΥ.

Τοῖς Ἄργει Σπάρτῃ τ᾽ ἶσαι χέρες, ἶσα δὲ τεύχη
συμβάλομεν· Θυρέαι δ᾽ ἦσαν ἄεθλα δορός.
ἄμφω δ᾽ ἀπροφάσιστα τὸν οἴκαδε νόστον ἀφέντες,
οἰωνοῖς θανάτου λείπομεν ἀγγελίαν.

722. ΘΕΟΔΩΡΙΔΑ.

Δηρίφατον κλαίω Τιμοσθένη, υἷα Μολόσσοι,
ξεῖνον ἐπὶ ξείνῃ Κεκροπίᾳ φθίμενον.

723. ΑΔΕΣΠΟΤΟΝ.

Ἁ πάρος ἄδμητος καὶ ἀνέμβατος, ὦ Λακεδαῖμον,
καπνὸν ἐπ᾽ Εὐρώτᾳ δέρκεαι Ὠλένιον,

Hosted by Google

ἄσκιος· οἰωνοὶ δὲ κατὰ χθονὸς οἰκία θέντες
μύρονται· μήλων δ' οὐκ ἀΐουσι λύκοι.

## 724. ΑΝΥΤΗΣ.

*Ἧβα μέν σε πρόαρχε ἔσαν παίδων ἅτε ματρὸς *
* φειδία ἐν δνοφερῷ πένθει ἔθου φθίμενος.
ἀλλὰ καλόν τοι ὕπερθεν ἔπος τόδε πέτρος ἀείδει,
ὡς ἔθανες πρὸ φίλας μαρνάμενος πατρίδος.

## 725. ΚΑΛΛΙΜΑΧΟΥ.

Αἴνιε, καὶ σὺ γὰρ ὧδε, Μενέκρατες, οὐδ' ἐπὶ πουλυν
ἦσθα· τί σε, ξείνων λῷστε, κατειργάσατο;
ἦ ῥα τὸ καὶ Κένταυρον; ὅ μοι πεπρωμένος ὕπνος
ἦλθεν,ὁ δὲ τλήμων οἶνος ἔχει πρόφασιν.

## 726. ΛΕΩΝΙΔΑ.

Ἑσπέριον κ' ἠῷον ἀπώσατο πολλάκις ὕπνον
ἡ γρηῢς πενίην Πλατθὶς ἀμυνομένη·
καί τι πρὸς ἠλακάτην καὶ τὸν συνέριθον ἄτρακτον
ἤεισεν, πολιοῦ γήραος ἄγχι θυρῶν,
καί τι παριστίδιος δινευμένη ἄχρις ἐπ' ἠοῦς
κεῖνον Ἀθηναίης σὺν Χάρισιν δολιχόν,
ἡ ῥικνὴ ῥικνοῦ περὶ γούνατος, ἄρκιον ἱστῷ,
χειρὶ στρογγύλλουσ' ἱμερόεσσα κρόκην.
ὀγδωκονταέτις δ' Ἀχερούσιον ηὔγασεν ὕδωρ
ἡ καλὰ καὶ καλῶς Πλατθὶς ὑφηναμένη.

## 727. ΘΕΑΙΤΗΤΟΥ.

Τὰν γνώμαν ἐδόκει Φιλέας οὐ δεύτερος ἄλλου
εἶμεν, ὁ δὲ φθονερὸς κλαιέτω ἔρκε θάνῃ.

ἀλλ' ἔμπας δύξας κενεὰ χάρις· εἰν Ἀίδᾳ γὰρ
Μίνω Θερσίτας οὐδὲν ἀτιμότερος.

## 728. ΚΑΛΛΙΜΑΧΟΥ.

Ἱερέη Δήμητρος ἐγώ ποτε, καὶ πάλιν Καβείρων,
ὦνερ, καὶ μετέπειτα Δινδυμήνης,
ἡ γρῆϋς γενόμην, ἡ νῦν κόνις, ἡνο . . . . . .
πολλῶν προστασίη νεῶν γυναικῶν.
καί μοι τέκν' ἐγένοντο δύ' ἄρσενα, κἠπέμυσ' ἐκείνων
εὐγήρως ἐνὶ χερσίν· ἕρπε χαίρων.

## 729. ΤΥΜΝΕΩ.

Εὐήθη Τρύτωνος ἐπ' οὐκ ἀγαθαῖς ἐλοχεύθη
κληδόσιν· οὐ γὰρ ἂν ὧδ' ὤλετο δαιμονίη
ἀρτιτόκος· τὰ δὲ πολλὰ κατήγαγεν ἓν βρέφος Ἅιδην
σὺν κείνῃ· δεκάτην δ' οὐχ ὑπερῆρεν ἕω.

## 730. ΠΕΡΣΟΥ.

Δειλαία Μνάσυλλα, τί τοι καὶ ἐπ' ἠρίῳ οὗτος
μυρομένας κούραν γραπτὸς ἔπεστι τύπος,
Νευτίμας θ', ἇς δή ποκ' ἀπὸ ψυχὰν ἐρύσαντο
ὠδῖνες, κεῖται δ' οἷα κατὰ βλεφάρων
ἀχλὺϊ πλημμυροῦσα φίλας ὑπὸ ματρὸς ἀγοστῷ;
αἴ, αἴ, Ἀριστοτέλης δ' οὐκ ἀπάνευθε πατὴρ
δεξιτερᾷ κεφαλὰν ἐπιμάσσεται· ὦ μέγα δειλοί,
οὐδὲ θανόντες ἑῶν ἐξελάθεσθ' ἀχέων.

## 731. ΛΕΩΝΙΔΑ.

Ἄμπελος ὡς ἤδη κάμακι στηρίζομαι αὐτῷ
σκηπανίῳ· καλέει μ' εἰς Ἀίδην Θάνατος.

Hosted by Google

δυςκώφει μὴ Γόργε· τί τοι χαριέστερον, ἢ τρεῖς
ἢ πίσυρας ποίας θάλψαι ὑπ' ἠελίῳ;
ὧδ' εἴπας οὐ κόμπῳ, ἀπὸ ζωὴν ὁ παλαιὸς
ὤσατο, κἠς πλεόνων ἦλθε μετοικεσίην.

## 732. ΘΕΟΔΩΡΙΔΑ.

Ὤιχευ ἔτ' ἀσκίπων, Κινησία, Ἑρμοῦ * ἄγριε
ἐκτίσων Ἀΐδῃ χρεῖος ὀφειλόμενον,
γήρᾳ ἔτ' ἄρτια πάντα φέρων· χρήστην δὲ δίκαιον
εὑρών σε στέργει παντοβίης Ἀχέρων.

## 733. ΔΙΟΤΙΜΟΥ.

Αἱ νόμιμοι δύο γρῆες ὁμήλικες ἦμεν, Ἀναξὼ
καὶ Κληνώ, δίδυμοι παῖδες Ἐπικράτεος·
Κληνὼ μὲν Χαρίτων ἱερή, Δήμητρι δ' Ἀναξὼ
ἐν ζωῇ προπολεῦσ'· ἐννέα δ' ἠελίων
ὀγδωκονταέτεις ἐπιλείπομεν ἐς τόδ' ἱκέσθαι
τῆς μοίρης· ἐτέων δ' οὐ φθόνος * ἰσοσίη.
καὶ πόσιας καὶ τέκνα φιλήσαμεν· αἱ δὲ παλαιαὶ
πρῶθ' ἡμεῖς Ἀΐδην πρηῢν ἀφικόμεθα.

## 734. ΑΔΗΛΟΝ.

* Μή, ξέν' ὁδῖτα σπεῦδε· τί γάρ; νέκυς, ᾧ ποτὶ παίδων
τῶν ἀγαθῶν * ἡδ' ἦν ἀρχιγέρων ὁ γέρων,
ἀλλὰ φίλος γ'· ὦ πρέσβυ, γένοιτο τευ ὄλβια τέκνα
ἐλθεῖν καὶ λευκῆς ἐς δρόμον ἡλικίης.

## 735. ΔΑΜΑΓΗΤΟΥ.

Ὑστάτιον, Φώκαια, κλυτὴ πόλι, τοῦτο Θεανὼ
εἶπεν ἐς ἀτρύγετον νύκτα κατερχομένη·
Οἴμοι ἐγὼ δύστηνος· Ἀπέλλιχε, ποῖον, ὁμευνε,
ποῖον ἐπ' οἰκείῃ νηὶ περᾷς πέλαγος;

αὐτὰρ ἐμεῦ σχεδόθεν μόρος ἵσταται. ὡς ὄφελόν γε
χειρὶ φίλην τὴν σὴν χεῖρα λαβοῦσα θανεῖν.

### 736. ΛΕΩΝΙΔΑ ΤΑΡΑΝΤΙΝΟΥ.

Μὴ φθεῖρευ, ὤνθρωπε, περιπλάνιον βίον ἕλκων,
ἄλλην ἐξ ἄλλης εἰς χθόν᾽ ἀλινδόμενος,
μὴ φθεῖρευ· κενεή σε περιστέψαιτο καλιή,
ἣν θάλποι μικκὸν πῦρ ἀνακαιόμενον,
εἰ καί σοι λιτή γε καὶ οὐκ εὐάλφιτος εἴη
φύστη ἐνὶ γρώνῃ μασσομένη παλάμαις,
ἢ καί σοι γλήχων, ἢ καὶ θύμον, ἢ καὶ ὁ πικρὸς
ἁδυμιγὴς εἴη χόνδρος ἐποψίδιος.

### 737. ΑΔΕΣΠΟΤΟΝ.

Ενθάδ᾽ ἐγὼ ληστῆρος ὁ τριςδείλαιος ἄρηϊ
ἐδμήθην· κεῖμαι δ᾽ οὐδενὶ κλαιόμενος.

### 738. ΘΕΟΔΩΡΙΔΑ.

Κληῖδες πόντου σε καὶ ἐσχατιαὶ Σαλαμῖνος,
Τίμαρχ᾽, ὑβριστής τ᾽ ὤλεσε Λὶψ ἄνεμος,
νηΐ τε σὺν φόρτῳ τε· κόνιν δέ σου ἀμφιμέλαιναν
δέξαντ᾽ οἰζυροί, σχέτλιε, κηδεμόνες.

### 739. ΦΑΙΔΙΜΟΥ.

Αἰάζω Πολύανθον, ὃν εὐνέτις, ὦ παραμείβων,
νυμφίον ἐν τύμβῳ θῆκεν Ἀρισταγόρη,
δεξαμένη σποδιήν τε καὶ ὀστέα, (τὸν δὲ δυςαὲς
ὤλεσεν Αἰγαίου κῦμα περὶ Σκίαθον)
δύςμορον ὀρθρινοί μιν ἐπεὶ νέκυν ἰχθυβολῆες,
ξεῖνε, Τορωναίων εἵλκυσαν ἐς λιμένα.

## 740. ΛΕΩΝΙΔΑ.

*Αὐτὰ ἐπὶ Κρήθωνος ἐγὼ λίθος, οὔνομα κεινου*
*δηλοῦσα· Κρήθων δ' ἐν χθονίοις σποδιά.*
*ὁ πρὶν καὶ Γύγῃ παρισεύμενος ὄλβον, ὁ τὸ πρὶν*
*βουπάμων, ὁ πρὶν πλούσιος αἰπολίοις,*
*ὁ πρίν . . . τί πλείω μυθεῦμαι; ὁ πᾶσι μακαρτός,*
*φεῦ, γαίης ὅσσης ὅσσον ἔχει μόριον.*

## 741. ΚΡΙΝΑΓΟΡΟΥ.

*Ὀθρυάδην, Σπάρτης τὸ μέγα κλέος, ἢ Κυνέγειρον*
*ναύμαχον, ἢ πάντων ἔργα κρατεῖ πολέμων*
*Ἄῤῥιος αἰχμητὴς Ἰταλός· παρὰ χεύμασι Νείλου*
*κλινθείς, ἐκ πολλῶν ἡμιθανὴς βελέων,*
*αἰετὸν ἁρπασθέντα φίλου στρατοῦ ὡς ἴδ' ὑπ' ἐχθροῖς,*
*αὖτις ἀρηϊφάτων ἄνθορεν ἐκ νεκύων.*
*κτείνας δ', ὅς σφ' ἐκόμιζεν, ἑοῖς ἀνεσώσατο ταγοῖς,*
*μοῦνος ἀήττητον δεξάμενος θάνατον.*

## 742. ΑΠΟΛΛΩΝΙΔΟΥ.

*Οὐκέτι Τιμόκλεια τεῶν φάος ὤλεσας ὄσσων*
*κούρους δισσοτόκῳ νηδύϊ γειναμένη·*
*ὄμμασι δ' ἐν πλεόνεσσιν ἀθρεῖς περιθαλπὲς ὄχημα*
*ἠελίου, προτέρης οὖσα τελειοτέρη.*

## 743. ΑΝΤΙΠΑΤΡΟΥ.

*Εἴκοσιν Ἑρμοκράτεια καὶ ἐννέα τέκνα τεκοῦσα*
*οὐθ' ἑνὸς οὔτε μιᾶς αὐγασάμην θάνατον.*
*οὐ γὰρ ἀπωΐστευσεν ἐμοὺς υἷηας Ἀπόλλων,*
*οὐ βαρυπενθήτους Ἄρτεμις εἷλε κόρας.*
*ἔμπαλι δ' ἁ μὲν ἔλυσεν * ἐμῶν ὠδῖνα μολοῦσα·*
*Φοῖβος δ' εἰς ἥβαν ἄρσενας ἀγάγετο,*

Hosted by Google

ἀβλαβέας νούσοισιν. ἴδ᾽ ὡς νίκημι δικαίως
        παισὶν καὶ γλώσσῃ σώφρονι Ταντελίδα.

744. ΚΡΙΝΑΓΟΡΟΥ. (ΔΙΟΓΕΝΟΥΣ.)

Ἐν Μέμφει λόγος ἐστὶ μαθεῖν ἰδίην ποτὲ μοίρην
        Εὔδοξον παρὰ τοῦ καλλίκερω ταύρου·
Κοὐδὲν ἔλεξε· πόθεν; βοῒ γὰρ λόγον οὐ πόρε φύτλη,
        οὐδὲ λάλον μόσχῳ Ἄπιδι στόμα·
ἀλλὰ παρ᾽ αὐτὸν λέχριος στὰς ἐλιχμήσατο στόλον,
        προφανῶς τοῦτο διδάσκων· ἀποδύσῃ βιοτὴν
ὅσσον οὔπω· διὸ καί οἱ ταχέως ἦλθε μόρος, δεκάκις
        πέντε καὶ τρεῖς εἰςιδόντα παῖδας.

745. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Ἴβυκε, ληϊσταί σε κατέκτανον ἔκ ποτε νήσου
        βάντ᾽ ἐς ἐρημαίην ἄστιβον ἠϊόνα,
ἀλλ᾽ ἐπιβωσάμενον γεράνων νέφος, αἵ τοι ἵκοντο
        μάρτυρες ἄλγιστον ὀλλυμένῳ θάνατον·
οὐδὲ μάτην ἰάχησας, ἐπεὶ ποινῆτις Ἐρινὺς
        τῶνδε διὰ κλαγγὴν τίσατο σεῖο φόνον
Σισυφίην κατὰ γαῖαν· ἰὼ φιλοκερδέα φῦλα
        ληϊστέων, τί θεῶν οὐ πεφόβησθε χόλον;
οὐδὲ γὰρ ὁ προπάροιθε κανὼν Αἴγισθος ἀοιδὸν
        ὄμμα μελαμπέπλων ἔκφυγεν Εὐμενίδων.

746. ΠΥΘΑΓΟΡΟΥ.

εἰς τάφον τοῦ Διὸς ἐν Κρήτῃ.

Ὧδε μέγας κεῖται Ζᾶν ὃν Δία κικλήσκουσιν.

747. ΛΙΒΑΝΙΟΥ.

Ἰουλιανὸς μετὰ Τίγριν ἀγάῤῥοον ἐνθάδε κεῖται,
ἀμφότερον, βασιλεύς τ᾽ ἀγαθός, κρατερός τ᾽ αἰχμητής

748. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Τίς τόδε μουνόγληνος ἅπαν δωμήσατο Κύκλωψ
λάϊνον Ἀσσυρίης χῶμα Σεμιράμιος;
ἢ ποῖοι χθονὸς υἷες ἀνυψώσαντο Γίγαντες
κείμενον ἑπταπόρων ἀγχόθι Πληϊάδων,
ἀκλινές, ἀστυφέλικτον, Ἀθωέος ἶσον ἐρίπνᾳ
φυρηθὲν γαίης εὐρυπέδοιο βάρος·
δᾶμος ἀεὶ μακαριστός, ὃς ἄστεσιν Ἡρακλείης
οὐρανίων νεφέων τεῦξεν ἐπ᾽ εὐρυάλων.

Hosted by Google

Hosted by Google

Hosted by Google

Hosted by Google

Hosted by Google

Hosted by Google

UNIVERSITY OF MICHIGAN
3 9015 03194 1969
Hosted by Google